B I B L I O T H E C A
SCRIPTORVM GRAECORVM ET ROMANORVM
T E V B N E R I A N A

LYSIAS
ORATIONES

EDIDIT

TH. THALHEIM

EDITIO MAIOR



L I P S I A E
IN AEDIBVS B.G. TEVBNERI

70¢

LYSIAE ORATIONES

RECENSUIT

THEODORUS THALHEIM

MAIOR EDITIO ALTERA CORRECTIOR



LIPSIAE IN AEDIBUS B. G. TEUBNERI MCMXIII

LIPSIAE: TYPIS B. G. TEUBNERI

Printed in Germany

IOSEPHO PARTSCH

LIPSIENSI

GRATO PIOQUE ANIMO.

PRAEFATIO.

Lysiae quotquot orationes iudiciales sunt, omnium codices ex libro Palatino X oriundos esse Sauppe epist. crit. 7 demonstravit. Heidelbergensis 88 „membranaceus est, formae quadrantalis minoris, bene scriptus, sed ut litterae pallido atramento in membrana saepe satis horrida et livida scriptae etiam Bekkero iudice haud raro lectu difficillimae sint. Pagina habet fere lineas unam et viginti. Quot foliorum nunc sit, recte subscriptum est in folio penultimo: *ἔχει τὸ παρὸν βιβλίον τετράδας δεκαοκτώ* et alia manu recentiore: *ἔχει ἡ παροῦσα βίβλος φύλλα ρμ καὶ β΄.*" „Folium primum nunc indicem continet et cum alio folio albo duernionem singularem efficit. Deinde quaternio *α* constat foliis 2—9, *β* 10—17, *γ* 18—27, *δ* 28—35, *ε* 36—40, *ϛ* 41—48, *ζ* 49—56, *η* 57—64, *ϑ* 65—72, *ι* 73—80, *ια* 81—88, *ιβ* 89—96, *ιγ* 97—104, *ιδ* 105—112, *ιε* 113—120, *ιζ* 121—128, *ιη* 129—136, *ιϑ* 137—142." Scriptum esse saeculo XII ab uno librario, cuius manus raro correctiones recentiores easque per priores duas maxime orationes subisset, R. Schoell Herm. X 203 vidit, idem ex librorum indice quodam in fol. 142 a saeculi XIV manu exarato codicem Nicaea oriundum esse perspexit. Insunt: fol. 1 index qui incipit a verbis: *ταῦτα περιέχει ἡ βίβλος αὕτη: ϑεοδώρου γραφεῖσα χειρί*

Λυσίου· ὑπὲρ τοῦ ἐρατοσϑένους φόνου, ἀπολογίαν . *α*
τοῦ αὐτοῦ ἐπιτάφιον τοῖς κορινϑίων βοηϑοῖς . . . *β*
ἀλκιδάμαντος περὶ τῶν τοὺς γραπτοὺς λόγους γραφόντων . . . . *γ*
τοῦ αὐτοῦ ὀδυσσέως· κατὰ παλαμήδου προδοσίας . . *δ*
ἀντισϑένους· αἴαντα . . . . *ε*
τοῦ αὐτοῦ· ὀδυσσέα . . . . *ϛ*

σοὶ δόξα, σῶτερ, τῷ συνεργῷ τῶν πόνων.
(Bekker or. att. V 694. Lampros Herm. X 259).

Dudum interciderunt „ante fol. 36 duo folia, in quibus exarata erant orationum pro Callia finis, contra Andocidem initium, post fol. 40 unum folium cum parte orationis Andocideae, post fol. 120 totus quaternio cum orationis *δήμου καταλύσεως* fine, oratione *κατὰ Νικίδου ἀργίας* tota, *περὶ τῆς Εὐάνδρου δοκιμασίας* initio.“ (Erdmann, de Pseudolysiae epitaphii codicibus 7.) Atque quia minio librarius inde ab oratione Simonea usus est, ante hanc non usus est, quia ante eum quaternionem, a quo Simonea incipit, quinio invenitur, cuius ultimae paginae pars quarta litteris vacat, quia denique orationibus IX, X, XI in margine numeri *ζ η ϑ* minio ab eadem manu appicti sunt qua tituli orationum, Erdmann p. 37 librarium primum orationes Lysiacas inde a Simonea usque ad finem scripsisse: postea addidisse et ante eas praefixisse orationem Eratostheneam, epitaphium, orationes Alcidamantis Antisthenis Demadis intellexit. Qui vir doctus num recte librarium duobus fontibus usum esse, ex altero codice has, ex altero illas descripsisse dixerit, dubito, praesertim cum in fol. 112 post orationem Pancleoneam itidem pagina una et alterius tertia pars vacuae relictae sint et proxima oratio a quaternione recenti incipiat. Atque quid de Helena Gorgiae toti corpori affixa iudicemus?

„Ex Italia Heidelbergam allatus est. Heidelberga Leo Allatius anno 1622 Romam abstulit atque monstrat tegmentum coronam triplicem, anno 1797 Napoleonis iussu Parisios transportatum et in bibliothecam nationis Francogallorum illatum

esse signum folio primo impressum testatur, denique anno 1815 Heidelbergam rediit.“ (Sauppe 9.)

Librum X I. Bekker primus contulit (X^b), sed in oratoris verbis constituendis Laurentiano C postposuit, deinde in Scheibii usum Kayser tractavit (X^k cf. editionis alterius praef.). Quae vel huius viri docti diligentiam fugerant, ex libro ut et lectu difficillimo et teste unico addita sunt a Lampro (X^l Herm. X 257), R. Schoellio (X^s Herm. XI 202), Erdmanno (X^e in epitaphii editione), Weidnero (X^w in orationum selectarum editione), Pertzio (X^p apud Reussium Philol. LII 600), Fuhrio (X^f Rhein. Mus. L 304). Ubi vero ut fere fit nihilo secius dubitationi etiamtum locus erat, Stadtmüller benignissime (X^{st}) de iis, quae nunc leguntur, ad me rettulit.*) Sed nunc, cum C. Hude in editionis suae usum totum librum denuo contulerit (X^h), siglis illis raro utor.

Ex libris eis, qui e Palatino originem duxerunt, interdum ut correctionum auctores commemoro hos: C (Laur. plut. 57, 4), quem I. Bekker editionis quasi fundamentum elegit, C. Hude iterum perscrutatus est, D (Laur. plut. 57, 45) E (Laur. plut. 57, 52), K (Marc. app. class. 8 cod. 1), M (Vat. 66), O (Urbin. 117). Quod vero H. Schenkl (Wien. Stud. III 81 XVIII 160) librum H (Marc. 422), qui orationum Lysiacarum nullam nisi primam exhibet, a Palatino X pendere negavit, etiamsi verum sit, vix quidquam bonae frugis inde redundare videtur. Neque aliter iudicandum est de libro Vat. Pal. 117, quam C. Hude adhibuit.

De *epitaphii* codicibus dissertationem luculentam M. Erdmann (Lips. 1881) scripsit, orationem edidit (Lips. 1881). Familiarum vero trium libros singulos adhibui, praeter Palatinum Coislinianum V et Marcianum F. Atque *Coislinianus* 249, olim 221, membranaceus formae octavae minoris fol. 168, saeculo decimo quo scriptum existimat Montefalconius

---

*) Res minutas, orthographicas maxime, in quibus librorum nulla est auctoritas, neglexi velut *γίνεσθαι*, *εὗρον*, *ἠδύνατο*, *λειτουργεῖν*, *τἄλλα*, *τίσαι*, *φιλόνεικον*, *τέσσαρες*, *πειραιέως*, *ἄστεος*, *θᾶσσον*, *υἱός*, *πλέον*, *πλεῖον*, *κλαίοντες*, *Μουνυχίασι*, *ἂν* (pro *ἐὰν*), *ἐλαία*, *ἐλεεινόν*, *αὑτοῦ* (pro *αὐτοῦ*).

longe recentior (Bekker or. att. V 694), habet Synesii nonnulla, Marini Proclum, Gorgiae Helenam, Aeschinem, fol. 148[a] epitaphium. Collatus est a Bekkero et Erdmanno (cf. diss. 8). *Marcianus* 416 autem membranaceus est forma maxima foliis 322 post undecimum bipartitis. Inest post Libanii argumenta et orationum 68 epistolarumque indicem Demosthenes et inde a f. 321 Lysiae oratio funebris, scripta illa, ut R. Schoellio videbatur, non ab eadem saec. XI manu, sed a viro docto quodam saec. XIII, ductibus minutis et compendiatis, quales esse solent scholiorum (cf. Bekker or. att. IV 3, Erdmann diss. 9); excussus est post Bekkerum a R. Schoellio (Sitzungsber. d. Münch. Acad. 1889, 26). Interdum commemoro librum g (Laur. 86, 13).

Atque in iis quoque fragmentis, quae apud Dionysium servata sunt, *Usenerum* et *Radermacherum* maxime secutus librorum trium scripturas continenter adposui Laurentiani F, Ambrosiani M, Parisini T. Ex quibus *Laurentianus* plut. 59, 15 membranaceus, forma quadrata, saec. XII, bene scriptus continet Dionysii de compositione verborum librum, de antiquis oratoribus partem priorem, de Dinarcho librum, Philostrati vitas sophistarum, Callistrati ecphrases, Aristidis orationes quinque (cf. Usener, Jb. f. Phil. 107, 145 = Kl. Schriften I 263, Sadée de Dionys. scriptis rhetoricis Argent. 1878, 32, Usener ed. praef. X). *Ambrosianus* vero D 119 sup. chartaceus est forma maxima saec. XV nitide scriptus, foliis 189 quorum singulae paginae versus tricenos comprehendunt. Insunt Dionysii de antiquis oratoribus liber, epistula ad Pompeium, de Thucydide iudicium, de Demosthenis dictione liber, epistula ad Ammaeum prior, Iosephi Rhacendytae rhetorices compendium (cf. Sadée 42, Usener praef. XVI). Quibus libris addidi lectionis interpolatae testem *Parisinum* 2944 saec. XV, qui de Lysia iudicium continet, collatum a Bekkero et Desrousseaux (Denys d'Halicarnasse jugement sur Lysias, Paris 1890), interdum librum G (Guelferbytanum 806) commemoravi.

Fragmenta quo commodius lectoribus praesto essent, ita digessi, ut Scheibii numeros 1—102 retinerem, Sauppii vero

in margine adderem; orationum numeros Sauppianos servavi, quibus apposui Blassianos, quos index orationum (Att. Ber. I² 357) exhibet.

Orationes prodierunt apud *Aldum* Ven. 1513 in vol. priore, cuius editionis ad exemplum nunc *Lugdunense* lectiones adscriptae inveniuntur, partim ex Mureti aliorumque virorum coniecturis profectae, partim e libris haustae cf. Erdmann, Lysiaca 6. Argent. 1891. Ex exemplo alio nunc Parisino(?) Augerus in editione (Par. 1783) Antonii *Contii* emendationes deprompsit, qui natus Novioduni, doctissimus IC, Bituricae mortuus est 1586. Ad marginem ed. *Steph.* Par. 1575 *Brulart* de Sillery episcopus († 1714) lectiones adscripsit (bibl. reg. Paris. n. X 1756). Adnotationes deinde virorum doctorum, Schotti, Palmerii, Marklandi, Taylori cum suis acutissimis *J. J. Reiske* (Rs) coniunxit Lips. 1772, nulla fere, ut ipse dicit, emendationum ratione habita, quas anno 1757 publici iuris fecerat (Animadv. vol. II). Sequuntur *Sluiteri* et *Valckenaeri* lect. Andoc. (Lugd. Bat. 1804) et *P. P. Dobraei* notae (adversar. vol. I) editiones *Bekkeri* (1822/23) *Dobsoni* (1828) *Foertschii* (1829) *Franzii* (1831) *Turicensium* (1838) *Scheibii* (ed. II 1855) *Westermanni* (1854) *Cobeti* (1863) *van Herwerdeni* (ed. II 1899) *Zakae* (1907/10) *Hudei* (1912), orationes selectae a *Bremio* (1845) *Rauchensteinio* et *Fuhrio* (ex anno 1848) *Frohbergero* et *Gebauero* et me (ab anno 1866) *van Herwerdeno* (1863) *Weidnero* (1888) *Shuckburgo* (1882) *Morgano* (1895) *Adamsio* (1905) editae.

Recentiorum in Lysia operas commemoro hasce (alias in orationum argumentis invenies):

Albrecht, Jahresber. des philol. Vereins VIII. IX. XIV. XV. XVIII.
Bake, scholica hypomnemata vol. II. III, Mnem. VIII. IX.
Bartelt, emendationes Lysiacae diss. Vrat. 1882.
Bergk, epistola ad Schillerum in Schilleri Andocide, Philol. XIV, apud Scheibium in praefatione ed. II.
Blass, Rhein. Mus. XXI, Bursians Jahresber. I. II. IX. XXI. XXX.
Boblenz, Kritische Anmerkungen zu Lysias, Progr. Jever 1881.
Bohlmann, de attractionis usu et progressu diss. Vrat. 1882.
Cobet, Oratio de arte interpretandi Lugd. Bat. 1847, Mnem. II. III. IX.
Damsté, Mnem. XVI.

Dryander, coniecturae Lysiacae. Progr. Halle 1868.
Earle, Class. Rev. VII.
Emperius, Observationes, Brunsvigae 1833, Adversaria in opusculis p. 313.
Foertsch, commentationes criticae Lips. 1827, observationes criticae Lips. 1829.
Francken, commentationes Lysiacae, Trajecti ad. Rh. 1865.
Franz, diss. de locis quibusdam Lysiae, Monach. 1830.
Frei, Zu Lysias, Progr. Zyrich 1864.
Fritzsche, F. V., Emendationum Lys. p. I, Rostoch. 1867, Adversariorum p. X, Rostoch. 1873.
Frohberger, Philol. XV. XIX. XXIX, Phil. Anz. II sq.
Fuhr, observationes in oratores Atticos diss. Bonn 1877, Rhein. Mus. XXXIII.
Funkhänel, Jahrb. f. Phil. LXXXIII. LXXXV. IC. CI. CIII. CVII.
Gebauer, de praeteritionis formis apud orat. Att. Lips 1874, de hypotacticis et paratacticis argumenti ex contrario formis apud orat. Att. Zwiccaviae 1877.
Gentsch, de enuntiatorum condicionalium apud Antiphontem, Andocidem, Lysiam formis, diss. Jen. IV.
Häberlin, Jahrb. f. Phil. CXLI.
Halbertsma, lectiones Lysiacae, Traiecti ad Rh. 1868.
Hamaker, quaestiones de nonnullis Lys. orat. Lugd. Bat. 1843.
Heldmann, emendationes Lysiacae, Progr. Cassel. 1875.
Hertlein, Konjekturen zu griech. Prosaikern. Progr. Wertheim 1862, Jahrb f. Phil. XCV. CIX, Herm. XIII.
Herwerden, Analecta critica ad Lysiam, Traiecti ad Rh. 1868, Mnem XXV.
Hirschig, Miscellanea philologa et paedagog. fasc. I, Amst. 1850, Philol. IX.
Hundeck, quaestiones Lysiacae, Progr. Luccav. 1893.
Jacobs, additamenta animadv. in Athenaeum, Jen. 1809.
Kappeyne v. d. *Coppello*, Jahrb. f. Phil. XCVII.
Kayser, Philol. XI. XXV, Jahrb. f. Phil. CV.
Kocks, Kritische und exegetische Bemerkungen zu Lysias, Progr. Köln 1888.
Krüger, Kritische Analekten, Berlin o. J.
Lipsius, quaestionum Lysiacarum specimen, Progr. Lips. 1864.
Mehler, Mnem. III.
Meutzner, commentatio de Lysiae orat. περὶ τοῦ σηκοῦ, Lips. 1860.
Morgan, Harvard Studies in Classical Philology III. V. XII (Addresses and Essays 106 sq.).
Müller F., observationes de elocutione Lysiae p. I de anacoluthis, diss. Hal. 1877.
Müller P. R., de emendandis aliquot locis Lysiae, Progr. Rossleb. 1858, Beiträge zur Kritik des Lysias, Progr. Merseburg 1862.

1866. 1873, Philol. IX. XII. XXIX. XXX, Jahrb. f. Phil. LXXXVII. XCI. XCV. CLIII.
Naber, Mnem. XXXIII.
Pantazi, Ἀθηνᾶ XII.
Pertz, quaestionum Lysiacarum cap. I et II, Progr. Clausthal 1857 et 1862, et quae tradit Reuss, Philol. LII.
Pluygers, ad Lysiae orationes, Mnem. XI.
Polak H. J., Paralipomena Lysiaca, Mnem. XXIX. XXX. XXXI.
Rauchenstein, Jahrb. f. Phil. LXXXI. XCI. XCIII. CXI. CXIII.
Reuss, Philol. LII.
Richards, Class. Rev. XX.
Roehl, Herm. XI, Jahrb. f. Phil. CXV, Jahresb. des phil. Vereins I—V.
Sauppe, epistola critica 1841, Philol. XV. XXV.
Scheibe, observationes in oratores Atticos Hal. 1836, vindiciae Lysiacae Lips. 1845, emendationum Lys. fascic. Progr. Neostrelitz. 1852, lectiones Lys. Jahrb. f. Phil. Suppl. I.
Schoell R., Philol. XXV, quaestiones fiscales iuris Attici Berol. 1873.
Schultz H., Herm. XLVI.
Thalheim, Jahrb. f. Phil. CXI. CXV. CXVII, Kritische Bemerkungen zu Lysias, Progr. Hirschberg 1900.
Vollgraff, Mnem. XXVII.
Weidner, Jahrb. f. Phil. CXXXVII.
Westermann, commentationes in script. graecos IV—VI Lips. 1853—1856, quaestionum Lysiacarum I—III Lips. 1859—1865.
Wissowa, Herm. XIX.
Ziel, emendationes in Lysiam, Zeitschr. f. Altertumsw. 1844.

Restat, ut Carolo Fuhr gratias agam pro censura accurata et prudenti, quam de editione priore egit Berl. Phil. Woch. 1901, 1507 sq.

Orationibus praemisi Dionysii Halicarnassensis de Lysia iudicium, Pseudoplutarchi vitam, argumenta brevia.

ΛΥΣΙΑΣ ΣΥΡΑΚΟΥΣΙΟΣ ΠΑΤΡΟΘΕΝ.

Λυσίας ὁ Κεφάλου Συρακουσίων μὲν ἦν γονέων. ἐγεννήθη δὲ Ἀθήνησι μετοικοῦντι τῷ πατρί, καὶ συνεπαιδεύθη τοῖς ἐπιφανεστάτοις Ἀθηναίων. ἔτη δὲ πεντεκαίδεκα γεγονὼς εἰς Θουρίους ᾤχετο πλέων σὺν | ἀδελφοῖς δυσίν, κοινωνήσων τῆς ἀποικίας, ἣν ἔστελλον Ἀθηναῖοί τε καὶ ἡ ἄλλη Ἑλλὰς δωδεκάτῳ

Titulo carent MT, in margine περὶ Λυσίου FM   4 δυσὶ M

*πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου· καὶ διετέλεσεν αὐτόθι πολιτευόμενος ἐν εὐπορίᾳ πολλῇ καί** μέχρι τῆς συμφορᾶς τῆς κατασχούσης Ἀθηναίους ἐν Σικελίᾳ. μετ' ἐκεῖνο δὲ τὸ πάθος στασιάσαντος τοῦ δήμου, ἐκπίπτει σὺν ἄλλοις τριασοσίοις ἀττικισμὸν ἐγκληθείς· καὶ παραγενόμενος αὖθις εἰς* 411 *Ἀθήνας κατὰ ἄρχοντα Καλλίαν, ἕβδομον καὶ τετταρακοστὸν ἔτος ἔχων, ὡς ἄν τις εἰκάσειεν, ἐξ ἐκείνου τοῦ χρόνου διετέλεσε τὰς διατριβὰς ποιούμενος Ἀθήνησι. πλείστους δὲ γράψας λόγους εἰς δικαστήριά τε καὶ βουλὰς καὶ πρὸς ἐκκλησίας εὐθέτους, πρὸς δὲ τούτοις πανηγυρικούς, ἐρωτικούς, ἐπιστολικούς, τῶν μὲν ἔμπροσθεν γενομένων ῥητόρων ἢ κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων ἠφάνισε τὰς δόξας· τῶν δὲ ἐπιγενομένων οὐ πολ|λοῖς τισι κατέλιπεν ὑπερβολὴν οὐδ' ἐν ἁπάσαις ταῖς ἰδέαις τῶν λόγων, καὶ μὰ Δί' οὔ τί γε ταῖς φαυλοτάταις. τίνι δὲ κέχρηται χαρακτῆρι λόγων καὶ τίνας ἀρετὰς εἰσενήνεκται, τίνι τε κρείττων ἐστὶ τῶν μεθ' αὐτὸν ἀκμασάντων καὶ πῇ καταδεέστερος, καὶ τί δεῖ λαμβάνειν παρ' αὐτοῦ, νῦν ἤδη πειράσομαι λέγειν.*

2. *Καθαρός ἐστι τὴν ἑρμηνείαν πάνυ, καὶ τῆς Ἀττικῆς γλώττης ἄριστος κανών, οὐ τῆς ἀρχαίας, ᾗ κέχρηται Πλάτων τε καὶ Θουκυδίδης, ἀλλὰ τῆς κατ' ἐκεῖνον τὸν χρόνον ἐπιχωριαζούσης, ὡς ἔστι τεκμήρασθαι τοῖς τε Ἀνδοκίδου λόγοις καὶ τοῖς Κριτίου καὶ ἄλλοις συχνοῖς. κατὰ τοῦτο μὲν δὴ τὸ μέρος, ὅπερ ἐστὶ πρῶτόν τε καὶ κυριώτατον ἐν λόγοις, λέγω δὲ τὸ καθαρεύειν τὴν | διάλεκτον, οὐθεὶς τῶν μεταγενεστέρων αὐτὸν ὑπερεβάλετο, ἀλλ' οὐδὲ μιμήσασθαι πολλοὶ δύναμιν ἔσχον, ὅτι μὴ μόνος Ἰσοκράτης· καθαρώτατος γὰρ δὴ τῶν ἄλλων μετὰ Λυσίαν ἐν τοῖς ὀνόμασιν οὗτος ἔμοιγε δοκεῖ γενέσθαι ὁ ἀνήρ. μίαν μὲν δὴ ταύτην ἀρετὴν ἀξίαν ζήλου καὶ μιμήσεως εὑρίσκω*

---

2 lacunam ind. Usener, qui e vitis X or. 835^{d} supplet *παιδευόμενος παρὰ Τισίᾳ τε καὶ Νικίᾳ*, Sad cum vulg. del. *καὶ* 5 *ἐγκληθεῖσι* FT 8 *ἐν ἀθήνησι* pr. FT 12 *ἐπιγινομένων* F *οὐ*] *οὔτε* Rad 13 *οὐδ'* scripsi: *οὔτ'* FM, *ἅτ'* T, qui post *φαυλοτάταις* addit *εὐδοκιμῶν*: *ἅτ' . . . ⟨ἐπὶ⟩ τοῖς φαυλοτάτοις εὐδοκ.* B. Lit. Centr. 1899, 1365 post *λόγων* lac. ind. Rad., quam supplet fere *ἀλλ' ἔν τισι καὶ πρωτεύει*: *ἀλλ' ἔν τισι καὶ οὐδεμίαν* add. Pantazi 16 *μεθ' αὑτὸν* corr. F, *μεθ' ἑαυτὸν* M, *μετ' αὐτὸν* pr. FT 20 *τε* om. pr. FT *τὸν* om. T 23 *πρῶτον μέν τε καὶ κυριώτερον* T 26 *γὰρ* om. pr. FT *μετά γε* T

παρὰ τῷ ῥήτορι, καὶ παρακελευσαίμην ἂν τοῖς βουλομένοις καθαρῶς γράφειν ἢ λέγειν ἐκεῖνον τὸν ἄνδρα ποιεῖσθαι παράδειγμα ταύτης τῆς ἀρετῆς.

3. Ἑτέραν δὲ καὶ οὐδὲν ἐλάττονα ταύτης, ἣν πολλοὶ μὲν ἐζήλωσαν τῶν κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων, οὐδεὶς δὲ βεβαιότερον ἀπεδείξατο. τίς δ' ἐστὶν αὕτη; ἡ διὰ τῶν κυρίων τε καὶ κοινῶν καὶ ἐν μέσῳ κειμένων ὀνομά|των ἐκφέρουσα τὰ νοούμενα. ἥκιστα γὰρ ἄν τις εὕροι Λυσίαν τροπικῇ φράσει χρησάμενον. καὶ οὐκ ἐπὶ τούτῳ μόνον ἐπαινεῖν αὐτὸν ἄξιον, ἀλλ' ὅτι καὶ σεμνὰ καὶ περιττὰ καὶ μεγάλα φαίνεσθαι τὰ πράγματα ποιεῖ τοῖς κοινοτάτοις χρώμενος ὀνόμασι καὶ ποιητικῆς οὐχ ἁπτόμενος κατασκευῆς. τοῖς δὲ προτέροις οὐχ αὕτη ἡ δόξα ἦν, ἀλλ|ὰ βουλόμενοι κόσμον τινὰ προσεῖναι τοῖς λόγοις ἐξήλλαττον τὸν ἰδιώτην καὶ κατέφευγον εἰς τὴν ποιητικὴν φράσιν, μεταφοραῖς τε πολλαῖς χρώμενοι καὶ ὑπερβολαῖς καὶ ταῖς ἄλλαις τροπικαῖς ἰδέαις, ὀνομάτων τε γλωττηματικῶν καὶ ξένων χρήσει καὶ τῶν οὐκ εἰωθότων σχη|ματισμῶν τῇ διαλλαγῇ καὶ τῇ ἄλλῃ καινολογίᾳ καταπληττόμενοι τὸν ἰδιώτην. δηλοῖ δὲ τοῦτο Γοργίας τε ὁ Λεοντῖνος, ἐν πολλοῖς πάνυ φορτικήν τε καὶ ὑπέρογκον ποιῶν τὴν κατασκευὴν καὶ „οὐ πόρρω διθυράμβων τινῶν“ ἔνια φθεγγόμενος, καὶ τῶν ἐκείνου συνουσιαστῶν οἱ περὶ Λικύμνιόν τε καὶ Πῶλον. ἥψατο δὲ καὶ τῶν Ἀθήνησι ῥητόρων ἡ ποιητική τε καὶ τροπικὴ φράσις, ὡς μὲν Τίμαιός φησι, Γοργίου ἄρξαντος, ἡνίκ' Ἀθήναζε πρεσβεύων | κατεπλήξατο τοὺς ἀκούοντας τῇ δημηγορίᾳ, ὡς δὲ τἀληθὲς ἔχει, τὸ καὶ παλαιότερον ἀεί τι θαυμαζομένη. Θουκυδίδης γοῦν ὁ δαιμονιώτατος τῶν συγγραφέων, ἔν τε τῷ ἐπιταφίῳ καὶ ἐν ταῖς δη-

---

4 καὶ om. T ἐλάττω T 6 ἐπεδείξατο T 8 post νοούμενα add. λέξις Sad, ἑρμήνεια add. Rad 9 αὐτὸν om. pr. FT 10 καὶ περιττὰ καὶ σεμνὰ T 12 τοῖς δὲ πρότερον Sad 13 ἀλλὰ Usener: ἀλλ' οἱ FMT προσθεῖναι Tayl λόγοις Victorius: ὅλοις FMV quod defendit B Lit. Centrbl. 1899, 1365 coll. Arist. E. N. I 9 14 τὴν ἰδιωτ.ν pr. F, unde τὴν ἰδιῶτιν Rad prop. 15 μεταβολαῖς T 17 ⟨τῇ⟩ χρήσει Desr 18 τὸν ἰδιώτην deleverit Desr 21 τινῶν om. T, Plat. Phaedr. 238ᵈ, sed cf. de Dem. 7 p. 971 25 ἀκ. ἐν τῇ pr. FT τὸ καὶ Desr: ὃ καὶ FT, ὅ M 26 τι om. T θαυμαζόμενον T γοῦν ὁ Desr, qui malit γοῦν ὁ μάλιστα: τοὔνομα FMT

μηγορίαις ποιητικῇ κατασκευῇ χρησάμενος, ἐν πολλοῖς ἐξήλλαξε τὴν ἑρμηνείαν εἰς ὄγκον ἅμα καὶ κόσμον ὀνομάτων ἀηθέστερον. Λυσίας δὲ τοιοῦτον οὐδὲν ἤσκησεν ἐν γοῦν τοῖς σπουδῇ γραφομένοις δικανικοῖς λόγοις καὶ συμβουλευτικοῖς ποιῆσαι, πλὴν εἴ τι μικρὸν ἐν τοῖς πανηγυρικοῖς· περὶ γὰρ δὴ τῶν ἐπιστολικῶν αὐτοῦ καὶ ἑταιρικῶν καὶ τῶν ἄλλων, οὓς μετὰ παιδιᾶς ἔγραψεν, οὐδὲν δέομαι λέγειν. ὁμοίως δὲ τοῖς ἰδιώταις διαλέγεσθαι δοκῶν, πλεῖστον ὅσον ἰδιώτου διαφέρει καὶ ἔστι ποιητὴς κράτιστος λόγων, λελυμένης | ἐκ τοῦ μέτρου λέξεως ἰδίαν τινὰ [λόγων] εὑρηκὼς ἁρμονίαν, ᾗ τὰ ὀνόματα κοσμεῖ τε καὶ ἡδύνει, μηδὲν ἔχοντα ὀγκῶδες μηδὲ φορτικόν. ταύτην δευτέραν τὴν ἀρετὴν κελεύω παρὰ τοῦ ῥήτορος τούτου λαμβάνειν, εἴ τινες ἀξιοῦσι τὸν αὐτὸν ἐκείνῳ διαλέγεσθαι τρόπον. ἐγένοντο μὲν οὖν πολλοὶ τῆς προαιρέσεως ταύτης ζηλωταί, συγγραφεῖς τε καὶ ῥήτορες· ἔγγιστα δὲ αὐτῆς μετὰ Λυσίαν ἥψατο τῶν πρεσβυτέρων νέος ἐπακμάσας Ἰσοκράτης. καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν προσωτέρω τούτων σκοπῶν ἑτέρους ῥήτο|ρας ἰσχὺν καὶ δύναμιν τοσαύτην ἐν ὀνόμασι κυρίοις καὶ κοινοῖς ἀποδειξαμένους.

4. Τρίτην ἀρετὴν ἀποφαίνομαι περὶ τὸν ἄνδρα τὴν σαφήνειαν, οὐ μόνον τὴν ἐν τοῖς ὀνόμασιν, ἀλλὰ καὶ τὴν ἐν τοῖς πράγμασιν. ἔστι γάρ τις καὶ πραγματικὴ σαφήνεια, οὐ πολλοῖς γνώριμος. τεκμαίρομαι δέ, ὅτι τῆς μὲν Θουκυδίδου λέξεως καὶ Δημοσθένους, οἳ δεινότατοι πράγματα ἐξειπεῖν ἐγένοντο, πολλὰ δυσείκαστά ἐστιν ἡμῖν καὶ ἀσαφῆ καὶ δεόμενα ἐξηγητῶν, ἡ δὲ Λυσίου λέξις ἅπασά ἐστι φανερὰ καὶ σαφὴς καὶ τῷ πάνυ πόρρω δοκοῦντι πολιτικῶν ἀφεστάναι λόγων. καὶ εἰ μὲν δι' ἀσθένειαν δυνάμεως ἐγίνετο τὸ σαφές, οὐκ ἄξιον ἦν αὐτὸ ἀγαπᾶν, νῦν δὲ ὁ πλοῦτος τῶν κυρίων ὀνομάτων ἐκ πολλῆς αὐτῷ περιουσίας ἀποδείκνυται ταύτην τὴν ἀρετήν· ὥστε | καὶ τὴν σαφήνειαν αὐτοῦ ζηλοῦν ἄξιον. καὶ μὴν τό γε βραχέως ἐκφέρειν τὰ νοήματα μετὰ

---

4 δικ. καὶ συμβ. λόγοις T 5 δὴ del. HSteph 8 ἔστι M: ἐπεὶ FT 9 τοῦ om. T 10 λόγων del. Markl ᾗ τὰ ... ἔχουσα malit Rad 15 τῶν πρεσβ.] πρεσβυτέρῳ Dobr 16 ἐπαγμάσας F, ἐπασκήσας T 17 ἑτέρου ῥήτορος T 18 ἀποδειξαμενος F, ἀποδεξάμενος T 23 ὅτι om. T 25 ὑμῖν T ἐξηγητοῦ T 28 τὸ om. T 29 ἀποδείκν. ⟨γινομένην⟩ Desr. prop. 30 καὶ om. T

τοῦ σαφῶς, χαλεποῦ πράγματος ὄντος φύσει τοῦ συναγαγεῖν ἄμφω ταῦτα καὶ κεράσαι μετρίως, ᾗ μάλιστα οὐδενὸς ἧττον τῶν ἄλλων ἀποδείκνυται Λυσίας, ὅς γε οὐδὲν τοῖς διὰ χειρὸς ἔχουσι τὸν ἄνδρα οὔτε ἀκαιρολογίας οὔτε ἀσαφείας | δόξει λαβεῖν. τούτου δὲ αἴτιον, ὅτι οὐ τοῖς ὀνόμασι δουλεύει τὰ πράγματα παρ' αὐτῷ, τοῖς δὲ πράγμασιν ἀκολουθεῖ τὰ ὀνόματα, τὸν δὲ κόσμον οὐκ ἐν τῷ διαλλάττειν τὸν ἰδιώτην, ἀλλ' ἐν τῷ μιμήσασθαι, λαμβάνει.

5. Καὶ οὐκ ἐπὶ μὲν τῆς ἑρμηνείας τοιοῦτός ἐστιν, ἐν δὲ τοῖς πράγμασιν ἄκαιρός τις καὶ μακρός, συνέστραπται δέ, εἴ τις καὶ ἄλλος, καὶ πεπύκνωται τοῖς νοήμασι· καὶ τοσούτου δεῖ τῶν οὐκ ἀναγκαίων τι λέγειν, ὥστε καὶ πολλὰ καὶ τῶν χρησίμων ἂν δόξειε παραλιπεῖν, οὐ μὰ Δί' ἀσθενείᾳ εὑρέσεως αὐτὸ ποιῶν, ἀλλὰ συμμετρήσει τοῦ χρόνου, πρὸς ὃν ἔδει γενέσθαι τοὺς λόγους. βραχύς γε μὴν οὕτως, ὡς μὲν ἰδιώτῃ δηλῶσαι βουλομένῳ τὰ πράγματα ἀποχρῶν, ὡς δὲ ῥήτορι περιουσίαν δυνάμεως ἐνδείξασθαι ζητοῦντι οὐχ ἱκανός. μιμητέον | δὴ καὶ τὴν βραχύτητα τὴν Λυσίου· μετριωτέρα γὰρ οὐκ ἂν εὑρεθείη παρ' ἑτέρῳ ῥήτορι.

6. Μετὰ ταύτας ἀρετὴν εὑρίσκω παρὰ Λυσίᾳ πάνυ θαυμαστήν, ἧς Θεόφραστος μέν φησιν ἄρξαι Θρασύμαχον, ἐγὼ δ' ἡγοῦμαι Λυσίαν· καὶ γὰρ τοῖς χρόνοις οὗτος ἐκείνου προέχειν ἔμοιγε δοκεῖ (λέγω δ' ὡς ἐν ἀκμῇ κοινῇ βίου γενομένων ἀμφοῖν), καὶ εἰ μὴ τοῦτο δοθείη, τῷ γέ τοι περὶ τοὺς ἀληθινοὺς ἀγῶνας ἐκείνου μᾶλλον τετρῖφθαι. οὐ μέντοι διαβεβαιοῦμαί γε, ὁπότερος ἦρξε τῆς ἀρετῆς ταύτης, κατὰ τὸ παρόν, ἀλλ' ὅτι Λυσίας μᾶλλον ἐν αὐτῇ διήνεγκεν, τοῦτο θαρρῶν ἂν ἀποφηναίμην. τίς δ' ἐστὶν ἥν φημι ἀρετήν; ἡ συστρέφουσα τὰ νοήματα καὶ στρογγύλως ἐκφέρουσα λέξις, οἰκεία πάνυ καὶ ἀναγκαία τοῖς δικανικοῖς λόγοις καὶ παντὶ ἀληθεῖ ἀγῶνι. ταύτην

1 τοῦ ante πράγματος add. T 2 ῇ μάλιστα ᾗ Markl, sed ᾗ μάλιστα est „quam maxime" Rad 3 ὅς γε F, ὅς τε M, χρώμενος ὥστε T 4 ἀκαιρολογίας Tayl: ἀκυρολογίας FM, ἀκυριολογίας T δόξει scripsi: δόξαν FMT, δόξειεν ἂν Rad 7 ἐξαλλάττειν Herw μιμεῖσθαι T 12 τι om. F καὶ post πολλὰ om. T 13 αὐτὸ ποιεῖν T 15 οὕτως TF corr. a pr. man. οὗτος pr. FM 17 δὲ καὶ T 24 τῷ γε Ald: τό γε FMT 26 ὁποτέρας F

ὀλίγοι μὲν ἐμιμήσαντο, Δημοσθένης δὲ καὶ ὑπερεβάλετο· πλὴν οὐχ οὕτως γε λευκῶς, οὐδὲ ἀφελῶς, ὥσπερ Λυ|σίας, χρησάμενος αὐτῇ, ἀλλὰ περιέργως καὶ πικρῶς· λεγέσθω γάρ, ὡς ἐμοὶ φαίνεται· ὑπὲρ ὧν κατὰ τὸν οἰκεῖον διαλέξομαι καιρόν.

7. Ἔχει δὲ καὶ τὴν ἐνάργειαν πολλὴν ἡ Λυσίου λέξις· αὕτη δ' ἐστὶ δύναμίς τις ὑπὸ τὰς αἰσθήσεις ἄγου|σα τὰ λεγόμενα, γίγνεται δ' ἐκ τῆς τῶν παρακολουθούντων λήψεως. ὁ δὴ προσέχων τὴν διάνοιαν τοῖς Λυσίου λόγοις, οὐχ οὕτως ἔσται σκαιὸς ἢ δυσάρεστος ἢ βραδὺς τὸν νοῦν, ὃς οὐχ ὑπολήψεται γινόμενα τὰ δηλούμενα ὁρᾶν, καὶ ὥσπερ παροῦσιν οἷς ἂν ὁ ῥήτωρ εἰσάγῃ προσώποις ὁμιλεῖν· ἐπιζητήσει τε οὐθέν, ⟨ὧν⟩ εἰκὸς τοὺς μὲν ἂν δρᾶσαι, τοὺς δὲ παθεῖν, τοὺς δὲ διανοηθῆναι, τοὺς δὲ εἰπεῖν. κράτιστος γὰρ δὴ πάντων ἐγένετο ῥητόρων | φύσιν ἀνθρώπων κατοπτεῦσαι καὶ τὰ προσήκοντα ἑκάστοις ἀποδοῦναι πάθη τε καὶ ἤθη καὶ ἔργα.

8. Ἀποδίδωμί τε οὖν αὐτῷ καὶ τὴν εὐπρεπεστάτην ἀρετήν, καλουμένην δὲ ὑπὸ πολλῶν ἠθοποιΐαν. ἁπλῶς γὰρ οὐδὲν εὑρεῖν δύναμαι παρὰ τῷ ῥήτορι τούτῳ πρόσωπον οὔτε ἀνηθοποίητον οὔτε ἄψυχον. τριῶν τε ὄντων, ἐν οἷς καὶ περὶ ἃ τὴν ἀρετὴν εἶναι ταύτην συμβέβηκε, διανοίας τε καὶ λέξεως καὶ τρίτης τῆς συνθέσεως, ἐν ἅπασι τούτοις αὐτὸν ἀποφαίνομαι κατορθοῦν. οὐ γὰρ διανοουμένους μόνον ὑποτίθεται χρηστὰ καὶ ἐπιεικῆ καὶ μέτρια τοὺς λέγοντας, ὥστε εἰκόνας εἶναι δοκεῖν τῶν ἠθῶν τοὺς λόγους, ἀλλὰ καὶ τὴν λέξιν ἀποδίδωσι τοῖς ἤθεσιν οἰκείαν, ᾗ πέφυκεν αὐτὰ ἑαυτῶν κράτιστα δηλοῦσθαι, τὴν σαφῆ καὶ κυρίαν καὶ κοινὴν καὶ πᾶσιν ἀνθρώποις συνηθεστάτην· ὁ γὰρ ὄγκος καὶ τὸ ξένον καὶ τὸ ἐξ ἐπιτηδεύσεως ἅπαν ἀνηθοποίητον· καὶ συντίθησί γε αὐτὴν ἀφελῶς πάνυ καὶ ἁπλῶς, ὁρῶν ὅτι οὐκ | ἐν τῇ περιόδῳ καὶ τοῖς ῥυθμοῖς,

---

2 γε λευκῶς Rad: τελευκῶς FM, εὐτελῶς T, γε λιτῶς Pantazi 7 ὁ δὲ πρ. T 9 οὐχ ὑπολήψεως τὰ δηλούμενα ὡς γινόμενα T 11 ὧν add. Dobr, οἷον Rad 12 ἂν δρᾶσαι, τοὺς δὲ παθεῖν Markl: ἄνδρας αἰτοῦσα εἰ ταθείη FT, ἄνδρας αἰτοῦσα cum spatio XII litt. M 16 δ' οὖν Krüger 17 ὑπὸ τῶν πολλῶν M οὐδὲν Sylburg: οὐδὲ FMT 20 εἶναι om. F, ταύτην συμβέβηκεν εἶναι T 21 τῆς del. Herw κατορθοῦντα Spengel 22 διανοούμενος M 28 ἁπλῶς πάνυ καὶ ἀφελῶς T

ἀλλ' ἐν τῇ διαλελυμένῃ λέξει γίνεται τὸ ἦθος. καθόλου δέ, ἵνα καὶ περὶ ταύτης εἴπω τῆς ἀρετῆς, οὐκ οἶδ' εἴ τις ἄλλος ῥητόρων, τῶν γε τῇ ὁμοίᾳ κατασκευῇ χρησαμένων τοῦ λόγου, εἴτε ἥδιον συνέθηκεν εἴτε πιθανώτερον. δοκεῖ μὲν γὰρ ἀποίητός τις εἶναι καὶ ἀτεχνίτευτος ὁ τῆς ἁρμονίας αὐτοῦ χαρακτήρ, καὶ οὐ θαυμάσαιμ' ἄν· εἰ πᾶσι μὲν τοῖς ἰδιώταις, οὐκ ὀλίγοις δὲ καὶ τῶν φιλολόγων, ὅσοι μὴ μεγάλας ἔχουσι τριβὰς περὶ λόγους, τοιαύτην τινὰ παράσχοι δόξαν, ὅτι ἀνεπιτηδεύτως καὶ οὐ κατὰ τέχνην, αὐτομάτως δέ πως καὶ ὡς ἔτυχε σύγκειται. ἔστι δὲ παντὸς μᾶλλον ἔργου τεχνικοῦ κατεσκευασμένος. πεποίη|ται γὰρ αὐτῷ τοῦτο τὸ ἀποίητον καὶ δέδεται τὸ λελυμένον καὶ ἐν αὐτῷ τῷ μὴ δοκεῖν δεινῶς κατεσκευάσθαι τὸ δεινὸν ἔχει. τὴν ἀλήθειαν οὖν τις ἐπιτηδεύων, καὶ φύσεως μιμητὴς γίνεσθαι βουλόμενος, οὐκ ἂν ἁμαρτάνοι τῇ Λυσίου συνθέσει χρώμενος· ἑτέραν γὰρ οὐκ ἂν εὕροι ταύτης ἀληθεστέραν.

9. *Οἴομαι δὲ καὶ τὸ πρέπον ἔχειν τὴν Λυσίου λέξιν οὐθενὸς ἧττον τῶν ἀρχαίων ῥητόρων, κρατίστην ἁπασῶν ἀρετὴν καὶ τελειοτάτην, ὁρῶν αὐτὴν πρός τε τὸν λέγοντα καὶ πρὸς τοὺς ἀκούοντας καὶ πρὸς τὸ πρᾶγμα (ἐν τούτοις γὰρ δὴ καὶ πρὸς ταῦτα τὸ πρέπον) ἀρκούντως ἡρμοσμένην· καὶ γὰρ ἡλικίᾳ καὶ γένει καὶ παι|δείᾳ καὶ ἐπιτηδεύματι καὶ βίῳ καὶ τοῖς ἄλλοις, ἐν οἷς διαφέρει τῶν προσώπων πρόσωπα, τὰς οἰκείας ἀποδίδωσι φωνάς· πρός τε τὸν ἀκροατὴν συμμετρεῖται τὰ λεγόμενα οἰκείως, οὐ τὸν αὐτὸν τρόπον δικαστῇ τε καὶ ἐκκλησιαστῇ καὶ πανηγυρίζοντι διαλεγόμενος ὄχλῳ. διαφοράς τε αὐτῷ λαμβάνει κατὰ τὰς ἰδέας τῶν πραγμάτων ἡ λέξις· ἀρχομένῳ μὲν γάρ ἐστι καθεστηκυῖα καὶ ἠθική, διηγουμένῳ δὲ πιθανὴ καὶ ἀπερίεργος, ἀποδεικνύντι δὲ στρογγύλη καὶ πυκνή, αὔξοντι δὲ καὶ παθαινομένῳ σεμνὴ καὶ ἀληθινή, ἀνακεφαλαιουμένῳ δὲ δια-*

---

4 ἀποίητος om. F, in mg. ·/. ἀποι a pr. m. reliqua vocis parte abrepta, γάρ ποι τις T 6 μὲν om. T 9 ἔτυχε] ἔγκειται F 10 μᾶλλον ex μὲν corr. F a manu tertia τεχνικῶς Sad 11 γὰρ αὐτοῦ τὸ ἀπ. Syrian. I p. 12 R, qui habet 4 δοκεῖ μὲν . . . 12 δεινὸν ἔχει 12 κατασκευάσεσθαι T 20 ταῦτα om. T ἡρμοσμένην Matthaei: ἡρμοσμένη FMT 21 καὶ ἐπιτηδεύματι καὶ παιδείᾳ M 22 τῶν om. T τὰ προσ. T 24 τε cum F pr. om. Rad 27 καὶ περίεργος pr. F 28 δὲ ante στρογγ. om. T

λελυμένη καὶ σύντομος. ληπτέον δὴ καὶ τὸ πρέπον τῆς λέξεως παρὰ Λυσίου. |

10. Ὅτι μὲν γὰρ πιθανὴ καὶ πειστικὴ καὶ πολὺ τὸ φυσικὸν ἐπιφαίνουσα καὶ πάνθ', ὅσα τῆς τοιαύτης ἰδέας ἔχεται, πρὸς εἰδότας οὐδὲν ἴσως δεῖ λέγειν· δι' ὄχλου γὰρ ἤδη τοῦτό γε, καὶ οὐδείς ἐστιν ὃς οὐχὶ καὶ πείρᾳ καὶ ἀκοῇ μαθὼν ὁμολογεῖ, πάντων αὐτὸν εἶναι ῥητόρων πιθανώτατον. ὥστε καὶ ταύτην τὴν ἀρετὴν ληπτέον παρὰ τοῦ ῥήτορος.

Πολλὰ καὶ καλὰ λέγειν ἔχων περὶ τῆς Λυσίου λέξεως, ἣν λαμβάνων καὶ μιμούμενος ἄν τις ἀμείνων γένοιτο τὴν ἑρμηνείαν, τὰ μὲν ἄλλα τοῦ χρόνου στοχαζόμενος ἐάσω· μίαν δὲ ἀρετὴν ἔτι τοῦ ῥήτορος ἐπιδείξομαι, κρίνας καλλίστην τε καὶ κυριωτάτην, καὶ μόνην | ἣ μάλιστα τῶν ἄλλων τὸν Λυσίου χαρακτῆρα δυναμένην βεβαιῶσαι, ἣν ὑπερεβάλετο μὲν οὐδεὶς τῶν ὕστερον, ἐμιμήσαντο δὲ πολλοὶ καὶ παρ' αὐτὸ τοῦτο κρείττους ἑτέρων ἔδοξαν εἶναι, τὴν ἄλλην δύναμιν οὐθὲν διαφέροντες· ὑπὲρ ὧν, ἂν ἐγχωρῇ, κατὰ τὸν οἰκεῖον διαλέξομαι τόπον. τίς δέ ἐστιν ἥδε ἡ ἀρετή; ἡ [τις] πᾶσιν ἐπανθοῦσα τοῖς ὀνόμασι [καὶ τίς ἡ] χάρις, πρᾶγμα παντὸς κρεῖττον | λόγου καὶ θαυμασιώτατον. ῥᾷστον μὲν γάρ ἐστιν ὀφθῆναι καὶ παντὶ ὁμοίως ἰδιώτῃ τε καὶ τεχνίτῃ φανερόν, χαλεπώτατον δὲ λόγῳ δηλωθῆναι καὶ οὐδὲ τοῖς κράτιστα εἰπεῖν δυναμένοις εὔπορον.

11. Ὥστε εἴ τις ἀξιοίη λόγῳ διδαχθῆναι ταύτην τὴν δύναμιν, ἥτις ποτ' ἐστίν, οὐκ ἂν φθάνοι καὶ ἄλλων πολλῶν καὶ καλῶν πραγμάτων δυσεκλαλήτων ἀπαιτῶν λόγον· λέγω δέ, ἐπὶ κάλλους μὲν σωμάτων, τί δή ποτε | τοῦτ' ἔστιν, ὃ καλοῦμεν ὥραν· ἐπὶ κινήσεως δὲ μελῶν καὶ πλοκῆς φθόγγων, τί λέγεται τὸ εὐάρμοστον· ἐπὶ συμμετρίας δὲ χρόνων, τίς ἡ τάξις καὶ τί τὸ εὔ-

1 λέξεως pr. F, Tayl: τάξεως corr. FMT 3 καὶ πειστικὴ om. T 4 πᾶν θ' F 6 ὁμολογήσει pr. F, corr. a m. tertia 7 ῥητόρων αὐτὸν εἶναι FT 9 ἣν] ἃ Weil 12 ἀποδείξομαι pr. F 13 κυριωτάτην Markl: κοινοτάτην FMT ἣ μάλιστα Markl: τὴν μάλιστα FMT, αὐτὴν μάλ. Rad 18 ἡ post ἥδε om. FT ἡ Sylburg: ἥτις FMT 19 καὶ τίς ἡ del. Sad, κἀπ' ἴσης Rad 20 θαυμασιώτατον Markl: θαυμασιώτερον FMT ῥᾷστον Tayl: ἄριστον FMT 21 τὲ καὶ] τε om. pr. F, τε ἢ T λόγον T 23 ἀξιοῖ ἢ FT 25 λόγων T 27 μελῶν] μελισμοῦ T

ῥυθμόν· καὶ ἐπὶ παντὸς δὲ συλλήβδην ἔργου τε καὶ πράγματος, τίς ὁ λεγόμενος καιρὸς καὶ ποῦ τὸ μέτριον. αἰσθήσει γὰρ τούτων ἕκαστον καταλαμβάνεται καὶ οὐ λόγῳ. ὥσθ' ὅπερ οἱ μουσικοὶ παραγγέλλουσι ποιεῖν τοῖς βουλομένοις ἀκούειν ἀκριβῶς ἁρμονίας, ὥστε μηδὲ τὴν ἐλαχίστην ἐν τοῖς διαστήμασι δίεσιν ἀγνοεῖν τὴν ἀκοὴν ἐθίζειν | καὶ μηδὲν ἄλλο ταύτης ἀκριβέστερον ζητεῖν κριτήριον, τοῦτο κἀγὼ τοῖς ἀναγινώσκουσι τὸν Λυσίαν καὶ τίς ἡ παρ' αὐτῷ χάρις ἐστὶ βουλομένοις μαθεῖν ὑποθείμην ἂν ἐπιτη|δεύειν, χρόνῳ πολλῷ καὶ μακρᾷ τριβῇ καὶ ἀλόγῳ πάθει τὴν ἄλογον συνασκεῖν αἴσθησιν. ταύτην μέντοι κρατίστην τε ἀρετὴν καὶ χαρακτηρικωτάτην τῆς Λυσίου λέξεως ἔγωγε τίθεμαι, εἴτε φύσεως αὐτὴν δεῖ καλεῖν εὐτυχίαν εἴτε πόνου καὶ τέχνης ἐργασίαν εἴτε μικτὴν ἐξ ἀμφοῖν ἕξιν ἢ δύναμιν, ᾗ πάντας ὑπερέχει τοὺς λοιποὺς ῥήτορας. καὶ ὅταν διαπορῶ περί τινος τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ μὴ ῥᾴδιον ᾖ μοι διὰ τῶν ἄλλων σημείων τἀληθὲς εὑρεῖν, ἐπὶ ταύτην καταφεύγω τὴν ἀρετὴν ὡς ἐπὶ ψῆφον ἐσχάτην. ἔπειτα ἂν μὲν αἱ χάριτες αἱ τῆς λέξεως ἐπικοσμεῖν δοκῶσί μοι τὴν γραφήν, τῆς Λυσίου ψυχῆς αὐτὴν τίθεμαι καὶ οὐδὲν ἔτι πορ|ρωτέρω ταύτης σκοπεῖν ἀξιῶ. ἐὰν δὲ μηδεμίαν ἡδονὴν μηδὲ ἀφροδίτην ὁ τῆς λέξεως χαρακτὴρ ἔχῃ, δυσωπῶ καὶ ὑποπτεύω, μήποτ' οὐ Λυσίου ⟨ᾖ⟩ ὁ λόγος, καὶ οὐκ ἔτι βιάζομαι τὴν ἄλογον αἴσθησιν, οὐδ' ἐὰν πάνυ δεινὸς εἶναι τὰ γοῦν ἄλλα μοι δοκῇ καὶ περιττῶς ἐξειργασμένος ὁ λόγος, τὸ μὲν εὖ γράφειν πολλοῖς οἰόμενος ὑπάρχειν κατά τινας καὶ ἄλλους ἰδίους λέξεως χαρακτῆρας (πολυειδὲς γὰρ τοῦτο), τὸ δ' ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως Λυσίᾳ.

Τεκμηρίῳ γοῦν οὐκ ἄλλῳ τινὶ κρείττονι χρώμενος ἢ τῷ καθ' ἡδονὴν ἑρμηνεύεσθαι τὰ ὑπὸ τούτου λεγόμενα, [ᾧ] πολλοὺς

---

3 [*κατα*]*λαμβάνεται* F cum ras. *οὐ λέγω* T *οἱ* om. FT 5 *διαστήμασι* Sylburg: *διηγήμασι* FMT, *διηχήμασι* Victorius 7 *τοῦτο*] *τούτω* M 8 *τίς ὑπ' αὐτῷ* T 11 *χαρακτηριστικωτάτην* TF pr. 12 *τίθεμαι*] *πείθομαι* FT 14 *ὑπερέχειν* T 17 *ψήφω ἐσχάτῃ* TF corr. 18 *δοκοῦσι* T 19 *τίθημι* T 21 *ἔχει* T 22 *ᾖ* post Ald. add. Rs *ὁ* om. T 24 *δοκεῖ* TF pr. 25 *λέξεως* Tayl: *ἕξεως* FMT 26 *τὸ δ' ἡδέως καὶ* Ald: *ἡ δὲ ὡς* FMT (*καὶ* esse in F tradit Desr) 28 *οὐκ ἄλλο* et *ἢ τὸ* T 29 *ἡρμηνεῦσθαι* malit Rad *ᾧ* del. Markl

12 ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων καὶ πεπιστευμένων
ὑπὸ τοῦ πλήθους, ὥς εἰσιν ἐν τοῖς πάνυ γνησίοις Λυσίου, καὶ
τά γε ἄλλα οὐκ ἀτόπως ἔχοντας, ὅτι τὴν χάριν οὐ προσβάλ-
λουσι τὴν Λυσιακὴν οὐδὲ τὴν εὐστομίαν ἔχουσιν ἐκείνης τῆς
λέξεως, ὑποπτεύ|σας τε καὶ βασανίσας εὗρον οὐκ ὄντας Λυ-
σίου. ὧν ἐστι καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος, ὃν οἶδ' ὅτι
πολλοὶ καὶ χαρακτῆρα ἡγήσαιντο ἂν καὶ κανόνα τῆς ἐκείνου
δυνάμεως. οὗτος μέντοι ὁ λόγος ὁ καὶ τοῖς ὀνόμασιν ἡρμη-
νεῦσθαι δοκῶν ἰσχυρῶς καὶ τοῖς ἐνθυμήμασιν εὑρῆσθαι πε-
ριττῶς καὶ ἄλλας πολλὰς ἀρετὰς ἔχων ἄχαρίς ἐστι καὶ πολλοῦ
δεῖ τὸ Λυσιακὸν ἐπιφαίνειν στόμα· μάλιστα δ' ἐγένετό μοι
καταφανής, ὅτι οὐχ ὑπ' ἐκείνου τοῦ ῥήτορος | ἐγράφη, τοὺς
χρόνους ἀναλογισαμένῳ· εἰ γὰρ ὀγδοηκονταετῆ γενόμενον θήσει
379/7 τις τελευτῆσαι Λυσίαν ἐπὶ Νίκωνος ἢ ἐπὶ Ναυσινίκου ἄρ-
χοντος, ἑπτὰ ἔτεσιν ὅλοις ἂν εἴη προτεροῦσα τῆς γραφῆς τοῦ
372/1 ψηφίσματος ἡ τελευτὴ τοῦ ῥήτορος. μετὰ γὰρ Ἀλκισθένην ἄρ-
χοντα, ἐφ' οὗ τὴν εἰρήνην Ἀθηναῖοί τε καὶ Λακεδαιμόνιοι καὶ
βασιλεὺς ὤμοσαν, ἀποδοὺς τὰ στρατεύματα Ἰφικράτης ἰδιώτης
γίνεται, καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότ' ἔτεσιν ἑπτὰ πρότερον
τετελευτηκότος τῆς γραφῆς Λυσίου, πρὸ τοῦ συντάξασθαι τοῦ-
τον τὸν ἀγῶνα Ἰφικράτει. ὁμοίως δὲ καὶ τὴν ἀπολογίαν τοῦ
ἀνδρός, καὶ αὐτὴν εἰς Λυσίαν ἀναφερομένην, οὔτε | τοῖς πράγ-
μασιν ἀτόπως ἔχουσαν οὔτε τοῖς ὀνόμασιν ἀσθενῶς, δι' ὑπο-
ψίας ἔλαβον οὐκ ἐπανθούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος·
καὶ παραθεὶς τοὺς χρόνους οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστεροῦ-
σαν τῆς τελευτῆς τοῦ ῥήτορος, ἀλλὰ καὶ εἴκοσιν ὅλοις. ἐν γὰρ
τῷ συμμαχικῷ πολέμῳ τὴν εἰσαγγελίαν Ἰφικράτης ἠγώνισται,
καὶ τὰς εὐθύνας ὑπέσχηκε τῆς στρατηγίας, ὡς ἐξ αὐτοῦ γίνε-
ται τοῦ λόγου καταφανές· οὗτος δὲ ὁ πόλεμος πίπτει κατὰ

---

9 εὑρῆσθαι Dobr: εἰρῆσθαι 10 καὶ οὐδὲ περὶ πολλοῦ δεῖ et γρ. καὶ πολλοῦ δεῖ in mg. M[s] 12 καταφανές Sad 18 ἀποδοὺς] ἀπολύσας Weil στρατεύματα] κατεστραμμένα Tournier 19 τὰ περὶ Desr, lacunam statuit Rad, ψήφισμα suppl. Pantazi 20 τῆς γραφ. τετελ. T, τῆς γρ. delere malit Rad πρὸ τοῦ . . . Ἰφ. del. Sad συνίστασθαι malit Rad 21 Ἰφικράτη Sauppe ἀπολογίαν T: ἀπώλειαν FM 26 τῶν τελευτῶν T

Ἀγαθοκλέα καὶ Ἐλπίνην ἄρχοντας. ὅτου μὲν οὖν εἰσι λόγοι 357/5 [τοῦ] ῥήτορος ⟨οἱ⟩ περί τε τῆς εἰκόνος καὶ τῆς προδοσίας, οὐκ | ἔχω βεβαίως εἰπεῖν· ὅτι δὲ ἑνὸς ἀμφότεροι, πολλοῖς τεκμηρίοις ἔχοιμ' ἂν εἰπεῖν. ἡ γὰρ αὐτὴ προαίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις, ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι διασκοπεῖν. εἰκάζω δὲ Ἰφικράτους εἶναι αὐτούς· καὶ γὰρ τὰ πολέμια δεινὸς ὁ ἀνὴρ καὶ ἐν λόγοις οὐκ εὐκαταφρόνητος, ἥ τε λέξις ἐν ἀμφοῖν πολὺ τὸ φορτικὸν καὶ στρατιωτικὸν ἔχει, καὶ οὐχ οὕτως ἐμφαίνει ῥητορικὴν ἀγχίνοιαν ὡς στρατιωτικὴν αὐθάδειαν καὶ ἀλαζονείαν. ἀλλ' ὑπὲρ μὲν τούτων ἑτέρωθι δηλωθήσεται διὰ πλειόνων.

13. Ἀντέον δέ, ὅθεν ἐξέβημεν εἰς ταῦτα, ὅτι κράτιστόν ἐστι τῶν Λυσίου ἔργων καὶ χαρακτηρικώτατον τῆς δυνάμεως ἡ κοσμοῦσά τε καὶ ἀνθίζουσα τὴν λέξιν αὐτοῦ χάρις, ἣν οὐθ' ὑπερεβάλετο τῶν ἐπιγινομένων οὐθεὶς οὔτε εἰς ἄκρον ἐμιμήσατο. καὶ τὰ μὲν περὶ τὴν ἑρμηνείαν ἀγαθὰ τοῦ ῥήτορος ταῦτα· συγκεφαλαιώ|σομαι γὰρ τὰ ῥηθέντα· τὸ καθαρὸν τῶν ὀνομάτων, ἡ ἀκρίβεια τῆς διαλέκτου, τὸ διὰ τῶν κυρίων καὶ μὴ τροπικῶν κατασκευῶν ἐκφέρειν τὰ νοήματα, ἡ σαφήνεια, ἡ συντομία, τὸ συστρέφειν τε καὶ στρογγυλίζειν τὰ νοήματα, τὸ ὑπὸ τὰς αἰσθήσεις ἄγειν τὰ δηλούμενα, τὸ μηδὲν ἄψυχον ὑποτίθεσθαι πρόσωπον μηδὲ ἀνηθοποίητον, ἡ τῆς συνθέσεως τῶν ὀνομάτων ἡδονὴ μιμουμένης τὸν ἰδιώτην, τὸ τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι τοὺς πρέποντας ἐφαρμόττειν λόγους, ἡ πιθανότης καὶ τὸ πειστικὸν καὶ ἡ χάρις καὶ ὁ πάντα μετρῶν καιρός. ταῦτα παρὰ Λυσίου λαμβάνων ἄν τις ὠφεληθείη. ὑψηλὴ δὲ καὶ μεγαλοπρεπὴς οὐκ ἔστιν ἡ Λυσίου λέξις οὐδὲ καταπληκτικὴ μὰ Δία καὶ θαυμαστή, οὐδὲ τὸ πικρὸν ἢ τὸ

---

1 Ἐλπινίκην T ὅτου Sylburg: ὅτι FMT εἰσιν οἱ λόγοι M 2 τοῦ del. Sylburg, τοῦ ῥήτ. del. Sad οἱ add. Sauppe 3 ὅτι δὲ . . . 4 εἰπεῖν in mg. F, βεβ. εἰπεῖν· ἡ γὰρ αὐτὴ . . ἀμφοτέροις, εἰπεῖν ἂν ἔχοιμι πολλοῖς τεκμ. ὅτι ἑνός εἰσιν ἀμφότεροι turbato ordine T 5 σκοπεῖν T 6 αὐτοῦ Markl 12 ὅτι Usener: τὸ FMT 13 χαρακτηρικώτερον M, χαρακτηριστικώτατον T 15 ὑπερεβάλλετο T ἐπιγενομένων H Steph 21 βουλόμενα F, sed δηλούμενα supra add. man. sec. μηδένα M 23 μιμουμένης Usener: μιμουμένη FMT 25 καὶ τὸ πειστικὸν om. T ὁ μετὰ πάντων καιρὸς T

δεινὸν ἢ τὸ φοβερὸν ἐπιφαίνουσα, οὐδὲ ἀφὰς ἔχει καὶ τόνους ἰσχυρούς, οὐδὲ θυμοῦ καὶ πνεύματός ἐστι μεστή, οὐδ' ὥσπερ ἐν τοῖς ἤθεσίν ἐστι πιθανή, οὕτως ἐν τοῖς πάθεσιν ἰσχυρά, οὐδ' ὡς ἡδῦναι καὶ πεῖσαι καὶ χαριεντίσασθαι δύνα|ται, οὕτω βιάσασθαί τε καὶ προσαναγκάσαι· ἀσφαλής τε μᾶλλόν ἐστιν ἢ παρακεκινδυνευμένη καὶ οὐκ ἐπὶ τοσοῦτον ἰσχὺν ἱκανὴ δηλῶσαι τέχνης, ἐφ' ὅσον ἀλήθειαν εἰκάσαι φύσεως.

14. *Καὶ θαυμάζειν ἄξιον, τί δή ποτε παθὼν ὁ Θεόφραστος τῶν φορτικῶν καὶ περιέργων αὐτὸν οἴεται ζηλωτὴν γενέσθαι λόγων καὶ τὸ ποιητικὸν διώκειν μᾶλλον ἢ τὸ ἀληθινόν. ἐν γοῦν τοῖς Περὶ λέξεως γραφεῖσι τῶν τε ἄλλων καταμέμφεται τῶν περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ παρομοιώσεις καὶ τὰ παραπλήσια τούτοις σχήματα διεσπουδακότων, καὶ δὴ καὶ τὸν Λυσίαν ἐν τούτοις καταριθμεῖ [καὶ], τὸν ὑπὲρ Νικίου τοῦ στρατηγοῦ τῶν Ἀθηναίων λόγον, ὃν εἶπεν ἐπὶ Συρακουσίων αἰχμάλωτος ὤν, ὡς ὑπὸ τούτου γεγραμμένον τοῦ ῥήτορος | παρατιθείς. κωλύσει δ' οὐδὲν ἴσως καὶ τὴν λέξιν αὐτὴν θεῖναι τὴν Θεοφράστου. ἔστι δὲ ἥδε· „Ἀντίθεσις δ' ἐστὶ τριττῶς, ὅταν τῷ αὐτῷ τὰ ἐναντία, ἢ τῷ ἐναντίῳ τὰ αὐτά, ἢ τοῖς ἐναντίοις ⟨τὰ⟩ ἐναντία προσκατηγορηθῇ. τοσαυταχῶς γὰρ ἐγχωρεῖ συζευχθῆναι. τούτων δὲ τὸ μὲν ἴσον καὶ τὸ ὅμοιον παιδιῶδες καὶ καθαπερεὶ ποίημα· διὸ καὶ ἧττον ἁρμόττει τῇ σπουδῇ. φαίνεται γὰρ ἀπρεπὲς σπουδάζοντα τοῖς πράγμασι τοῖς ὀνόμασι παίζειν καὶ τὸ πάθος τῇ λέξει περιαιρεῖν. ἐκλύει γὰρ τὸν ἀκροατήν· οἷον ὡς ὁ Λυσίας ἐν τῇ τοῦ Νικίου ἀπολογίᾳ βουλόμενος ἔλεον ποιεῖν· ‛Ἑλλήνων κλαίω ἀμάχητον καὶ ἀναυμάχητον ὄλεθρον . . . ἱκέται μὲν αὐτοὶ τῶν θεῶν καθίζοντες, προδότας δὲ τῶν ὅρκων ὑμᾶς ἀποφαίνοντες . . . ἀνακαλοῦντές τε συγγένειαν εὐμένειαν.“ ταῦτα γὰρ | εἰ μὲν τῷ ὄντι Λυσίας ἔγραψε, δικαίως ἂν ἐπιτιμήσεως ἠξιοῦτο χαριεντιζόμενος ἐν οὐ χαρί-*

2 *μεστὴ οὐθ'* T 5 *τε* ante *καὶ* om. T *παραναγκάσαι* FT 7 *τέχνην* MF pr. 14 *καὶ* delevi, *καταριθμεῖται* Markl, *κατηρίθμηκε* Rad 17 *θεῖναι τοῦ Θ.* FT 20 *τὰ* add. Markl *προσκατηγορηθῇ* Sylburg: *προσκατηγορηθείη* F, *προκατηγοριθείη* M, *προκατηγορηθείη* T 21 *καὶ* ante *καθαπερεὶ* om. FT 26 *Ἑλλήνων* om. T, in F m. pr. supra lineam add.: *ελλὴν κλαίω τὸν* T 27 *καθίζονται* T 28 *ὑμᾶς* Tournier: *ἡμᾶς* FMT *τε* om. M 30 *ἠξιοῦτο* prop. Rad: *ἀξιοῦται* FMT,

εντι καιρῷ. εἰ δὲ ἑτέρου τινός ἐστιν ὁ λόγος, ὥσπερ ἐστίν, ὁ κατηγορῶν, ἃ μὴ προσῆκε, τοῦ ἀνδρὸς μεμπτότερος. ὅτι δὲ οὐκ ἔγραψε Λυσίας τὸν ὑπὲρ Νικίου λόγον οὐδ' ἔστιν οὔτε τῆς ψυχῆς οὔτε τῆς λέξεως ἐκείνης τὸ γράμμα, πολλοῖς πάνυ τεκμηρίοις ἀποδεῖξαι δυνάμενος οὐκ ἔχω καιρὸν ἐν τῷ παρόντι λόγῳ· ἰδίαν δὲ περὶ τοῦ ῥήτορος πραγματείαν συνταττόμενος, ἐν ᾗ τά τε ἄλλα δηλωθήσεταί μοι καὶ τίνες εἰσὶν αὐτοῦ λόγοι γνήσιοι, τὴν ἀκρίβειαν ἐν ἐκείνοις καὶ περὶ τοῦδε ἀποδοῦναι πειράσομαι τοῦ λόγου.

15. Νυνὶ δὲ περὶ τῶν ἑξῆς διαλέξομαι, τίς ὁ πραγματικός ἐστι Λυσίου χαρακτήρ, ἐπειδὴ τὸν ὑπὲρ τῆς λέξεως ⟨λόγον⟩ ἀποδέδωκα· τουτὶ γὰρ ἔτι λείπεται τὸ μέρος. εὑρετικὸς γάρ ἐστι τῶν ἐν τοῖς πράγμασιν ἐνόντων λόγων ὁ ἀνήρ, οὐ μόνον ὧν ἅπαντες ἂν εὕροιμεν, ἀλλὰ καὶ ὧν μηθείς. οὐδὲν γὰρ ἁπλῶς Λυσίας παραλείπει τῶν στοιχείων, ἐξ ὧν οἱ λόγοι, οὐ τὰ πρόσωπα, οὐ τὰ πράγματα, οὐκ αὐτὰς τὰς πράξεις, οὐ τρόπους τε καὶ αἰτίας αὐτῶν, οὐ καιρούς, οὐ χρόνους, οὐ τόπους, οὐ τὰς ἑκάστου τούτων διαφορὰς ἄχρι τῆς εἰς ἐλάχιστον τομῆς, ἀλλ' ἐξ ἁπάσης θεωρίας καὶ παντὸς μερισμοῦ τὰς οἰκείας ἀφορμὰς ἐκλέγει. δηλοῦσι δὲ μάλιστα τὴν δεινότητα τῆς εὑρέσεως αὐτοῦ οἵ τε ἀμάρτυροι τῶν λόγων καὶ οἱ περὶ τὰς παραδόξους συνταχθέντες ὑποθέσεις· ἐν οἷς πλεῖστα καὶ κάλλιστα ἐνθυμήματα λέγει καὶ τὰ πάνυ δοκοῦντα τοῖς ἄλλοις ἄπορα εἶναι καὶ ἀδύνατα εὔπορα καὶ δυνατὰ φαίνεσθαι | ποιεῖ, κριτικὸς ὧν δεῖ λέγειν καί, ὅτε μὴ πᾶσιν ἐξῆν χρῆσθαι τοῖς εὑρεθεῖσι, τῶν κρατίστων δὲ καὶ κυριωτάτων ἐκλεκτικός, εἰ μὴ καὶ μάλιστα τῶν ἄλλων ῥητόρων, οὐδενός γε ἧττον. τάξει δὲ ἁπλῇ τινι κέχρηται τῶν πραγμάτων καὶ τὰ πολλὰ ὁμοειδεῖ, καὶ περὶ τὰς ἐξεργασίας τῶν ἐπιχειρημάτων ἀφελής τις καὶ ἀπερίεργός ἐστιν· οὔτε γὰρ προκατασκευαῖς οὔτ' ἐφόδοις οὔτε μερισμοῖς

ἀξιοῖτο Ald 2 τῷ ἀνδρὶ MF pr. μεμπότερος F, μεμπτόμενος M 4 γράμμα] σύγγραμμα Krüger 6 λόγῳ] χρόνῳ malit Rad 11 λόγον add. Krüger 14 ἂν om. TF pr. 15 οἱ λόγοι Usener: ὁμολογεῖ FMT, ὁ λόγος v. d. Vliet 16 τε om. T 20 εὑρήσεως MF pr. 23 καὶ om. FM 25 ὧν ante ὧν add. Rs 27 γε om. T, inter τῶν et ἄλλων interposuit Rs 28 καὶ περὶ] κἂν T 29 ἀφέλη τις T

οὔτε ποικιλίαις σχημάτων οὔτε ταῖς ἄλλαις ταῖς τοιαύταις πανουργίαις εὑρίσκεται χρώμενος, ἀλλ' ἔστιν ἀπέριττός τις ἐλευθέριός τε καὶ ἀπόνηρος οἰκονομῆσαι τὰ εὑρεθέντα. ἐκ δὴ τούτων παρακελεύομαι τοῖς ἀναγινώσκουσιν αὐτὸν τὴν μὲν εὕρεσιν τῶν ἐνθυμημάτων καὶ τὴν κρίσιν ζηλοῦν, τὴν δὲ τάξιν καὶ τὴν ἐργασίαν αὐτῶν, ἐνδεεστέραν οὖσαν τοῦ προσήκοντος, μὴ ἀπό γε τοῦ ἀνδρός, ἀλλὰ παρ' ἑτέρων, οἳ κρείττους οἰκονομῆσαι τὰ εὑρεθέντα ἐγένοντο, περὶ ὧν ὕστερον ἐρῶ, τοῦτο τὸ στοιχεῖον λαμβάνειν.

16. *Ἀποδεδωκὼς δὲ τὸν ὑπὲρ τῶν ἀρετῶν τε καὶ στοιχείων λόγον, ἐρῶ νῦν καὶ περὶ τοῦ γένους τῶν ἀμφισβητημάτων, ἐν οἷς ἐστι θεωρήμασιν ἡ πολιτικὴ τέχνη. τριχῇ δὲ νενεμημένου τοῦ ῥητορικοῦ λόγου καὶ τρία περιειληφότος διάφορα τοῖς τέλεσι γένη, τό τε δικανικὸν καὶ τὸ συμβουλευτικὸν καὶ τὸ καλούμενον ἐπιδεικτικὸν ἢ πανηγυρικόν, ἐν ἅπασι μὲν τούτοις ἐστὶν ὁ ἀνὴρ λόγου ἄξιος, μάλιστα δὲ ἐν τοῖς δικανικοῖς ἀγῶσι· κἀν τούτοις δὲ αὐτοῖς ἀμείνων ἐστὶ τὰ μικρὰ καὶ παράδοξα καὶ ἄπορα εἰπεῖν καλῶς, ἢ τὰ σεμνὰ καὶ μεγάλα καὶ εὔπορα δυνατῶς. ὁ βουλόμενος δὴ τὴν Λυσίου δύναμιν ἀκριβῶς καταμαθεῖν ἐκ τῶν δικανικῶν αὐτὴν μᾶλλον λόγων ἢ ἐκ τῶν πανηγυρικῶν τε καὶ συμβουλευτικῶν σκοπείτω. ἵνα δὲ καὶ περὶ | τῶν ἰδεῶν ἐγγένηταί μοι τὰ προσήκοντα εἰπεῖν, ἐάσω τε ταῦτα περί τε προοιμίων καὶ διηγήσεων καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου καὶ διαλέξομαι καὶ δηλώσω, ποῖός τίς ἐστιν ἐν ἑκάστῃ τῶν ἰδεῶν ὁ ἀνήρ· διαιρήσομαι δὲ αὐτάς, ὡς Ἰσοκράτει τε καὶ τοῖς κατ' ἐκεῖνον τὸν ἄνδρα κοσμουμένοις ἤρεσεν, ἀρξάμενος ἀπὸ τῶν προοιμίων.*

17. *Φημὶ δὴ πάντων δεξιώτατον εἶναι τὸν ῥήτορα κατὰ τὰς εἰσβολὰς τῶν λόγων καὶ χαριέστατον, ἐννοούμενος, ὅτι ἄρξασθαι μὲν καλῶς οὐ ῥᾴδιόν ἐστιν, εἰ δή τις τῇ προσηκούσῃ*

---

1 *ἄλλαις τοιαύταις* T 2 *ἐλευθέριός τε*] *καὶ ἐλεύθερος* T 5 *κρίσιν* Sad: *σύγκρισιν* FMT 6 *ἐξεργασίαν* v. d. Vliet 7 *γε*] *τοῦδε* T, *μὴ ἀποδέχεσθαι τοῦ* Usener 10 *ἀρετῶν*] *εὑρέσεων* Desr 11 *τῶν ἀμφισβητημάτων* del. Usener 13 *διάφορα τοῖς τέλεσι* om. T 17 *δὲ αὐτοῖς* G, Sylburg: *τε αὐτοῖς* FMT *μακρὰ καὶ* TF pr. 18 *μεγάλα καὶ σεμνὰ* M 19 *δὴ τοῦ* F 21 *συμβουλευτικῶν τε καὶ πανηγυρικῶν* M 23 *περὶ δὲ* T 24 *τις* om. T 30 *καλῶς* deleverit Desr *εἰ δή* Matthaei:

χρῆσθαι βούλοιτο ἀρχῇ καὶ μὴ τὸν ἐπιτυχόντα λόγον εἰπεῖν (οὐ γὰρ τὸ πρῶτον ῥηθέν, ἀλλ' ὃ τοῦ προτεθέντος λόγου μηδαμοῦ μᾶλλον ἢ ἐπ' αὐτοῦ ὠφελήσειε, τοῦτο ἀρχή τε καὶ προοίμιον), ὁρῶν δὲ τὸν ῥήτορα πᾶσι κεχρημένον, οἷς ⟨αἱ⟩ τέχναι τε παραγγέλλου|σι καὶ τὰ πράγματα βούλεται. τοτὲ μὲν γὰρ ἀπὸ τοῦ ἰδίου ἐπαίνου ⟨ὁ⟩ λέγων αὐτῷ ἄρχεται, τοτὲ δὲ ἀπὸ τῆς διαβολῆς τοῦ ἀντιδίκου· εἰ δὲ τύχοι αὐτὸς προδιαβληθείς, τὰς αἰτίας πρῶτον ἀπολύεται τὰς καθ' αὐτοῦ· τοτὲ δὲ τοὺς δικαστὰς ἐπαινῶν καὶ θεραπεύων οἰκείους ἑαυτῷ τε καὶ τῷ πράγματι καθίστησι, τοτὲ δὲ τὴν ἀσθένειαν τὴν ἰδίαν καὶ τὴν πλεονεξίαν τὴν τοῦ ἀντιδίκου καὶ τὸ μὴ περὶ τῶν ἴσων ἀμφοτέροις εἶναι τὸν ἀγῶνα ὑποδείκνυσι· τοτὲ δὲ ὡς κοινὰ τὰ πράγματα καὶ ἀναγκαῖα πᾶσι καὶ οὐκ ἄξια ὑπὸ τῶν ἀκουόντων ἀμελεῖσθαι λέγει· τοτὲ δὲ ἄλλο τι κατασκευάζεται τῶν δυναμένων αὐτὸν μὲν ὠφελῆσαι, τὸν δὲ ἀντίδικον ἐλαττῶσαι. ταῦτα δὲ συντόμως καὶ ἀφελῶς διανοίαις τε χρησταῖς καὶ γνώμαις εὐκαίροις καὶ ἐνθυμήμασι μετρίοις περιλαβὼν ἐπὶ τὴν πρόθεσιν ἐπείγεται, δι' ἧς τὰ μέλλοντα ἐν ταῖς ἀποδείξεσι λέγεσθαι προειπὼν καὶ τὸν ἀκροατὴν παρασκευάσας εὐμαθῆ πρὸς τὸν μέλλοντα λόγον ἐπὶ τὴν διήγησιν καθίσταται· καὶ ἔστι μεθόριον αὐτῷ ἑκατέρας | τῶν ἰδεῶν ὡς τὰ πολλὰ ἡ πρόθεσις· ἤδη δέ ποτε καὶ ἀπὸ μόνης ταύτης ἤρξατο, καὶ ἀπροοιμιάστως ποτὲ εἰσέβαλε τὴν διήγησιν ἀρχὴν λαβών· καὶ οὐκ ἄψυχος οὐδ' ἀκίνητός ἐστι περὶ ταύτην τὴν ἰδέαν. μάλιστα δ' ἄν τις αὐτοῦ θαυμάσειε τὴν ἐν τοῖς προοιμίοις δύναμιν, ἐνθυμηθεὶς ὅτι διακοσίων οὐκ ἐλάττους δικανικοὺς γράψας λόγους ἐν οὐδενὶ πέφηνεν οὔτε ἀπιθάνως προοιμιαζόμενος οὔτε ἀπηρτημένῃ τῶν πραγμάτων ἀρχῇ χρώμενος, ἀλλ' οὐδὲ τοῖς ἐνθυμήμασιν ἐπιβέβληκε τοῖς αὐτοῖς οὐδ' ἐπὶ τὰς αὐτὰς κατενήνεκται διανοίας· καίτοι γε τοῦτο καὶ οἱ λόγους ὀλίγους γράψαντες εὑρίσκονται

εἰ μή FMT, εἴ γε Rs, εἴ Desr 3 ἢ ἐπὶ πρώτου Usener, ἢ ἐπ' ⟨ἀρχῆς⟩ αὐτοῦ Matthaei ὠφελήσει Krüger 4 ὁρῶ T αἱ add. Sylburg 6 ὁ add. Rs αὐτῷ F pr. Desr: αὐτὸ F corr., MT, αὐτὸς Markl, del. Sad 11 τὴν om. M 12 ἀποδείκνυσι M 14 ἄλλό τις M 15 μὲν αὐτὸν T, μὲν in F a pr. m. additum 19 εὐμ. εἰς τὸν T 25 θαυμάσοι T προοιμ. αὐτοῦ δύν. FT 30 λόγους Tegge: τοὺς FMT ὀλίγους χρόνους γράψαντες T

πεπονθότες, λέγω δὲ τὸ τοῖς αὐτοῖς ἐπιβαλεῖν τόποις· ἐῶ γὰρ ὅτι καὶ τὰ παρ' ἑτέροις εἰρημένα λαμβάνοντες | ὀλίγου δεῖν πάντες οὐκ ἐν αἰσχύνῃ τίθενται τὸ ἔργον. οὑτοσὶ δὲ καινὸς ὁ ῥήτωρ ἐστὶ καθ' ἕκαστον τῶν λόγων, κατά γε οὖν τὰς εἰσβολὰς καὶ τὰ προοίμια καὶ δυνατός, ὃ βούλοιτο, διαπράξασθαι. οὔτε γὰρ εὔνοιαν κινῆσαι βουλόμενος οὔτε προσοχὴν οὔτε εὐμάθειαν ἀτυχήσειεν ἄν ποτε τοῦ σκοποῦ. κατὰ μὲν δὴ ταύτην τὴν ἰδέαν ἢ πρῶτον ἢ οὐδενὸς δεύτερον αὐτὸν ἀποφαίνομαι.

18. *Ἐν δὲ τῷ διηγεῖσθαι τὰ πράγματα, ὅπερ οἶμαι μέρος πλείστης δεῖται φροντίδος καὶ φυλακῆς, ἀναμφιλόγως ἡγοῦμαι κράτιστον αὐτὸν εἶναι πάντων ῥητόρων, ὅρον τε καὶ κανόνα τῆς ἰδέας ταύτης αὐτὸν ἀποφαίνομαι. οἴομαι δὲ καὶ τὰς τέχνας τῶν λόγων, ἐν αἷς εἴρηταί τι περὶ διηγήσεως ἀξιόλογον, οὐκ ἐξ ἄλλων τινῶν μᾶλλον ἢ τῶν ὑπὸ Λυσίου γραφεισῶν εἰληφέναι τὰ παραγγέλματα καὶ τὰς ἀφορμάς. καὶ γὰρ τὸ σύντομον μάλιστα αὗται ἔχουσιν αἱ διηγήσεις καὶ τὸ σαφές· | ἡδεῖαί τέ εἰσιν ὡς οὐχ ἕτεραι καὶ πιθαναί, καὶ τὴν πίστιν ἅμα λεληθότως συνεπιφέρουσιν, ὥστε μὴ ῥᾴδιον εἶναι μήθ' ὅλην διήγησιν μηδεμίαν μήτε μέρος αὐτῆς ψευδὲς ἢ ἀπίθανον εὑρεθῆναι· τοσαύτην ἔχει πειθὼ καὶ ἀφροδίτην τὰ λεγόμενα, καὶ οὕτως λανθάνει τοὺς ἀκούοντας εἴτ' ἀληθῆ ὄντα εἴτε πεπλασμένα. ὥσθ' ὅπερ Ὅμηρος ἐπαινῶν τὸν Ὀδυσσέα ὡς πιθανὸν εἰπεῖν καὶ πλάσασθαι τὰ μὴ γενόμενα εἴρηκε, τοῦτό μοι δοκεῖ κἂν ἐπὶ Λυσίου τις εἰπεῖν·*

Ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

πᾶσί τε καὶ παντὸς μάλιστα τοῦτο παρεκελευσάμην ἀσκεῖν τὸ μέρος ἐν τοῖς Λυσίου παραδείγμασι ποιουμένους | τὰς γυμνα-

---

1 *ἐπιβάλειν* F pr., *ἐπιβάλλειν* T 2 *εὑρημένα* Tournier 7 *ἂν* om. T *ποτε* in F a man. sec. additum 10 *πλεῖσται* T *δεῖται* om. M *ἀναμφιβόλως* M 12 *οἴομαι δὲ* Syrianus, qui I 25 R affert inde usque ad *ἐτύμοισιν ὁμοῖα*: *οἴομαί τε* FMT 13 *ἐν οἷς* T *τι* Syr: om. FMT *ἀξιολόγου* MT 18 *μεθ' ὅλην* T 21 *καὶ πεπλασμένα* Syr 22 *ὥσθ' ὅπερ* Desr: *ὥσπερ* FMT, *καὶ ὅπερ* G, *ὡς ἐφαρμόζειν αὐτῷ τὸ Ὁμηρικὸν* Syr 25 Od. τ 203 *ἔσκε* T, *ἴσκε* Syr 26 [*καὶ*] *πάντων* Desr *παρακελευσάμην* T, *παρακελευσαίμην* G, *ἂν* add. Krüger 27 *ἐν τοῖς* Usener: *ἂν τὸ* F corr., M, *ἂν τοῦ* F pr. T *παραδείγματα* T *ποιουμένους* Rs: *ποιούμενος* FMT

σίας. κράτιστα γὰρ ⟨ἂν⟩ ἀποδείξαιτο ταύτην τὴν ἰδέαν ὁ μάλιστα τοῦτον τὸν ἄνδρα μιμησάμενος.

19. *Ἐν δὲ τῷ πιστοῦσθαι τὰ πράγματα, τοιοῦτός τις ὁ ἀνήρ ἐστιν. ἄρξομαι δὲ ἀπὸ τῶν καλουμένων ἐντέχνων πίστεων, καὶ χωρὶς ὑπὲρ ἑκάστου μέρους διαλέξομαι. τριχῇ δὴ νενεμημένων τούτων, εἴς τε τὸ πρᾶγμα καὶ τὸ ἦθος καὶ τὸ πάθος, τὰ μὲν ἐκ τοῦ πράγματος οὐδενὸς χεῖρον εὑρεῖν τε καὶ ἐξειπεῖν δύναται Λυσίας. καὶ γὰρ τοῦ εἰκότος ἄριστος εἰκαστὴς ὁ ἀνὴρ καὶ τοῦ παραδείγματος, πῇ τε ὅμοιον εἶναι πέφυκε καὶ πῇ διαφέρον, ἀκριβέστατος κριτὴς τά τε σημεῖα διελεῖν τὰ παρεπόμενα τοῖς πράγμασι καὶ εἰς τεκμηρίων δόξαν ἀγαγεῖν δυνατώτατος· | καὶ τὰς ἐκ τῶν ἠθῶν γε πίστεις ἀξιολόγως πάνυ κατασκευάζειν ἔμοιγε δοκεῖ· πολλάκις μὲν γὰρ ἐκ τοῦ βίου καὶ τῆς φύσεως, πολλάκις δ' ἐκ τῶν προτέρων πράξεων καὶ προαιρέσεων ἀξιόπιστα κατασκευάζει τὰ ἤθη. ὅταν δὲ μηδεμίαν ἀφορμὴν τοιαύτην λάβῃ παρὰ τῶν πραγμάτων, αὐτὸς ἠθοποιεῖ καὶ κατασκευάζει τὰ πρόσωπα τῷ λόγῳ πιστὰ καὶ χρηστά, προαιρέσεις τε αὐτοῖς ἀστείας ὑποτιθεὶς καὶ πάθη μέτρια προσάπτων καὶ λόγους ἐπιεικεῖς ἀποδιδοὺς καὶ ταῖς τύχαις ἀκόλουθα φρονοῦντας εἰσάγων καὶ ἐπὶ μὲν τοῖς ἀδίκοις ἀχθομένους καὶ λόγοις καὶ ἔργοις, τὰ δὲ δίκαια προαιρουμένους ποιῶν, καὶ πάντα ⟨τὰ⟩ παραπλήσια τούτοις, ἐξ ὧν ἐπιεικὲς ἂν καὶ μέτριον ἦθος φανείη, | κατασκευάζων. περὶ δὲ τὰ πάθη μαλακώτερός ἐστι καὶ οὔτε αὐξήσεις οὔτε δεινώσεις οὔτε οἴκτους οὔθ' ὅσα τούτοις ἐστὶ παραπλήσια νεανικῶς πάνυ καὶ ἐρρωμένως κατασκευάσαι δυνατός. οὐ δεῖ δὴ ταῦτα ἐπιζητεῖν παρὰ Λυσίου. κἀν τοῖς ἐπιλόγοις δὲ τὸ μὲν ἀνακεφαλαιωτικὸν τῶν ῥηθέντων μέρος μετρίως τε καὶ χαριέντως ἀπαριθμεῖ, τὸ δὲ*

---

1 *ἂν* add. Krüger *ἀποδέξαιτο* FMT 3 *ἐν δὲ τῷ* Sylburg: *ἔν γε τῷ* FMT *τὰ πράγματα* Sylburg: *τὸν ἄνδρα τὰ πράγματα* FMT 4 *ἀρκέσομαι δὲ τῷ τῶν* Usener 5 *δὴ* F pr.: *δὲ* F corr. MT 6 *καὶ τὸ πάθος καὶ τὸ ἦθος* FT 8 *εἰκαστὴς* Markl: *δικαστὴς* FMT, *ἄρ. δικ. ὁ ἀνὴρ* F corr., M, *ἄρ. ἀνὴρ δικ.* F pr., *ἄρ. δικ. ἀνὴρ* T 10 *διαφέρων* T 12 *δὲ πίστεις* Pantazi 13 *ἔμοι* T 14 *πράξεων* M: *λέξεων* FT 15 *κατασκευάζει* FM: *ποιεῖ* T 16 *παρ. τῶν πρ. τοι. λάβῃ* T 18 *προσάπτων*] *προσώπων* T 21 *ποιεῖν* Rs 22 *τὰ* add. Sad, *τὰ πάντα* T

παθητικὸν ἐκεῖνο, ἐν ᾧ παράκλησίς τε καὶ δέησις καὶ ἔλεος καὶ τὰ τούτοις ἀδελφὰ ἔνεστι, τοῦ προσήκοντος ἐνδεεστέρως ἀποδίδωσι.

20. *Τοιοῦτος μὲν δή ἐστιν ὁ Λυσίου χαρακτήρ, ὡς ἐγὼ δόξης ἔχω περὶ αὐτοῦ. εἰ δέ τις ἄλλα παρὰ ταῦτα ἔγνωκε, λεγέτω· κἂν ᾖ πιθανώτερα, πολλὴν αὐτῷ χάριν εἴσομαι. ἵνα δὲ βέλτιον τῷ βουλομένῳ ἐγγένηται μαθεῖν, εἴτε ὀρθῶς ἡμεῖς ταῦτα καὶ προσηκόντως πεπείσμεθα εἴτε καὶ διημαρτήκαμεν τὴν κρίσιν, τὴν ἐξέτασιν ἐπὶ τῶν ὑπ' ἐκείνου γραφέντων ποιήσομαι, προχειρισάμενός τε ἕνα λόγον (οὐ γὰρ ἐγχωρεῖ πολλοῖς χρῆσθαι παραδείγμασιν) ἐξ ἐκείνου τήν τε προαίρεσιν καὶ τὴν δύναμιν | τοῦ ἀνδρὸς ἐπιδείξομαι, ἀποχρῆν οἰόμενος ψυχαῖς εὐπαιδεύτοις καὶ μετρίαις μικρά τε μεγάλων καὶ ὀλίγα πολλῶν γενέσθαι δείγματα. ἔστι δὲ ὁ λόγος ἐκ τῶν ἐπιτροπικῶν, ἐπιγραφόμενος κατὰ Διογείτονος, ὑπόθεσιν δὲ ἔχων τοιάνδε·*

21. sequitur hypothesis cf. p. 310.

22. *Προὔλαβον δὲ τὴν ὑπόθεσιν, ἵνα μᾶλλον γένηται καταφανές, εἰ μετρίᾳ καὶ προσηκούσῃ ἀρχῇ κέχρηται·*

23. sequitur prooemium, XXXII 1—3.

24. *Τοῦτο τὸ προοίμιον ἁπάσας ἔχει τὰς ἀρετάς, ὅσας δεῖ τὸ προοίμιον ἔχειν. δηλώσουσι δὲ οἱ κανόνες αὐτῷ παρατεθέντες οἱ τῶν τεχνῶν. ἅπαντες γὰρ δή που παραγγέλλουσιν οἱ συνταξάμενοι τὰς τέχνας, ὅταν πρὸς οἰκείους ὁ ἀγών, σκοπεῖν ὅπως μὴ πονηροὶ μηδὲ φιλοπράγμονες οἱ κατήγοροι φανήσονται. κελεύουσίν τε πρῶτον μὲν τὴν αἰτίαν εἰς τοὺς ἀντιδίκους περιιστάναι καὶ τοῦ ἐγκλήματος καὶ τοῦ ἀγῶνος καὶ λέγειν, ὅτι μεγάλα τἀδικήματα καὶ οὐκ ἐνῆν αὐτὰ μετρίως ἐνεγκεῖν, καὶ ὅτι ὑπὲρ ἀναγκαιοτέρων προσώπων ὁ ἀγὼν καὶ ἐρήμων καὶ ἧττον ὑπεροφθῆναι ἀξίων, οἷς μὴ βοηθοῦντες κακίους ἂν ἐφάνησαν· καὶ ὅτι προκαλούμενοι τοὺς ἀντιδίκους εἰς διαλλαγὰς καὶ φίλοις τὰ πράγματα ἐπιτρέποντες καὶ τὰ δυνατὰ ἐλατ-*

---

1 *ἔλεος καὶ δέησις* FT 6 *πιθανότερα* FT 7 *ἐγγένηται* Sad: *γένηται* FMT 9 *ἐπὶ* Rad: *ὑπὸ* FM, *ἀπὸ* T *ποιοῦμαι* FM 10 *τε ἕνα* Sad: *τινα* FMT 12 *ἐπιδείξομαι* Paris. 1657: *ἐπιδείξομεν* FMT *οἰόμενοι* T 20 *ἀρετὰς* om. T 23 *ὅταν ᾖ πρὸς* T 27 *τἀδικήματα* Markl: *ἀδικήματα* FMT 29 *παροφθῆναι* Tournier

τοῦσθαι ὑπομένοντες οὐδενὸς ἠδυνήθησαν τυχεῖν τῶν μετρίων. ταῦτα μὲν δὴ πα|ραγγέλλουσι ποιεῖν οἱ τεχνογράφοι, ἵνα τὸ ἦθος τοῦ λέγοντος ἐπιεικέστερον εἶναι δόξῃ. δύναται δὲ αὐτοῖς εὔνοιαν τοῦτο ποιεῖν καὶ ἔστι κράτιστον τῆς κατασκευῆς μέρος. ταῦθ' ὁρῶ πάντα διὰ τοῦ προοιμίου τοῦδε γεγονότα. καὶ μὴν εἴς γε τὸ εὐμαθεῖς τοὺς ἀκροατὰς ποιῆσαι κελεύουσι συστρέψαντας εἰπεῖν τὸ πρᾶγμα, ἵνα μὴ ἀγνοῶσι τὴν ὑπόθεσιν οἱ δικασταί, καὶ οἷά περ ἂν ᾖ τὰ μέλλοντα λέγεσθαι, τοιοῦτο καὶ τὸ προοίμιον ὑποτίθεσθαι ἀπ' ἀρχῆς, καὶ δεῖγμα τοῦ πράγματος ποιουμένους εὐθὺς ἀπ' ἐνθυμημάτων πειρᾶσθαι ἄρχεσθαι. ἔχει δὴ καὶ ταῦτα τὸ προοίμιον. ἔτι περὶ τῆς προσοχῆς ὧδέ πως τεχνολογοῦσιν, ὅτι δεῖ τὸν προσεκτικοὺς μέλλοντα ποιεῖν τοὺς ἀκροατὰς καὶ λέγειν θαυμαστὰ καὶ παράδοξα καὶ δεῖσθαι τῶν δικαστῶν ἀκοῦσαι. φαίνεται δὴ καὶ ταῦτα πεποιηκὼς ὁ Λυσίας. καὶ πρόσεστι τούτοις τὸ λεῖον τῆς ἑρμηνείας καὶ τὸ ἀφελὲς τῆς κατασκευῆς· ὧν μάλιστα δεῖ τοῖς ὑπὲρ ἐκείνων προοιμιαζομένοις. ἄξιον δὲ καὶ τὴν διήγησιν ὡς ᾠκονόμηται καταμαθεῖν. ἔχει δὲ οὕτως·

25. sequuntur XXXII 4—18 *σιωπῇ*.

26. *Ἵνα δὲ καὶ ὁ τῶν ἀποδείξεων χαρακτὴρ καταφανὴς γένηται, θήσω καὶ τὰ ἐπὶ τούτοις λεγόμενα. τὰς μὲν οὖν ἰδίας πίστεις, ὡς οὐ πολλῶν ἔτι λόγων δεομένας, δι' αὐτῶν βεβαιοῦται τῶν μαρτύρων οὐδὲν ἕτερον ἢ τοῦτο εἰπών· „Πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες.“ τὰ δὲ τοῦ ἀντιδίκου δίκαια διχῇ νείμας, ὡς τὰ μὲν ὁμολογήσαντος αὐτοῦ λαβεῖν καὶ εἰς τὰς τροφὰς τῶν ὀρφανῶν ἀνηλωκέναι σκηψαμένου, τὰ δὲ ἐξάρνου γενηθέντος εἰληφέναι κἄπειτα ἐλεγχθέντος, ὑπὲρ ἀμ|φοτέρων ποιεῖται τὸν λόγον, τὰς [δὲ] δαπάνας οὐχ ἃς ἐκεῖνος ἀπέφηνε γενέσθαι λέγων καὶ περὶ τῶν ἀμφιβόλων τὰς πίστεις ἀποδιδούς·*

27. sequuntur XXXII 19—29.

28. *Ἐν μὲν δὴ τοῖς δικανικοῖς λόγοις ⟨τοιοῦτός τις ὁ ἀνήρ*

---

5 *τοῦδε* om. M 8 *λέγεσθαι*] *γενέσθαι* F 10 *εὐθὺς* Steph: *καὶ εὐθὺς* FMT, *κατευθὺ* Rad 11 *ἔχει δὲ* T 15 *πρόσεστι* Krüger: *πρὸς ἔτι* FM, *προσέτι* T 16 *ὑπὲρ* M: *ὑπ'* FT, *ὑπ' οἰκείων* Usener 20 *δὲ* del. Rad, *τε* Sylburg 32 supplevit Krüger cf. de Isocr. p. 576.

ἐστὶν, ἐν δὲ τοῖς ἐπιδεικτικοῖς⟩ μαλακώτερος, ὥσπερ ἔφην. βούλεται μὲν γὰρ ὑψηλότερος εἶ|ναι καὶ μεγαλοπρεπέστερος, καὶ τῶν γε καθ' ἑαυτὸν ἢ πρότερον ῥητόρων ἀκμασάντων οὐθενὸς ἂν δόξειεν εἶναι καταδεέστερος· οὐ διεγείρει δὲ τὸν ἀκροατὴν ὥσπερ Ἰσοκράτης ἢ Δημοσθένης. θήσω δὲ καὶ τούτων παράδειγμα.

29. 30. sequitur hypothesis et XXXIII.

31. Ἑνὸς ἔτι παράδειγμα θήσω λόγου συμβουλευτικοῦ, ἵνα καὶ τούτου τοῦ γένους τῶν λόγων ὁ χαρακτὴρ γένηται σαφής.

32. Ὑπόθεσιν δὲ περιείληφε τὴν περὶ τοῦ μὴ καταλῦσαι τὴν πάτριον πολιτείαν Ἀθήνησι. τοῦ γὰρ δήμου, ... sequitur hypothesis et 33. XXXIV.

34. Ἀλλ' ἅλις ἤδη παραδειγμάτων, ἵνα καὶ περὶ τῶν λοιπῶν ῥητόρων τὸν αὐτὸν διαλεχθῶμεν τρόπον. ἕπεται δὲ τῷ ῥήτορι τούτῳ κατὰ τὴν τάξιν τῶν χρόνων Ἰσοκράτης. περὶ δὴ τούτου λεκτέον ἐφεξῆς ἑτέραν ἀρχὴν λαβοῦσιν.

LYSIAE VITA EX VITIS X ORATORUM.

835 C Λυσίας υἱὸς ἦν Κεφάλου τοῦ Λυσανίου τοῦ Κεφάλου, Συρακουσίου μὲν γένος, μεταναστάντος δ' εἰς Ἀθήνας ἐπιθυμίᾳ τε τῆς πόλεως καὶ Περικλέους τοῦ Ξανθίππου πείσαντος αὐτὸν φίλον ὄντα καὶ ξένον, πλούτῳ διαφέροντα, ὡς δέ τινες, ἐκπεσόντα τῶν Συρακουσῶν, ἡνίκα ὑπὸ Γέλωνος ἐτυραννοῦντο.
459/8 γενόμενος ⟨δ'⟩ Ἀθήνησιν ἐπὶ Φιλοκλέους ἄρχοντος τοῦ μετὰ Φρασικλῆ κατὰ τὸ δεύτερον ἔτος τῆς ὀγδοηκοστῆς [καὶ δευτέρας] ὀλυμπιάδος τὸ μὲν πρῶτον συνεπαιδεύετο τοῖς ἐπιφανε-
D στάτοις Ἀθηναίων· ἐπεὶ δὲ τὴν εἰς Σύβαριν ἀποικίαν τὴν ὕστερον Θουρίους μετονομασθεῖσαν ἔστελλεν ἡ πόλις, ᾤχετο σὺν

2 μεγαλοπρεπέστερος Ald: —έστατος FMT 5 ἢ Δημοσθένης del. Rad 9 τῶν λόγων Usener: τοῦ λόγου FMT 10 τὴν om. F pr. T.

Libros Bernadakis adhibuit Parisinos E n. 1672 et F n. 1957. Parisinorum A n. 1671, H n. 1680, B n. 1957 lectiones Franke in Jahn. ann. XXIII praebet. 20 διαφέροντα Meziriac: διαφέρων ἐκπεσόντος Rs 22 δ' add. West 28 Φρασικλείδη Tayl cf. Diod. XI 77 καὶ δευτέρας del. Meursius

τῷ πρεσβυτάτῳ ἀδελφῶν Πολεμάρχῳ (ἦσαν γὰρ αὐτῷ καὶ ἄλλοι
δύο, Εὐθύδημος καὶ Βράχυλλος), τοῦ πατρὸς ἤδη τετελευτη-
κότος, ὡς κοινωνήσων τοῦ κλήρου, ἔτη γεγονὼς πεντεκαίδεκα,
ἐπὶ Πραξιτέλους ἄρχοντος, κἀκεῖ διέμεινε παιδευόμενος παρὰ 444/3
Τεισίᾳ καὶ Νικίᾳ τοῖς Συρακουσίοις, κτησάμενός τ' οἰκίαν καὶ
κλήρου τυχὼν ἐπολιτεύσατο ἕως Κλεοκρίτου τοῦ Ἀθήνησιν ἄρ- 413/2
χοντος ἔτη ἑξήκοντα τρία. τῷ δ' ἑξῆς ἐνιαυτῷ ὀλυμπιάδι ἐνε-
νηκοστῇ δευτέρᾳ τῶν κατὰ Σικελίαν συμβάντων Ἀθηναίοις καὶ E
κινήσεως γενομένης τῶν τ' ἄλλων συμμάχων καὶ μάλιστα τῶν
τὴν Ἰταλίαν οἰκούντων, αἰτιαθεὶς ἀττικίζειν ἐξέπεσε μετ' ἄλλων
τριακοσίων. παραγενόμενος δ' Ἀθήνησιν ἐπὶ Καλλίου τοῦ μετὰ 412/11
Κλεόκριτον ἄρχοντος, ἤδη τῶν τετρακοσίων κατεχόντων τὴν πό-
λιν, διέτριβεν αὐτόθι. τῆς δ' ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας γε-
νομένης καὶ τῶν τριάκοντα παραλαβόντων τὴν πόλιν, ἐξέπεσεν
ἑπτὰ ἔτη μείνας, ἀφαιρεθεὶς τὴν οὐσίαν καὶ τὸν ἀδελφὸν Πο-
λέμαρχον. αὐτὸς δὲ διαδρὰς ἐκ τῆς οἰκίας ἀμφιθύρου οὔσης, F
ἐν ᾗ ἐφυλάσσετο ὡς ἀπολούμενος, διῆγεν ἐν Μεγάροις. ἐπιθε-
μένων δὲ τῶν ἀπὸ Φυλῆς τῇ καθόδῳ, ἐκεῖ χρησιμώτατος ἁπάν-
των ὤφθη χρήματά τε παρασχὼν δραχμὰς δισχιλίας καὶ ἀσπί-
δας διακοσίας, πεμφθείς τε σὺν Ἑρμᾶνι ἐπικούρους ἐμισθώ-
σατο τριακοσίους, δύο τ' ἔπεισε τάλαντα δοῦναι Θρασυδαῖον
τὸν Ἠλεῖον ξένον αὐτῷ γεγονότα· ἐφ' οἷς γράψαντος αὐτῷ
Θρασυβούλου πολιτείαν μετὰ τὴν κάθοδον ἐπ' ἀναρχίας τῆς
πρὸ Εὐκλείδου, ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν, ἀπενεγκα- 403
μένου δ' Ἀρχίνου γραφὴν παρανόμων διὰ τὸ ἀπροβούλευτον
εἰσαχθῆναι, ἑάλω τὸ ψήφισμα· καὶ οὕτως ἀπελαθεὶς τῆς πολι- 836

---

1 ἀδελφῶν] τῶν ἀδελφῶν Phot, ἀδελφῷ vulg. 2 Εὐθύδημος Tayl ex Plat. Resp. 328b: εὔδιδος Βράχυλλος Xylander: βράχιλλος 6 κλήρου τυχὼν Tayl ex Photio: κλήρῳ λαχὼν 6 Κλεοκρίτου Tayl: Κλεάρχου (sic et Phot) 7 ἔτη τριάκοντα τρία Tayl, ἐν εὐπορίᾳ πολλῇ Zucker (τῶν πολλῶν οὐκ ἐνδεέστερον Phot) ἐνιαυτῷ Phot: Καλλίᾳ, quem archontem postea primum nominatum esse apparet. ἐπὶ Καλλίου Mez, ἐνιαυτῷ ἐπ' ἄρχοντος Καλλίου Bern 11 τριακοσίων Xyl ex Dionysio: τριῶν (sic et Phot) 18 ἐκεῖ West: ἐπεί, εἶτα Wyttenbach, ἔπειτα Franke, deleverit Bern 20 πεμφθεὶς δὲ vulg. Ἕρμονι Phot, Ἕρμωνι West 21 Θρασυδαῖον Phot: θρασύλαιον

τείας τὸν λοιπὸν ᾤκησε χρόνον ἰσοτελὴς ὢν καὶ ἐτελεύτησεν αὐτόθι ὀγδοήκοντα τρία ἔτη βιούς, ἢ ὥς τινες ἓξ καὶ ἑβδομήκοντα, ἢ ὥς τινες ὑπὲρ ὀγδοήκοντα, ἰδὼν Δημοσθένη μειρά-
459/8 κιον ὄντα. γεννηθῆναι δέ φασιν ἐπὶ Φιλοκλέους ἄρχοντος. φέρονται δ' αὐτοῦ λόγοι τετρακόσιοι εἰκοσιπέντε· τούτων γνησίους φασὶν οἱ περὶ Διονύσιον καὶ Καικίλιον εἶναι διακοσίους τριάκοντα ⟨καὶ τρεῖς⟩, ἐν οἷς δὶς μόνον ἡττῆσθαι λέγεται. ἔστι δ' αὐτοῦ καὶ ὁ ὑπὲρ τοῦ ψηφίσματος ⟨ὃ⟩ ἐγράψατο Ἀρ-
B χῖνος τὴν πολιτείαν αὐτοῦ περιελών, καὶ κατὰ τῶν τριάκοντα ἕτερος. ἐγένετο δὲ πιθανώτατος καὶ βραχύτατος, τοῖς ἰδιώταις τοὺς πολλοὺς λόγους ἐκδούς. εἰσὶ δ' αὐτῷ καὶ Τέχναι ῥητορικαὶ πεποιημέναι καὶ Δημηγορίαι, Ἐπιστολαί τε καὶ Ἐγκώμια καὶ Ἐπιτάφιοι καὶ Ἐρωτικοὶ καὶ Σωκράτους Ἀπολογία ἐστοχασμένη τῶν δικαστῶν. δοκεῖ δὲ κατὰ τὴν λέξιν εὔκολος εἶναι, δυσμίμητος ὤν. Δημοσθένης δ' ἐν τῷ κατὰ Νεαίρας λόγῳ ἐραστὴν αὐτόν φησι γεγονέναι Μετανείρας, ὁμοδούλου τῇ Νεαίρᾳ. ὕστερον δ' ἔγημε Βραχύλλου τοῦ ἀδελφοῦ θυγατέρα. μνημονεύει δ' αὐτοῦ καὶ Πλάτων ἐν τῷ Φαίδρῳ ὡς δεινοτάτου
C εἰπεῖν καὶ Ἰσοκράτους πρεσβυτέρου. ἐποίησε δὲ καὶ εἰς αὐτὸν ἐπίγραμμα Φιλίσκος ὁ Ἰσοκράτους μὲν γνώριμος ἑταῖρος δὲ Λυσίου, δι' οὗ φανερὸν ὡς προέλαβε τοῖς ἔτεσιν, ⟨ὃ⟩ καὶ ἐκ τῶν ὑπὸ Πλάτωνος εἰρημένων ἀποδείκνυται. ἔχει δ' οὕτως·

⟨Νῦν⟩, ὦ Καλλιόπης θύγατερ, πολυήγορε Φρόντι,
δείξεις εἴ τι φρονεῖς καί τι περισσὸν ἔχεις·
τῷ γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοσθέντι καὶ ἄλλοις
ἐν κόσμοισι βίου σῶμα λαβόνθ' ἕτερον

---

7 *καὶ τρεῖς* Dübner ex Photio: τρία ἔτη cod. F, in ceteris desunt 8 *ὁ ὑπὲρ* Tayl: ὃν ὑπὲρ ὃ add. Tayl 9 *αὐτοῦ περιελών* Tayl: αὐτῷ περιέχων 12 *Δημηγορίαι* ex Dionysio Tayl: δημηγορία 13 *ἐστοχασμένη* hic abrumpit liber F 15 [Dem.] LIX 21 18 Plat. p. 279a 21 ὃ add. Rs 23 cf. Bergk Poët. Lyr. II4 327, qui non esse epigramma sed carminis amplioris exordium docet neque ad oratorem sed ad alium Lysiam Pythagoreum (sic iam Wytt) vel Platonicum scriptum existimat *νῦν* add. Jacobs *Καλλιόπης* Wytt: καλλίπης *Φρόντι* Wytt: φροντίδι 25 *τῷ . . μεθαρμοσθέντι* Salmasius: τὸν . . . μεθαρμοσθέντα 26 λαχόνθ' Hecker

δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινα Λυσίᾳ ὕμνον
δύντι κατὰ φθιμένων καὶ σοφῷ ἀθάνατον·
ὃς τό τ' ἐμῆς ψυχῆς δείξει φιλέταιρον ἅπασιν
καὶ τὴν τοῦ φθιμένου πᾶσι βροτοῖς ἀρετήν. D

συνέγραψε δὲ λόγω καὶ Ἰφικράτει, τὸν μὲν πρὸς Ἁρμόδιον, τὸν δὲ προδοσίας κρίνοντι Τιμόθεον, καὶ ἀμφοτέροις ἐνίκα· ἀναδεξαμένου δ' Ἰφικράτους τὰς τοῦ Τιμοθέου πράξεις, ταῖς εὐθύναις ἀναλαβὼν τὴν τῆς προδοσίας αἰτίαν, ἀπολογεῖται διὰ τοῦ Λυσίου λόγου, καὶ αὐτὸς μὲν ἀπελύθη, ὁ δὲ Τιμόθεος ἐξημιώθη πλείστοις χρήμασιν. ἀνέγνω δὲ καὶ ἐν τῇ Ὀλυμπιακῇ πανηγύρει λόγον μέγιστον, διαλλαγέντας τοὺς Ἕλληνας καταλῦσαι Διονύσιον.

ORATIONUM ARGUMENTA.

Or. I. Euphiletus, vir modica fortuna praeditus, cum uxorem duxisset, fidelissimam sibi esse existimabat, sed ab Eratosthene corrupta est. Qua de re certior factus, postquam ancillam, quae stupri adiutrix fuerat, rem fateri coëgit, hominem in adulterio deprehensum interficit. Postea a propinquis eius in ius vocatus in Delphinio apud iudices illum neque dolo domum suam inductum probat neque vi ex via abreptum neque a foco, quo confugisset, retractum, sed iusto supplicio affectum esse. De tempore nihil constat, nisi quod ex § 30 causam non multo post libertatem restitutam actam esse suspiceris. Atque Eratosthenem eundem esse, in quem or. XII habita est, Kirchner Prosop. I 332 ex nominis raritate efficit, sed ille § 37 *νεανίσκος* appellatur.

Or. II. Orator § 67 in funere publico eorum virorum se praedicare laudes dicit, qui Corinthiis contra Lacedaemonios

---

1 *Ἰσοκράτης κήρυκα πλέκοι* Drerup   *Λυσίᾳ ὕμνον* Salmasius: *Λυσιδάϊμνον, Λυσίδι ὕμνον* Rs, *Λύσιδα ὑμνεῖν* Bern 2 *δύντι* Markl: *δόντα, δύντα* Jacobs, *ζῶντι* Wytt, *δόντα κλέος λαμπρὸν* Drerup   *καὶ σοφῷ*] *καὶ στέφος* Wytt, *κἀν ζόφῳ* Sitzler, *καὶ ζόφου* Bern, *δῶμα κατὰ φθιμένων καὶ ζόφου ἀθανάτω* Hecker   3 *τό τ'* Rs: *τότ'*   *δείξει* Brunk: *δεῖξαι* 5 *λόγω* Meier: *λόγον*   6 *κρίνοντι* Tayl: *κρίνων*   *ἀμφοτέροις* Rs: *ἀμφοτέρους*   8 *ἀντιλαβὼν* Rs

auxilium ferentes pro patria mortui sint. Neque vero quidquam certi de rebus ab iis gestis profert, sed plurimus est in laudibus maiorum ab Amazonum inde bello usque ad proelium Plataeense et Thrasybuli expeditionem, qua urbs triginta virorum imperio liberata est. Atque de pugna Cnidia § 59 eiusmodi verbis utitur, qualia in publico edere nemo tum Athenis poterat. Quare iure orationem non habitam sed fictam esse existimes. Exitum deinde belli Corinthii § 69 respicit. Denique nonnulla (§ 57) a proposito plane abhorrere videntur, quae iure *E. Wolff* (quae ratio intercedat inter Lysiae epitaphium et Isocratis panegyricum, Berol. 1896) ad Isocratis imitationem rettulit. Quod si verum est, inter annum 380 a. Chr. et 371 (pugnae Leuctricae annum) compositam esse conicias. Primum ab Aristotele Rhet. III 10 p. 1411ᵃ laudatur: *ἐν τῷ ἐπιταφίῳ* auctoris nomine non addito, tum ab aliis multis, qui Lysiae eam sine ulla suspicionis mentione attribuunt. Recentiores plerique post Reiskium abiudicant, nonnulli defenderunt ut Lebeau, der Epitaphios des L. als echt erwiesen, Stuttg. 1863; Thomaschik, de L. epitaphii authentia verisimili Vrat. 1887.

Or. III. Homines duo Theodotum adolescentem Plataeensem ita amabant, ut alter, qui hanc causam dicit, beneficiis devinciret, alter Simo petulantia vexaret. Unde rixis exortis Simo adversarium noctu, cum domi frustra quaesivisset, aliunde evocatum verberibus aggressus est. Quamobrem alter, cum rem celari cuperet, aliquamdiu patria relicta cum Theodoto peregrinatus est. Verum ubi rediit rursus in illius insidias incidit, et postquam utrimque acriter pugnatum est, omnes qui intererant vulneribus levibus acceptis discesserunt. Quattuor annis post Simo adversarium, qui et opibus et auctoritate valebat, cum causa privata cecidisse comperisset, publice apud archontem (*βασιλέα*) de vulnere praemeditato reum fecit. Causa acta est apud Areopagum paucis annis post pugnam Coronensem (§ 45).

Or. IV. Viri duo cum sumptu communi servam emissent, qua promiscue uterentur, contentione exorta alter, qui Dionysiis choragus destinatus erat, alterum per *ἀντίδοσιν* ad

fortunas permutandas provocat. Qui cum divitior esset metueretque ne causa caderet, pactum iniit, quo se munus subiturum puellamque adversario traditurum promisit, si ille sibi boum iugum, servos complures, fruges quasdam remisisset. Paullo postquam haec pactio rata facta est, is qui choragia functus erat ebrius cum aliis in alterius domum se contulit et inter rixas et verbera puellam abduxit. Quare iratus adversarius eum de caede praemeditata apud Areopagum arcessit. Habemus rei orationem alteram, cui cum narratio desit res paullo obscurior est cf. Herm. XIX 90. Aliquanto differunt Blaschke de antidosi 21, Illing de antidosi 23. De tempore nihil traditur.

Or. V. Calliae ex servorum indicio apud iudices heliastas criminis gravissimi reo (*ἱεροσυλίαν* in inscriptione legimus), seni inquilino, qui per multos annos Athenis mercaturas faciebat, amico paterno post alios civis aliquis hac oratione auxiliatur, quam mancam esse credideris, et quod preces desunt et quod in libro Palatino folia duo hoc loco interierunt, cf. Sauppe epist. crit. 7.

Or. VI. Andocides orator, dum Hermocopidarum causa agitur in vincula coniectus, indicio facto servatus est, sed paullo post Isotimidis populiscito, quo *εἴργεσθαι τῶν ἱερῶν τοὺς ἀσεβήσαντας καὶ ὁμολογήσαντας* imperatum est, urbe cedere coactus Cypri maxime degens mercaturam exercebat. Bis deinde (annis 411 et fere 407) frustra in patriam redire conatus tandem anno 402 amnestia fretus Athenas revertit. Paucis annis post a Cephisio, Epichare, Meleto, quod Cereris sacra violasset, per *ἔνδειξιν* arcessitus est, qua de re rege archonte auctore heliastae mysteriis initiati iudicabant (anno 399). Orationem vero, quae deuterologiae speciem prae se fert, Lysiae non esse constat. In iudicio tamen habitam existimant Hoelscher, de vita etc. 56, Kirchhoff Herm. I 7, Blass Att. Ber. I^2 566, Bergk Lit. Gesch. IV 356, Roegholt, Ps. Lysiae oratio contra And. 9, ex quibus Hoelscher Meleto, Bergk et Roegholt Theodoro Byzantio eam tribuunt coll. Suid. s. v. *Θεόδωρος* cf. E. Drerup Jb. f. Phil. suppl. XXVII 338 et Val. Schneider ib. 354. A rhetore aetatis in-

ferioris confectam iudicaverunt Ruhnken hist. crit. 50, Sluiter lect. And. 166, Francken lect. Lys. 43, a rhetore aetate suppari orationis forensis speciem imitato conscriptam Lipsius arbitratur praef. Andoc. X cf. Weber, de Lysiae fertur contra Andocidem oratione, diss. Lips. 1900, I. Bruns, Lit. Portr. der Griech. 479. 521. Epitomen denique esse vult Zutt, Progr. Mannheim 1891.

Or. VII. Homo aetate provectior, qui fundo colendo intentus a republica se abstinebat, a Nicomacho apud Areopagum accusatur, quod oleae sacrae truncum anno 397/6 ex agro sustulisset, cuius sceleris poena exilium et bonorum publicatio constituta erat. Reus vero anno 404/3, quo tempore agrum illum emisset, oleam nullam in eo fuisse probat. Atque causa acta videtur non ita multo post annum 395. Quod Paulus ὁ ἐκ Μυσίας apud Phot. cod. 262 orationem a Lysia abiudicavit, nihili est. Cf. Meutzner Progr. Plauen 1860.

Or. VIII. Hac oratione, quae pessime corrupta ad nos pervenit, homo quidam argumentis sophisticis usus resque, in quibus versatur, leviter attingens magis quam accurate exponens familiaritatem sociis quibusdam renunciat. Ut in iudicio habitam non esse apparet, ita Lysiae non esse fere constat. Tamen vix cum Buermanno Herm. X 347 sq. eam exercitationis causa confectam credideris. Atque quod vocalium hiatus evitari videtur (Benseler, de hiatu 183) exeunti fere saeculo quarto attribuunt, quod ne verum esse existimem forma vetus ξυν- obstat, quam praeferri videmus. Epitomen esse voluerunt Dobree, Gleiniger Herm. IX 150, Stutzer ib. XIV 529. Praeterea cf. Pertz quaest. Lys. II 16 Clausthal 1857, Kirchner Progr. Demmin 1869, Fritzsche diss. Jen. Rostochii 1877, Hallensleben, Progr. Arnstadt 1887.

Or. IX. Polyaenus, duobus fere mensibus ante domum reversus, cum iterum a praetoribus ad stipendium evocaretur, contumeliis usus pecunia multatus est, quam multam praetores exeunte anno ad Minervae quaestores detulerunt. Hi vero causa cognita poenam remisisse dicuntur. Atque Polyaenus, cum stipendio functus redisset (§ 17), tertio anno ab homine aliquo, quem praetores illi subornasse videntur,

per ἀπογραφὴν in ius vocatus, quod multam non pependisset, hac oratione se defendit. De tempore certi nihil scimus, quamquam propter crebras Atheniensium expeditiones, quae commemorantur, iure Blass ad belli Corinthii tempora causam referre videtur. Lacuna una certe patet, plures inesse sunt qui suspicentur. Lysiae non esse veri simillimum est, epitomen esse arbitrantur Halbertsma lect. Lys. 17, Albrecht de Lys. or. XX, Stutzer Herm. XIV 500, XVI 88. Praeterea cf. Siegfried, de multa quae ἐπιβολὴ dicitur 37, Pabst, de orationis ὑπὲρ τοῦ στρατιώτου causa etc. Stendalis 1890 (qui quod §o 6 nisus p. 46 adsentiente Lipsio Att. Recht 299 orationem anno 333/2 tribuit, a vero abhorrere videtur cf. Berl. Phil. Wochenschr. 1908, 306), Keller, Die Rechtsfrage in Lysias' 9. Rede, Nürnberg 1894.

Or. X. Theomnestum, cum dicere apud populum ausus esset, Lysitheus in ius vocaverat, quippe qui licere illi negaret, quod in proelio scutum abiecisset, eiusque rei testes Dionysium et eum hominem produxerat, qui orationem nostram habuit. In iudicio vero absolutus Theomnestus Dionysium falsi testimonii reum factum damnavit. Atque cum in priore iudicio eum, pro quo haec oratio scripta est, auctorem fuisse contendisset, cur pater a trigintaviris occideretur, is rursus Theomnestum de iniuriis postulavit. Causa acta est anno 384 (§ 4). Orationem num Lysias conscripsisset, Harpocratio dubitabat s. ἀπίλλειν, ἀπόρρητα, πεφασμένης, ποδοκάκκη. Nostrates Lysia dignam esse iudicant exceptis C. Herrmanno, (zur Echtheitsfrage von Lysias' X. Rede, Hannover 1878) et I. Brunsio (Lit. Portrait der Griechen 460), qui exercitationis causa confectam esse censent.

Or. XI. Orationis quae antecedit breviarium esse iam Scaliger animadvertit. Quod quando et a quo et quo consilio scriptum sit, dubitatur; Lysiae non esse apparet. Quomodo is qui scripsit rem gesserit, exponunt Albrecht, de Lys. or. XX, 1 et Herrmann l. l. 17.

Or. XII. Dum Lysias ipse fuga salutem petit, Polemarchus frater sub trigintavirorum imperio ab Eratosthene in via publica comprehensus et in vincula coniectus veneno occisus

est. Libertate recuperata, cum trigintaviri Eleusina cessissent, Lysias Eratosthenem, qui cum Phidone in urbe remanserat, reum fecit. Atque qua actione usus esset, diu dubium erat, cum alteri caedis incusavisse (Frohberger, Gebauer), alteri in rationibus reddendis contra eum extitisse existimarent (Meier, de bon. damn. 188, Meier-Lipsius, Att. Proz.[2] 257, Blass, Att. Ber. I[2] 541). Hanc rationem veram esse Aristotelis de Atheniensium republica libellus testatur (v. Wilamowitz, Arist. u. Athen. II 218). Oratio habita est sub anni 403 exitum.

Or. XIII. Agoratus, patre Eumare libertino natus, cum post Quadringentorum imperium propter beneficia in rempublicam collata publice laudatus esset, anno 404 ad senatum praetorum nonnullorum et taxiarchorum nomina detulerat, qui rerum novarum cupidi essent. Qui viri a trigintaviris capitis damnati sunt. Aliquanto post liberam rempublicam restitutam Dionysius adiuvante consobrino, cui Lysias hanc orationem scripsit, Agoratum apud undecimviros per *ἀπαγωγὴν* accusavit, quod indicio illo Dionysodorum fratrem interfecisset (cf. Lipsius Att. Recht 325), vel potius quod, quamquam homicida esset, in foro et templis urbis versaretur (§ 88, Pauly-Wissowa *ἀπαγωγή*). Oratio habita est post annum 400 (§ 56. 83) in heliastarum iudicio.

Or. XIV. XV. Cum Athenienses anno 395 Thrasybulo duce in Boeotiam exercitum missuri essent, qui Boeotis contra Lacedaemonios auxilium ferret, nonnulli ex peditibus adversarios strenuos veriti inter equites stipendia merere maluerunt, quamquam a senatu ad hoc militiae genus non erant delecti. In quibus Alcibiades minor fuit, Alcibiadis ducis clarissimi ex Hippareta filius, qui simulatque exercitus proelio nullo commisso domum rediit ab Archestratida *λιποταξίου* nomine in ius vocatus est (cf. Roehlecke Progr. Magdeburg. Wilh. Gymn. 1905). Is a duobus subscriptoribus his orationibus adiutus est, quarum priorem et Harp. v. *Ἀλκιβιάδης* et nostra aetate Blass (Att. Ber. I[2] 494), Roehl (Z. f. GW. XIX Jahresb. 2), Nowack (Leipz. Stud. XII 1 sq.) in dubium vocaverunt. Neque tamen rationes quas afferunt ad

orationem damnandam sufficere videntur. Alteram vero Nowack et verborum delectu et figuris et sententiarum constructione ita a priore differre probavit, ut a Lysia originem ducere nullo modo possit existimari. Habitae sunt Ol. 96, 2 anno 395 vel 394 (XIV 4) apud milites, cui iudicio praetores praeerant. I. Bruns (Lit. Portr. 493) orationem priorem a Lysia postea commutatam et auctam, ut Isocrati (or. XVI) adversaretur, editam esse censet, cf. Herm. Schultze, Progr. Buxtehude 1886, Nowack Comment. Ribbeck 465.

Or. XVI. Mantitheus, vir nobili loco natus, cum munus quoddam (senatorium dixeris) sortitus apud senatum morum examen subiret, adversus calumniatores se defendit, qui eum sub trigintaviris stipendia equestria meruisse dicebant. Bello vero Corinthio se fortissime rem gessisse praedicat. Oratio circa annum 391 habita videtur, cf. Naber, Museum XI 310.

Or. XVII. Pater eius hominis qui hanc orationem habet Eratoni talenta duo commodaverat, et cum post Eratonis mortem filii usuras non solvissent, in unum ex filiis Erasistratum iure egit, quippe qui solus in urbe adesset. Qui cum causa cecidisset, agros quosdam ex illius re familiari occupavit. Tum vero fratrum alterius Erasiphontis bona publicantur et ut fere fit, quia fratrum res non seiunctae erant, agri ei quoque aerario publico adscribuntur, quos actor per tres annos possederat. Ab hac iniuria oratione brevissima se defendit, quam nonnulli mutilam esse censuerunt. Causa acta est anni 397 aestate.

Or. XVIII. Poliochus, cum bona quae Niciae fratrum fuerant publicari iussisset causaque cecidisset, paullo post rogationem eandem tulit. Quare cum iterum *παρανόμων* accusatus esset, hac *δευτερολογίᾳ* Eucratis filius a iudicibus petit, ne tum adversario concederent, quod paullo ante recusavissent. Atque quibus rebus Poliochus nisus sit, ignoramus, Diognetus tamen, Niciae frater, populi iram in se concitasse videtur (cf. Thalheim, Die Rede für Polystratos, Vrat. 1876 p. 20), cuius filium Diomnestum accusatorem extitisse suspiceris. Alii Eucratis bona per *ἀπογραφὴν* petita esse censent, quae hac oratione defenderentur cf. Blass Att. Ber. I[2] 525.

Quae num mutila sit, dubitatur cf. ib. 524. Habitam paullo ante belli Corinthii initium dixeris cf. § 15.

Or. XIX. Aristophanes, Nicophemi filius, cum anno 390 Atheniensibus persuasisset, ut Euagorae decem triremes auxilio mitterent, ipse Cyprum legatus profectus est. Sed postquam naves illae a Teleutia Lacedaemonio captae sunt, in populi invidiam incidit atque Athenas arcessitus morte multatus est. Deinde bonis publicatis cum spe minor res familiaris esset, uxoris propinqui per *ἀπογραφὴν* in ius vocati sunt, quod partem bonorum surripuissent. Quam suspicionem uxoris frater — pater enim paullo ante vita decesserat — hac oratione removere studet, quae apud syndicos in heliastarum iudicio ante pacem Antalcidae quae vocatur habita est. Exordio fere eodem utitur atque Andocides in oratione de mysteriis habita.

Or. XX. Polystratus Atheniensis, qui sub Quadringentorum imperio anno 411, postquam et *καταλογέως* et senatoris munere functus est, Eretriam cum classe profectus proelio navali interfuerat, cum reversus in urbem rationes reddidisset, grandi pecunia multatus est. Neque ita multo post eodem nomine accusatus hac deuterologia a filio defenditur. Cuius causae quae sit ratio incertum est, certum est tum quoque multam gravissimam reo imminere (§ 32). Atque cum multa prior soluta nondum videatur esse (§§ 6. 15. 18. 33), accusatores verisimile est anno 410/9 ad iudicium tulisse, ut poena ex lege duplicaretur. Scimus enim hac de re iudices suffragia dedisse cf. CIA II 804 l. 57. 70. 90. 95, Rechtsaltert.[4] 124. Plurimum hac de oratione disputatum est cf. Fränkel de or. pro Pol. habita diss. Berol. 1869, Hoffmeister Progr. Stargard. Pom. 1872, Kirchner Progr. Ohlau. 1873, Thalheim Progr. Elis. Vrat. 1876, Albrecht de Lys. or. XX diss. Berol. 1878, Pohl de or. pro Pol. Lys. diss. Argent. 1881, Hildebrandt in comment. philol. Monac. 177, de Wilamowitz Arist. u. Athen II 356, qui Harpocrationis titulum tutatus orationem in duas partes divisam actoribus duobus (§ 1—10. 11—36) tribuit.

Or. XXI. Causa qualis fuerit, difficile est dictu, quoniam

prior orationis pars, qua crimina refutabantur, interiit. Actor *ἀπογραφῇ ὑπὸ τῶν ζητητῶν ὡς τοῦ δημοσίου χρήματα ἔχων* petitus (§ 16) et ab hominibus privatis (§ 20) insimulatus est, quod *ἐπὶ τῷ τῆς πόλεως κακῷ παρὰ τῶν ἄλλων ἐδωροδόκει.* Iam quoniam causa anno 402/1 (§ 4) acta videtur, verisimile est crimina ad trigintavirorum tempora spectavisse. Quo tempore reus, quamquam a republica se abstinuit (§ 18), rem familiarem ut assolet in rebus turbidis (XXV 19) auxisse videtur. Poena certe ei imminebat capitis deminutio (§ 25) aut rei familiaris iactura (§§ 11. 12. 14. 25), multam gravissimam dixeris, quam solvere vix posset. Quae cum ita sint, a vero recedere videntur, qui in rationibus reddendis reum factum dicunt (Blass, Att. Ber. I^2 498, Lipsius Att. Recht 299), verisimilius est eum per *ἀπογραφὴν* petitum esse (Meier Att. Proz. 253, Lipsius Att. Proz. 444; Schoell, quaest. fisc. 11; Thalheim, Rede f. Polystratos 19).

Or. XXII. Athenis cum mercatores frumentarii lege plus quam quinquaginta *φορμοὺς* coëmere vetarentur, paullo post pacem Antalcideam (§ 14) nomina quaedam eiusmodi hominum ad senatum delata sunt, qui legem illam violassent. Senatus vero causa cognita graviore poena dignos esse arbitratus rem ad thesmothetarum iudicium remisit, in quo unus ex senatoribus accusatoris partes agit.

Or. XXIII. Qui hanc habet orationem, Pancleonem quendam fullonem ut inquilinum apud polemarchum in ius vocaverat. Atque cum ille civem Plataeensem se esse professus fori exceptione (*ἀντιγραφῇ*) usus esset, hac oratione eum mentitum esse demonstrat. Non esse Plataeensem, immo servum fugitivum. Tempus incertum est, cf. de Wilamowitz, Aristot. u. Ath. II 368, Löwenthal, Progr. Leipae Bohem. 1904.

Or. XXIV. Lex erat Athenis, ut civibus pauperibus qui propter corporis infirmitatem ad quaestum faciendum minus idonei essent, publice singuli oboli diurni darentur (postea bini Arist. resp. Ath. 49). Quibus civibus quotannis apud senatum probatio subeunda erat. Homo quidam aetate provectior, pedibus claudus, cum per aliquot annos beneficio

usus in periculo esset ne privaretur, hac oratione se defendit, qua ioco et ironia in adversarium invehitur. Habita est aliquanto post trigintavirorum imperium (§ 25). In dubium vocaverunt et veteres (Harp. s. *ἀδύνατοι*) et nostratium A. Boeckh Staatshaush. I[3] 309 et I. Bruns Lit. Portr. 460, cf. Wörpel, diss. Lips. 1901.

Or. XXV. Titulum qui traditur *δήμου καταλύσεως ἀπολογία* falsum esse apparet. Immo civis quidam, qui muneribus publicis egregie functus sub trigintaviris quamquam in urbe remanebat a republica abstinuerat, postquam libera republica restituta magistratum petivit (§§ 3. 10. 14. 23), ab adversariis, cum *δοκιμασίαν* quae vocatur subiret, accusatus se defendit hac oratione, qua civium concordiam maxime conservandam esse demonstrat. Habita videtur circa annum 400 a. Chr., cum Eleusis ab Atheniensibus capta esset (§§ 9. 35).

Or. XXVI. Oratio, cuius exordium interiit, apud senatum habita est in Evandrum, qui archon designatus *δοκιμασίαν* subibat. Atque munere indignus esse dicitur, quod sub trigintavirorum imperio cives quosdam supplicio affecisset. Sed defensor ei extitit Thrasybulus Colyttensis. Habitam esse orationem anno 382 probabilis Hoelscheri coniectura est, quoniam Ol. IC 3 Evandrum Athenis archontem fuisse comperimus. Seorsum cum apparatu critico edidit P. R. Müller Progr. Merseburg 1873.

Or. XXVII. Epicrates (*ὁ σακεσφόρος* cf. Bergk rel. com. Att. 389) hac oratione, cuius peroratio sola aetatem tulit, *παραπρεσβείας* accusatur, si §o primae fides habenda est (cf. Jahrb. f. Phil. CXVII 554). Quae ratio plerisque displicuit, quod ab reliquo quod habemus fragmento legationis memoria abest (Falk Reden des Lys. 305, Blass Att. Ber. I[2] 453, Schoell quaest. fisc. 17, Hentschel quaest. de Lys. or. Epicratea 14). Qui viri docti ex §o 3 Epicratem munere quodam Athenis functum *δώρων* et *κλοπῆς δημοσίων χρημάτων* reum factum esse concludunt. Ex §is 9 sq. effeceris rem ad bellum Corinthium referri. Atque cum ex Philochoro ap. Didym. VII 20 Epicratem anno 392/1 absentem condemnatum esse edocti simus, haec causa paullo ante locum habuisse putanda

est cf. Stähelin Klio V 56. Nam quod E. Meyer, Theopomp. 54 A. 1 orationem Lysiacam ad illam ipsam causam rettulit, verum non videtur, quoniam § 8 sq. Epicratem hic praesentem apud heliastas causam dixisse demonstrant, illic Demosth. XIX 276 populiscito damnatum esse testatur.

Or. XXVIII. Ergocles anno 390 cum Thrasybulo Stiriensi in Asiam profectus imperii particeps (XXXIX 3, Harp. s. v.), postero anno sociis, Halicarnassensibus maxime, querentibus domum revocatus *προδοσίας* et *δώρων* per *εἰσαγγελίαν* accusatus et paullo post Thrasybuli mortem, qui ab Aspendiis occisus erat, populiscito capitis damnatus est (XXIX 2, Demosth. XIX 180). Orationem *δευτερολογίαν* esse apparet.

Or. XXIX. Ergoclis bonis publicatis, cum triginta talenta, quae surripuisse dicebatur, nusquam reperta essent, suspicio, ut fere fiebat, in affines et amicos eius mota est, et Philocles expeditionis illius trierarchus per *ἀπογραφὴν* in ius vocatus est, quod pecuniam ab Ergocle traditam celaret. Oratio, quam primariam non fuisse constat, anno 388 habita esse videtur.

Or. XXX. Nicomachus, homo humili loco natus, qui et ante et post trigintavirorum imperium per aliquot annos *ἀναγραφεὺς τῶν νόμων* fuerat, anno 399/98 per *εἰσαγγελίαν* ad senatum delatus est (§ 22), quod largitionibus corruptus leges violasset. A senatu vero causa iudicio tradita est. Orationem, quod et exordio caret neque quid reo crimini detur accurate exhibet, sunt qui deuterologiam existiment (Blass Att. Ber. I² 466). Rectius Hamaker quaest. Lys. 86 priorem orationis partem interisse arbitratus est (§ 17). Num Lysiae sit, Harp. s. *ἐπιβολή* dubitat, epitomen esse Gleiniger Herm. IX 168 et P. Schultze diss. Berol. 1883 voluerunt, libellum potius quam orationem esse Schoemann Griech. Altert. I³ 584 et Sachse Progr. Posen 1886 contenderunt. Cf. Gülde diss. Berol. 1882.

Or. XXXI. Philo Acharnensis a trigintaviris cum ceteris ex urbe expulsus ruri degebat neque, cum Thrasybulus Piraeum cepisset, aut armis aut opibus populares adiuvit, sed Oropum profectus inquilinus ibi habitavit. Deinde Athenas re-

versus paullo post libertatem recuperatam (§§ 8. 31) sorte senatoris honores nactus apud senatum hac oratione accusatur, quod tali munere indignus esset. Quam Francken comment. Lys. 232 interpolatoris manum perpessam esse existimat, olim Scheibe (Jahrb. f. Phil. XXXI 372) nuper Büchle (Progr. Durlach 1894) a Lysia abiudicaverunt. Quod vero F. Vogel (Progr. Fürth 1901) orationem posteriore aetate exercitationis causa confectam censet, eius rei argumenta minime sufficiunt. Diotimi Acharnensis persona certe ficta non est, cf. Kirchner, prosop. I 293.

Or. XXXII. Diodotus mercator cum ad bellum proficisceretur, Diogitonem, et fratrem et socerum, liberorum tutorem designaverat. Atque postquam apud Ephesum occisus est, Diogiton filiam viduam homini alii in matrimonium dedit, fratris rem familiarem ita administravit, ut ipse fructus omnes caperet, filiis nihil relinqueret. Quod cum apparuisset, filia primum patrem apud parentes rei male gestae convincit, tum nepotum maior avum apud archontem ἐπιτροπῆς reum facit. Hunc adolescentulum sororis maritus, Diodoti gener, oratione apud iudices anno 401 a. Chr. adiuvat.

Or. XXXIII. Orator Olympiae anno 388 (Diod. XIV 109) Graecos hortatur, ut a discordiis intestinis desistant et vires unitas in barbaros et tyrannos convertant, Persarum regem maxime et Dionysium, qui tunc sumptibus magnis legationem Olympiam miserat. Quae oratio num Lysiae sit, Scheibe (Jahrb. f. Phil. XXXI 373) dubitavit.

Or. XXXIV. Anno 403, postquam exules redierunt, cum pactione sanctum esset, ne quis iniuriarum ante illatarum reminisceretur, in concione de civitate deliberatum est. Atque Thrasybulus civium iura omnibus tribuenda censuit, quicumque cum Piraeensibus in urbem redissent (Arist. resp. Ath. 40), Phormisius quidam eos civitate privari iussit, qui agros non possiderent. Quam rogationem orator gravissime impugnat. Oratio num habita sit, ipse Dionysius dubius est. De quo fragmento optime meritus est Usener Jb. f. Phil. CVII 145 sq. = Kl. Schrift. I 262.

ΛΥΣΙΑΣ.

1.

ΥΠΕΡ ΤΟΥ ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΦΟΝΟΥ ΑΠΟΛΟΓΙΑ. St. p. 92

Περὶ πολλοῦ ἂν ποιησαίμην, ὦ ἄνδρες, τὸ τοιούτους 1
ὑμᾶς ἐμοὶ δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέ-
σθαι, οἷοίπερ ἂν ὑμῖν αὐτοῖς εἴητε τοιαῦτα πεπονθότες·
εὖ γὰρ οἶδ' ὅτι, εἰ τὴν αὐτὴν γνώμην περὶ τῶν ἄλλων
ἔχοιτε, ἥνπερ περὶ ὑμῶν αὐτῶν, οὐκ ἂν εἴη ὅστις οὐκ
ἐπὶ τοῖς γεγενημένοις ἀγανακτοίη, ἀλλὰ πάντες ἂν περὶ
τῶν τὰ τοιαῦτα ἐπιτηδευόντων τὰς ζημίας μικρὰς ἡγοῖ-
σθε. καὶ ταῦτα οὐκ | ἂν εἴη μόνον παρ' ὑμῖν οὕτως 2
ἐγνωσμένα, ἀλλ' ἐν ἁπάσῃ τῇ Ἑλλάδι· περὶ τούτου γὰρ
μόνου τοῦ ἀδικήματος καὶ ἐν δημοκρατίᾳ καὶ ὀλιγαρχίᾳ
ἡ αὐτὴ τιμωρία τοῖς ἀσθενεστάτοις πρὸς τοὺς τὰ μέγιστα
δυναμένους ἀποδέδοται, ὥστε τὸν χείριστον τῶν αὐτῶν
τυγχάνειν τῷ βελτίστῳ· οὕτως, ὦ ἄνδρες, ταύτην τὴν
ὕβριν ἅπαντες ἄνθρωποι δεινοτάτην ἡγοῦνται. περὶ μὲν 3
οὖν τοῦ μεγέθους τῆς ζημίας ἅπαντας ὑμᾶς νομίζω τὴν
αὐτὴν διάνοιαν ἔχειν, καὶ οὐδένα οὕτως ὀλιγώρως δια-
κεῖσθαι, ὅστις οἴεται δεῖν συγγνώμης τυγχάνειν ἢ μικρᾶς

Or. I. *Λυσίου ὑπὲρ* X, cf. Harp. *μέταυλος*, Bekk. An. I 169, 30; 176, 25 7 *εἴητε* marg. Ald: *εἰ ἦτε* X 8 *γνώμην* ⟨*καὶ*⟩ *περὶ* Rs 10 *ἀλλὰ πάσας ἂν* Wdn 11 *τὰς* ⟨*μεγίστας*⟩ *ζημίας* Rs *μικρὰς* rasura ex *μακρὰς* a pr. m. corr. X, *μακρὰς* H
14 *καὶ* ⟨*ἐν*⟩ *ὀλ.* Cont, sed cf. III 38; IV 18; XVIII 6. 13
17 *τὴν* del. Dobr 19 *ζημίας*] *ὕβρεως* malit Rs

ζημίας ἀξίους ἡγεῖται τοὺς τῶν τοιούτων ἔργων αἰτίους·
4 ἡγοῦμαι δέ, ὦ ἄνδρες, τοῦτό με δεῖν ἐπιδεῖξαι, ὡς ἐμοίχευεν
Ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμὴν καὶ ἐκείνην τε διέ-
φθειρε καὶ τοὺς παῖδας τοὺς ἐμοὺς ᾔσχυνε καὶ ἐμὲ αὐτὸν
ὕβρισεν εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών, καὶ οὔτε ἔχθρα
ἐμοὶ καὶ ἐκείνῳ οὐδεμία ἦν πλὴν ταύτης, οὔτε χρημάτων
ἕνεκα ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος γένωμαι,
οὔτε ἄλλου κέρδους οὐδενὸς πλὴν τῆς κατὰ τοὺς νόμους
5 τιμωρίας. ἐγὼ τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω
τὰ ἐμαυτοῦ πράγματα, οὐδὲν παραλείπων, ἀλλὰ λέγων
τἀληθῆ· ταύτην γὰρ ἐμαυτῷ μόνην ἡγοῦμαι σωτηρίαν,
ἐὰν ὑμῖν εἰπεῖν ἅπαντα δυνηθῶ τὰ πεπραγμένα.
6 Ἐγὼ γάρ, ὦ Ἀθηναῖοι, ἐπειδὴ ἔδοξέ μοι γῆμαι καὶ
γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν, τὸν μὲν ἄλλον χρόνον
οὕτω διεκείμην ὥστε μήτε λυπεῖν μήτε λίαν ἐπ' ἐκείνῃ
εἶναι ὅ τι ἂν ἐθέλῃ ποιεῖν, ἐφύλαττόν τε ὡς οἷόν τε ἦν,
καὶ προσεῖχον τὸν νοῦν ὥσπερ εἰκὸς ἦν. ἐπειδὴ δέ μοι
παιδίον γίγνεται, ἐπίστευον ἤδη καὶ πάντα τὰ ἐμαυτοῦ
ἐκείνῃ παρέδωκα, ἡγούμενος ταύτην οἰκειότητα μεγίστην
7 εἶναι· ἐν μὲν οὖν τῷ πρώτῳ χρόνῳ, ὦ Ἀθηναῖοι, πασῶν
ἦν βελτίστη· καὶ γὰρ οἰκονόμος δεινὴ καὶ φειδωλὸς
[ἀγαθὴ] καὶ ἀκριβῶς πάντα διοικοῦσα· ἐπειδὴ δέ μοι ἡ
μήτηρ ἐτελεύτησε, πάντων τῶν κακῶν ἀποθανοῦσα αἰτία

1 ἀξίους εἶναι τοὺς Wdn. 2 ἀποδεῖξαι Herw ἐμοίχευσεν Cont 5 malim ὕβριζεν cf. § 25 οὔτε corr. ex οὕτως a m. sec. X καὶ ⟨ὅτι⟩ οὔτε Pertz 8 κέρδους del. Rauch τοὺς om. X, add. H, P. Müller 10 ἀλλ' ἅπαντα λέγων Hirschig, ἀλλὰ λέγων τὰ καθ' ἕκαστα vel delenda ἀλλὰ λέγων τἀλ. Geb. Lys. I 207 13 Ἀθηναῖοι X, ἄνδρες vulg. 15 ἀπιστίᾳ λυπεῖν pp. Frb, ἀπιστεῖν Bergk, ζηλοτυπεῖν P. Müller 16 ἐθέλῃ H, θέλῃ X, ὅ τι θέλοι Dobr 20 ὦ ἄνδρες vel ὦ ἄ. δικασταί Dobr 22 ἀγαθὴ del. Dobr, διήγαγε Wdn, καὶ ἐργάτις Reuss, ft. ἀλύπως? 23 πάντων una littera erasa (ἁπάντων pr.?) X[s], ἢ πάντων cum libro H (Marc. 422) H. Schenkl,

μοι γεγένηται. ἐπ' ἐκφορὰν γὰρ αὐτῇ ἀκολουθήσασα ἡ **8**
ἐμὴ γυνὴ ὑπὸ τούτου τοῦ ἀνθρώπου ὀφθεῖσα χρόνῳ
διαφθείρεται· ἐπιτηρῶν γὰρ τὴν θεράπαιναν τὴν εἰς τὴν
ἀγορὰν βαδίζουσαν καὶ λόγους προσφέρων ἀπώλεσεν αὐ-
τήν. Πρῶτον μὲν οὖν, ὦ ἄνδρες, (δεῖ γὰρ καὶ ταῦθ' **9**
ὑμῖν διηγήσασθαι) οἰκίδιον ἔστι μοι διπλοῦν, ἴσα ἔχον
τὰ ἄνω τοῖς κάτω κατὰ τὴν γυναικωνῖτιν καὶ κατὰ τὴν
ἀνδρωνῖτιν. ἐπειδὴ δὲ τὸ παιδίον ἐγένετο ἡμῖν, ἡ μήτηρ
αὐτὸ ἐθήλαζεν· ἵνα δὲ μή, ὁπότε λοῦσθαι δέοι, κινδυ-
νεύῃ κατὰ τῆς κλίμακος καταβαίνουσα, ἐγὼ μὲν ἄνω
διῃτώμην, αἱ δὲ γυναῖκες κάτω. καὶ οὕτως ἤδη συνει- **10**
θισμένον ἦν, ὥστε πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευ-
δήσουσα ὡς τὸ παιδίον, ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ καὶ
μὴ βοᾷ. καὶ ταῦτα πολὺν χρόνον οὕτως ἐγίγνετο, καὶ
ἐγὼ οὐδέποτε ὑπώπτευσα, ἀλλ' οὕτως ἠλιθίως διεκείμην,
ὥστε ᾤμην τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην
εἶναι τῶν ἐν τῇ πόλει. Προϊόντος δὲ τοῦ χρόνου, ὦ **11**
ἄνδρες, ἧκον μὲν ἀπροσδοκήτως ἐξ ἀγροῦ, μετὰ δὲ τὸ
δεῖπνον τὸ παιδίον ἐβόα καὶ ἐδυσκόλαινεν ὑπὸ τῆς θερα-
παίνης ἐπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ· ὁ γὰρ ἄν-
θρωπος ἔνδον ἦν· ὕστερον γὰρ ἅπαντα ἐπυθόμην. καὶ **12**
ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον καὶ δοῦναι τῷ παιδίῳ
τὸν τιτθόν, ἵνα παύσηται κλᾶον. ἡ δὲ τὸ μὲν πρῶτον
οὐκ ἤθελεν, ὡς ἂν ἀσμένη με ἑωρακυῖα ἥκοντα διὰ χρό-
νου· ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην καὶ ἐκέλευον αὐτὴν

---

lacuna post *γεγένηται* indicata 2 *τούτου* del. Halb 3 *τὴν* ante *εἰς* del. Emperius 6 *οἰκίδιον* ... 11 *κάτω* laudatur a Demetrio *περὶ ἑρμην.* IX 85 Walz 7 *καὶ τὴν γυν. καὶ τὴν ἀνδρ.* Wdn 9 *αὐτὴ ἐθηλ.* Bake, *ἐθήλαζε* cf. Suidas s. v. *κινδυνεύοι* vulg. Herw 15 *οὐδὲν πώποτε* Herw 16 *ἐμαυτοῦ* ex *ἑαυτοῦ* corr. a m. sec. X 22 *παιδίῳ* Bekker et sic X: *παιδὶ* vulg. 24 *ὡς δὴ ἀσμ.* v. Es, cf. Xen. An. V 7, 22 25 *ἐκέλευον αὖθις αὐτὴν* Kirchner

ἀπιέναι, „ἵνα σύ γε“ ἔφη „πειρᾷς ἐνταῦθα τὴν παιδί-
σκην· καὶ πρότερον δὲ μεθύων εἷλκες αὐτήν.“ κἀγὼ μὲν
13 ἐγέλων, ἐκείνη δὲ ἀναστᾶσα καὶ ἀπιοῦσα προστίθησι
τὴν θύραν, προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν ἐφέλ-
κεται. κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος οὐδ' ὑπονοῶν
14 ἐκάθευδον ἄσμενος, ἥκων ἐξ ἀγροῦ. ἐπειδὴ δὲ ἦν πρὸς
ἡμέραν, ἧκεν ἐκείνη καὶ τὴν | θύραν ἀνέῳξεν. ἐρομένου
δέ μου τί αἱ θύραι νύκτωρ ψοφοῖεν, ἔφασκε τὸν λύχνον
ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτό-
νων ἐνάψασθαι. ἐσιώπων ἐγὼ καὶ ταῦτα οὕτως ἔχειν
ἡγούμην. ἔδοξε δέ μοι, ὦ ἄνδρες, τὸ πρόσωπον ἐψιμυ-
θιῶσθαι, τοῦ ἀδελφοῦ τεθνεῶτος οὔπω τριάκονθ' ἡμέ-
ρας· ὅμως δ' οὐδ' οὕτως οὐδὲν εἰπὼν περὶ τοῦ πράγμα-
15 τος ἐξελθὼν ᾠχόμην ἔξω σιωπῇ. Μετὰ δὲ ταῦτα, ὦ ἄν-
δρες, χρόνου μεταξὺ διαγενομένου καὶ ἐμοῦ πολὺ ἀπο-
λελειμμένου τῶν ἐμαυτοῦ κακῶν, προσέρχεταί μοί τις
πρεσβῦτις ἄνθρωπος, ὑπὸ γυναικὸς ὑποπεμφθεῖσα ἣν
ἐκεῖνος ἐμοίχευεν, ὡς ἐγὼ ὕστερον ἤκουον· αὕτη δὲ ὀργι-
ζομένη καὶ ἀδικεῖσθαι νομίζουσα, ὅτι οὐκέτι ὁμοίως ἐφοίτα
παρ' αὐτήν, ἐφύλαττεν ἕως ἐξηῦρεν ὅ τι εἴη τὸ αἴτιον.
16 προσελθοῦσα οὖν μοι ἐγγὺς ἡ ἄνθρωπος τῆς οἰκίας τῆς
ἐμῆς ἐπιτηροῦσα, „Εὐφίλητε“ ἔφη „μηδεμιᾷ πολυπραγ-
μοσύνῃ προσεληλυθέναι με νόμιζε πρὸς σέ· ὁ γὰρ ἀνὴρ

---

2 πρότερον δὴ Sauppe, πρ. γε Zaka 3 καὶ del. Halb, καὶ ἐξιοῦσα προστίθησι τ. θ. Bekk. An. I 169, 30 6 ὡς ἥκων Hertlein 10 ἀνάψασθαι Steph, ἐναύσασθαι Naber, cf. Ar. Pax 1032 11 laudat Georg. Cod. Par. 2919 fol. 39: ἔδοξέ τέ μοι ἐψ. τὴν ὄψιν τἀδελφοῦ τεθνηκότος οὔπ. τρ. ἡμ. Schilling Jahn. ann. suppl. XXVIII 688 ἐψιμυθιῶσθαι cf. Bekk. An. I 258, 8 13 οὐδὲν ὑπονοῶν Hirschig, οὐδὲν ὑποπτεύων Wdn 17 ὑποπεμφθ. superscripto ἐπι X, ἐπιπ. H 18 ἐμοίχευσεν Wdn αὕτη Tayl: αὐτὴ X 20 παρ' αὐτῇ H et superscripto -ὴν X 21 ἡ ἄνθρωπος del. Halb. 23 ὁ γὰρ . . . p. 5, 1 γυναῖκα Bekk. An. I 176, 28

ὁ ὑβρίζων εἰς σὲ καὶ τὴν σὴν γυναῖκα ἐχθρὸς ὢν ἡμῖν
τυγχάνει. ἐὰν οὖν λάβῃς τὴν θεράπαιναν τὴν εἰς ἀγο-
ρὰν βαδίζουσαν καὶ διακονοῦσαν ὑμῖν καὶ βασανίσῃς,
ἅπαντα πεύσῃ. „ἔστι δ'" ἔφη „Ἐρατοσθένης Ὀῆθεν ὁ
ταῦτα πράττων, ὃς οὐ μόνον τὴν σὴν γυναῖκα διέφθαρ-
κεν ἀλλὰ καὶ ἄλλας πολλάς· ταύτην γὰρ τέχνην ἔχει."
ταῦτα εἰποῦσα, ὦ ἄνδρες, ἐκείνη μὲν ἀπηλλάγη, ἐγὼ δ' 17
εὐθέως ἐταραττόμην, καὶ πάντα μου εἰς τὴν γνώμην
εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας, ἐνθυμούμενος μὲν ὡς
ἀπεκλῄσθην ἐν τῷ δωματίῳ, ἀναμιμνῃσκόμενος δὲ ὅτι ἐν
ἐκείνῃ τῇ νυκτὶ ἐψόφει ἡ μέταυλος θύρα καὶ ἡ αὔλειος,
ὃ οὐδέποτε ἐγένετο, ἔδοξέ τέ μοι ἡ γυνὴ ἐψιμυθιῶσθαι.
ταῦτά μου πάντα εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν
ὑποψίας. ἐλθὼν δὲ οἴκαδε ἐκέλευον ἀκολουθεῖν μοι τὴν 18
θεράπαιναν εἰς τὴν ἀγοράν, ἀγαγὼν δ' αὐτὴν ὡς τῶν
ἐπιτηδείων τινὰ ἔλεγον ὅτι ἐγὼ πάντα εἴην πεπυσμένος
τὰ γιγνόμενα ἐν τῇ οἰκίᾳ· „σοὶ οὖν" ἔφην „ἔξεστι δυοῖν
ὁπότερον βούλει ἑλέσθαι, ἢ μαστιγωθεῖσαν εἰς μύλωνα
ἐμπεσεῖν καὶ μηδέποτε παύσασθαι κακοῖς τοιούτοις συν-
εχομένην, ἢ κατειποῦσαν ἅπαντα τἀληθῆ μηδὲν παθεῖν
κακόν, ἀλλὰ συγγνώμης παρ' ἐμοῦ τυχεῖν τῶν ἡμαρτη-
μένων. ψεύσῃ δὲ μηδέν, ἀλλὰ πάντα τἀληθῆ λέγε."
κἀκείνη τὸ μὲν πρῶτον ἔξαρνος ἦν, καὶ ποιεῖν ἐκέλευεν 19
ὅ τι βούλομαι· οὐδὲν γὰρ εἰδέναι· ἐπειδὴ δὲ ἐγὼ ἐμνή-
σθην Ἐρατοσθένους πρὸς αὐτήν, καὶ εἶπον ὅτι οὗτος ὁ

---

2 *εἰς ἀγ. . . . καὶ* del. Roehl 4 in mg. X: *ἐκ τόπου τινὸς ἴσως ὡς Ἀθήνηθεν* 6 *τέχνην* Bekker: *τὴν τέχνην* X 8 *καὶ πάντα . . . 9 ὑποψίας* del. Dobr. 10 *ἀπεκλείσθην* X 11 *μέταυλος* et *αὔλειος* cf. Harp. s. v. 12 *οὐδεπώποτε* Herw 13 Georg. l. l. *καὶ πάντα ταῦτα εἰσῄει μοι λογίσασθαι καὶ μεστ. ἦν ὑποψ.* 15 *τῶν ἐπιτ. ἕνεκα ἔλεγ.* Damsté 22 *ψεύσῃ*, *σ* in rasura, ft. corr. ex *δ* a m. pr. X 25 *ὁ* a pr. m. in duarum vel trium litterarum (*σοι*?) rasura X, *σοι* H, *ὁ εἰσφοιτῶν*

φοιτῶν εἴη πρὸς τὴν γυναῖκα, ἐξεπλάγη ἡγησαμένη με πάντα ἀκριβῶς ἐγνωκέναι. καὶ τότε ἤδη πρὸς τὰ γόνατά μου πεσοῦσα, καὶ πίστιν παρ' ἐμοῦ λαβοῦσα μηδὲν πεί-
20 σεσθαι κακόν, κατηγόρει πρῶτον μὲν ὡς μετὰ τὴν ἐκφορὰν αὐτῇ προσίοι, ἔπειτα ὡς αὐτὴ τελευτῶσα εἰσαγγείλειε καὶ ὡς ἐκείνη τῷ χρόνῳ πεισθείη, καὶ τὰς εἰσόδους οἷς τρόποις προσιεῖτο, καὶ ὡς Θεσμοφορίοις ἐμοῦ ἐν ἀγρῷ ὄντος ᾤχετο εἰς τὸ ἱερὸν μετὰ τῆς μητρὸς τῆς ἐκείνου· καὶ τἆλλα τὰ γενόμενα πάντα ἀκριβῶς διηγή-
21 σατο. ἐπειδὴ δὲ πάντα εἴρητο αὐτῇ, εἶπον ἐγώ, „ὅπως τοίνυν ταῦτα μηδεὶς ἀνθρώπων πεύσεται· εἰ δὲ μή, οὐδέν σοι κύριον ἔσται τῶν πρὸς ἔμ' ὡμολογημένων. ἀξιῶ δέ σε ἐπ' αὐτοφώρῳ ταῦτά μοι ἐπιδεῖξαι· ἐγὼ γὰρ οὐδὲν δέομαι λόγων, ἀλλὰ τὸ ἔργον φανερὸν γενέσθαι,
22 εἴπερ οὕτως ἔχει.“ ὡμολόγει ταῦτα ποιήσειν. καὶ μετὰ ταῦτα διεγένοντο ἡμέραι τέτταρες ἢ πέντε, ... ὡς ἐγὼ μεγάλοις ὑμῖν τεκμηρίοις ἐπιδείξω. πρῶτον δὲ διηγήσασθαι βούλομαι τὰ πραχθέντα τῇ τελευταίᾳ ἡμέρᾳ. Σώστρατος ἦν μοι ἐπιτήδειος καὶ φίλος. τούτῳ ἡλίου δεδυκότος ἰόντι ἐξ ἀγροῦ ἀπήντησα. εἰδὼς δ' ἐγὼ ὅτι τηνικαῦτα ἀφιγμένος οὐδὲν ἂν καταλήψοιτο οἴκοι τῶν ἐπιτηδείων, ἐκέλευον συνδειπνεῖν· καὶ ἐλθόντες οἴκαδε
23 ὡς ἐμέ, ἀναβάντες εἰς τὸ ὑπερῷον ἐδειπνοῦμεν. ἐπειδὴ

H. Schenkl cf. Aesch. I 57 4 κατηγόρευε Cob 5 αὐτῇ προσίοι et ὡς αὐτῇ Scaliger 6 πεισθείη H, Rs: προσθείη X, προθείη Tayl 7 ᾧτινι τρόπῳ Wdn προσιεῖτο Kayser (προσίοιτο): προσίοι X, προσεῖτο Dobr, ποιοίη Rs, παράσχοι Kappeyne v. d. Coppello, εἰσίοι Hertlein 11 πεύσηται XH 12 τῶν πρὸς σέ μοι Steph, τῶν πρὸς ἐμοῦ Francken, τῶν πρόσθεν Roehl 16 lacunam animadvertit Rs, qui supplet καὶ ἐπ' αὐτοφώρῳ τὸν μοιχὸν ἔνδον ἔλαβον, possis: ἕως ἐγὼ τὴν ἐκ τῶν νόμων δίκην ἔλαβον, cf. Schultz, Herm. XLVI 631 20 ἀνιόντι vel ἐπανιόντι cum Reiskio malit Frb, ἥκοντι Baiter 21 ἂν del Cob, οὐδένα καταλ. Bekker

δὲ καλῶς αὐτῷ εἶχεν, ἐκεῖνος μὲν | ἀπιὼν ᾤχετο, ἐγὼ
δ' ἐκάθευδον. ὁ δ' Ἐρατοσθένης, ὦ ἄνδρες, εἰσέρχεται,
καὶ ἡ θεράπαινα ἐπεγείρασά με εὐθὺς φράζει ὅτι ἔνδον
ἐστί. κἀγὼ εἰπὼν ἐκείνῃ ἐπιμελεῖσθαι τῆς θύρας, κατα-
βὰς σιωπῇ ἐξέρχομαι, καὶ ἀφικνοῦμαι ὡς τὸν καὶ τόν,
καὶ τοὺς μὲν ⟨οὐκ⟩ ἔνδον κατέλαβον, τοὺς δὲ οὐδ' ἐπι-
δημοῦντας ηὗρον. παραλαβὼν δ' ὡς οἷόν τε ἦν πλείστους 24
ἐκ τῶν παρόντων ἐβάδιζον. καὶ δᾷδας λαβόντες ἐκ τοῦ
ἐγγύτατα καπηλείου εἰσερχόμεθα, ἀνεῳγμένης τῆς θύ-
ρας καὶ ὑπὸ τῆς ἀνθρώπου παρεσκευασμένης. ὤσαντες
δὲ τὴν θύραν τοῦ δωματίου οἱ μὲν πρῶτοι εἰσιόντες ἔτι
εἴδομεν αὐτὸν κατακείμενον παρὰ τῇ γυναικί, οἱ δ'
ὕστερον ἐν τῇ κλίνῃ γυμνὸν ἐστηκότα. ἐγὼ δ', ὦ ἄνδρες, 25
πατάξας καταβάλλω αὐτόν, καὶ τὼ χεῖρε περιαγαγὼν εἰς
τοὔπισθεν καὶ δήσας ἠρώτων διὰ τί ὑβρίζει εἰς τὴν
οἰκίαν τὴν ἐμὴν εἰσιών. κἀκεῖνος ἀδικεῖν μὲν ὡμολόγει,
ἠντεβόλει δὲ καὶ ἱκέτευε μὴ ἀποκτεῖναι ἀλλ' ἀργύριον
πράξασθαι. ἐγὼ δ' εἶπον ὅτι „οὐκ ἐγώ σε ἀποκτενῶ, 26
ἀλλ' ὁ τῆς πόλεως νόμος, ὃν σὺ παραβαίνων περὶ ἐλάτ-
τονος τῶν ἡδονῶν ἐποιήσω, καὶ μᾶλλον εἵλου τοιοῦτον
ἁμάρτημα ἐξαμαρτάνειν εἰς τὴν γυναῖκα τὴν ἐμὴν καὶ
εἰς τοὺς παῖδας τοὺς ἐμοὺς ἢ τοῖς νόμοις πείθεσθαι καὶ
κόσμιος εἶναι.“ οὕτως, ὦ ἄνδρες, ἐκεῖνος τούτων ἔτυχεν 27
ὧνπερ οἱ νόμοι κελεύουσι τοὺς τὰ τοιαῦτα πράττοντας,
οὐκ εἰσαρπασθεὶς ἐκ τῆς ὁδοῦ, οὐδ' ἐπὶ τὴν ἑστίαν κατα-
φυγών, ὥσπερ οὗτοι λέγουσι· πῶς γὰρ ἄν, ὅστις ἐν τῷ

---

6 *οὐκ* add. Rs cf. § 41 *οὐδ'* Rs: *οὐκ* X 7 *ηὗρον* del. Herw *οἷός τε* Hirschig coll. § 42 10 *καὶ* del. marg. Ald *ὑπὸ* del. Francken 15 *καὶ δήσας* del. Herw 17 *ἠντιβόλει* X *ἀποκτεῖναι* Hertlein: *αὐτὸν κτεῖναι* X 20 *ἐποιήσω* Rs: *ἐποίησας* X 22 post *ἐμοὺς* P. Müller add. *καὶ εἰς ἐμαυτὸν* coll. § 4; debebat *εἰς ἐμέ*, sed cf. § 25 *ὑβρίζει* 25 *ἀφαρπασθεὶς* Cont, *συναρπασθεὶς* Markl

δωματίῳ πληγεὶς κατέπεσεν εὐθύς, περιέστρεψα δ' αὐτοῦ τὼ χεῖρε, ἔνδον δὲ ἦσαν ἄνθρωποι τοσοῦτοι, οὓς διαφυγεῖν οὐκ ἐδύνατο, οὔτε σίδηρον οὔτε ξύλον οὔτε

28 ἄλλο οὐδὲν ἔχων, ᾧ τοὺς εἰσελθόντας ἂν ἠμύνατο. ἀλλ', ὦ ἄνδρες, οἶμαι καὶ ὑμᾶς εἰδέναι ὅτι οἱ μὴ τὰ δίκαια πράττοντες οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν ἀληθῆ, ἀλλ' αὐτοὶ ψευδόμενοι καὶ τὰ τοιαῦτα μηχανώμενοι ὀργὰς τοῖς ἀκούουσι κατὰ τῶν τὰ δίκαια πραττόντων παρασκευάζουσι. Πρῶτον μὲν οὖν ἀνάγνωθι τὸν νόμον.

ΝΟΜΟΣ.

29 Οὐκ ἠμφεσβήτει, ὦ ἄνδρες, ἀλλ' ὡμολόγει ἀδικεῖν, καὶ ὅπως μὲν μὴ ἀποθάνῃ ἠντεβόλει καὶ ἱκέτευεν, ἀποτίνειν δ' ἕτοιμος ἦν χρήματα. ἐγὼ δὲ τῷ μὲν ἐκείνου τιμήματι οὐ συνεχώρουν, τὸν δὲ τῆς πόλεως νόμον ἠξίουν εἶναι κυριώτερον, καὶ ταύτην ἔλαβον τὴν δίκην, ἣν ὑμεῖς δικαιοτάτην εἶναι ἡγησάμενοι τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐτάξατε. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

30 Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον ⟨τὸν⟩ ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου πάγου.

ΝΟΜΟΣ.

Ἀκούετε, ὦ ἄνδρες, ὅτι αὐτῷ τῷ δικαστηρίῳ τῷ ἐξ Ἀρείου πάγου, ᾧ καὶ πάτριόν ἐστι καὶ ἐφ' ἡμῶν ἀποδέ-

---

3 σιδήριον malit Rs cf. § 42 4 ἐπελθόντας Wdn 10 lex est Solonis de moechis, cuius partem apud Luc. Eun. 10 legimus: μοιχὸς ἑάλω ποτέ, ὡς ὁ ἄξων φησί, ἄρθρα ἐν ἄρθροις ἔχων 11 ἠμφισβ X 12 ἀποθάνοι Cob ἠντιβ. X 13 inter ἕτοιμος et ἦν rasura, voculae ἦν superscriptum .μὶ X[spf], ἦν μοι Fuhr 19 ΜΑΡΤΥΡΕΣ est in X 20 τὸν add. West 22 lex est de caede insonti, quae legitur apud Demosth. XXIII 53 24 ἡμῶν Rs: ὑμῶν X ἀποδέδοται est in X

δοται τοῦ φόνου τὰς δίκας δικάζειν, διαρρήδην εἴρηται
τούτου μὴ καταγιγνώσκειν φόνον, ὃς ἂν ἐπὶ δάμαρτι τῇ
ἑαυτοῦ μοιχὸν λαβὼν ταύτην τὴν τιμωρίαν ποιήσηται.
καὶ οὕτω σφόδρα ὁ νομοθέτης ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ 31
δίκαια ταῦτα ἡγήσατο εἶναι, ὥστε καὶ ἐπὶ ταῖς παλλα-
καῖς ταῖς ἐλάττονος ἀξίαις τὴν αὐτὴν δίκην ἐπέθηκε.
καίτοι δῆλον ὅτι, εἴ τινα εἶχε ταύτης μείζω τιμωρίαν
ἐπὶ ταῖς γαμεταῖς, ἐποίησεν ἄν. νῦν δὲ οὐχ οἷός τε ὢν
ταύτης ἰσχυροτέραν ἐπ' ἐκείναις ἐξευρεῖν, τὴν αὐτὴν
καὶ ἐπὶ ταῖς παλλακαῖς ἠξίωσε γίγνεσθαι. Ἀνάγνωθι δέ
μοι καὶ τοῦτον τὸν νόμον.

ΝΟΜΟΣ.

Ἀκούετε, ἄνδρες, ὅτι κελεύει, ἐάν τις ἄνθρωπον ἐλεύ- 32
θερον ἢ παῖδα αἰσχύνῃ βίᾳ, διπλῆν τὴν βλάβην ὀφείλειν·
ἐὰν δὲ γυναῖκα, ἐφ' αἷσπερ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς
αὐτοῖς ἐνέχεσθαι· οὕτως, ὦ ἄνδρες, τοὺς βιαζομένους
ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι ἢ τοὺς πείθον-
τας· τῶν μὲν γὰρ θάνατον κατέγνω, τοῖς δὲ διπλῆν
ἐποίησε τὴν βλάβην, ἡγούμενος τοὺς μὲν διαπραττομέ- 33
νους βίᾳ ὑπὸ τῶν βιασθέντων μισεῖσθαι, τοὺς δὲ πεί-
σαντας οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν, ὥστ' οἰ-
κειοτέρας αὐτοῖς ποιεῖν τὰς ἀλλοτρίας | γυναῖκας ἢ τοῖς
ἀνδράσι, καὶ πᾶσαν ἐπ' ἐκείνοις τὴν οἰκίαν γεγονέναι,
καὶ τοὺς παῖδας ἀδήλους εἶναι ὁποτέρων τυγχάνουσιν

2 τούτου . . . φόνον Rs: τοῦτον . . . φόνου X 4 ἐπὶ ταῖς γ. γυναιξὶ del. Halb 9 αὐτὴν ⟨ἣν⟩ Rs 12 lex est de vi, diversa ab illa quam tradit Plut. Sol. 23 13 ὦ ἄνδρες M corr, marg. Ald ἄνδρα ἐλευθ. Dobr, cf. Lipsius Att. Recht 432 15 ἐὰν δὲ . . . 16 ἐνέχεσθαι delere malit Frb ⟨κἂν⟩ ἐφ' Photiades αἷσπερ ⟨τοὺς πείσαντας⟩ Rs, ἐφ' αἷσπερ . . . ἔξεστιν del. Halb 16 ὦ ἄνδρες del. Herw 20 βίαν XH τοὺς δὲ πείθοντας Fuhr 22 αὐτοῖς X 23 οἰκίαν ex οἰκείαν a m. pr. corr. X

ὄντες, τῶν ἀνδρῶν ἢ τῶν μοιχῶν. ἀνθ' ὧν ὁ τὸν νό-
34 *μον τιθεὶς θάνατον αὐτοῖς ἐποίησε τὴν ζημίαν. Ἐμοῦ*
τοίνυν, ὦ ἄνδρες, οἱ μὲν νόμοι οὐ μόνον ἀπεγνωκότες
εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες ταύτην τὴν δίκην
λαμβάνειν· ἐν ὑμῖν δ' ἐστὶ πότερον χρὴ τούτους ἰσχυ-
35 *ροὺς ἢ μηδενὸς ἀξίους εἶναι. ἐγὼ μὲν γὰρ οἶμαι πάσας*
τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους τίθεσθαι, ἵνα περὶ
ὧν ἂν πραγμάτων ἀπορῶμεν, παρὰ τούτους ἐλθόντες
σκεψώμεθα ὅ τι ἡμῖν ποιητέον ἐστίν. οὗτοι τοίνυν περὶ
τῶν τοιούτων τοῖς ἀδικουμένοις τοιαύτην δίκην λαμβά-
36 *νειν παρακελεύονται. οἷς ὑμᾶς ἀξιῶ τὴν αὐτὴν γνώμην*
ἔχειν· εἰ δὲ μή, τοιαύτην ἄδειαν τοῖς μοιχοῖς ποιήσετε,
ὥστε καὶ τοὺς κλέπτας ἐπαρεῖτε φάσκειν μοιχοὺς εἶναι,
εὖ εἰδότας ὅτι, ἐὰν ταύτην τὴν αἰτίαν περὶ ἑαυτῶν λέ-
γωσι καὶ ἐπὶ τούτῳ φάσκωσιν εἰς τὰς ἀλλοτρίας οἰκίας
εἰσιέναι, οὐδεὶς αὐτῶν ἅψεται. πάντες γὰρ εἴσονται ὅτι
τοὺς μὲν νόμους τῆς μοιχείας χαίρειν ἐᾶν δεῖ, τὴν δὲ
ψῆφον τὴν ὑμετέραν δεδιέναι· αὕτη γάρ ἐστι πάντων
τῶν ἐν τῇ πόλει κυριωτάτη.

37 *Σκέψασθε ⟨δέ⟩, ὦ ἄνδρες· κατηγοροῦσι γάρ μου ὡς*
ἐγὼ τὴν θεράπαιναν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετελθεῖν ἐκέ-
λευσα τὸν νεανίσκον. ἐγὼ δέ, ὦ ἄνδρες, δίκαιον μὲν ἂν
ποιεῖν ἡγούμην ᾡτινιοῦν τρόπῳ τὸν τὴν γυναῖκα τὴν
38 *ἐμὴν διαφθείραντα λαμβάνων· εἰ μὲν γὰρ λόγων εἰρη-*
μένων ἔργου δὲ μηδενὸς γεγενημένου μετελθεῖν ἐκέλευον

---

2 *θεὶς* malit Bekker 5 *ἰσχύειν* Cob 9 *περὶ τῶν*] *παρὰ τῶν* Tayl 11 *ἄξιον* Wdn; cf. IV 12; XIV 20; XXX 17 12 *τοσαύτην* Hartman 13 *ὥστε* Tur. pp.: *ὡς* X 16 *πάντες* sc. *οἱ ἀδικούμενοι* 17 *τῆς μοιχείας* del. Herw, *περὶ τῆς μ.* Cob, *περὶ τὰς μ.* Wdn? 18 *γὰρ ἔσται* Zaka 19 *κυριώτατον* Cob 20 *δὲ* add. M. corr. 21 *μετελθεῖν*] in mg. X: *καλέσαι* 22 *μὲν ἂν* ex *μὲν* a m. pr. corr. X 24 *λόγων μὲν εἰρ.* Herw

ἐκεῖνον, ἠδίκουν ἄν· εἰ δὲ ἤδη πάντων διαπεπραγμένων
καὶ πολλάκις εἰσεληλυθότος εἰς τὴν οἰκίαν τὴν ἐμὴν
ᾡτινιοῦν τρόπῳ ἐλάμβανον αὐτόν, σώφρον' ἂν ἐμαυτὸν
ἡγούμην· σκέψασθε δὲ ὅτι καὶ ταῦτα ψεύδονται· ῥᾳδίως **39**
δὲ ἐκ τῶνδε γνώσεσθε. ἐμοὶ γάρ, ὦ ἄνδρες, ὅπερ καὶ
πρότερον εἶπον, φίλος ὢν Σώστρατος καὶ οἰκείως δια-
κείμενος ἀπαντήσας ἐξ ἀγροῦ περὶ ἡλίου δυσμὰς συνε-
δείπνει, καὶ ἐπειδὴ καλῶς εἶχεν αὐτῷ, ἀπιὼν ᾤχετο.
καίτοι πρῶτον μέν, ὦ ἄνδρες, ἐνθυμήθητε· [ὅτι] εἰ ἐν **40**
ἐκείνῃ τῇ νυκτὶ ἐγὼ ἐπεβούλευον Ἐρατοσθένει, πότερον
ἦν μοι κρεῖττον αὐτῷ ἑτέρωθι δειπνεῖν ἢ τὸν συνδειπνή-
σοντά μοι εἰσαγαγεῖν; οὕτω γὰρ ἂν ἧττον ἐτόλμησεν
ἐκεῖνος εἰσελθεῖν εἰς τὴν οἰκίαν. εἶτα δοκῶ ἂν ὑμῖν τὸν
συνδειπνοῦντα ἀφεὶς μόνος καταλειφθῆναι καὶ ἔρημος
γενέσθαι, ἢ κελεύειν ἐκεῖνον μένειν, ἵνα μετ' ἐμοῦ τὸν
μοιχὸν ἐτιμωρεῖτο; ἔπειτα, ὦ ἄνδρες, οὐκ ἂν δοκῶ ὑμῖν **41**
τοῖς ἐπιτηδείοις μεθ' ἡμέραν παραγγεῖλαι, καὶ κελεῦσαι
αὐτοὺς συλλεγῆναι εἰς οἰκίαν τινὰ φίλων τῶν ἐγγυτάτω,
μᾶλλον ἢ ἐπειδὴ τάχιστα ᾐσθόμην τῆς νυκτὸς περι-
τρέχειν, οὐκ εἰδὼς ὅντινα οἴκοι καταλήψομαι καὶ ὅντινα
ἔξω; καὶ ὡς Ἁρμόδιον μὲν καὶ τὸν δεῖνα ἦλθον οὐκ ἐπι-
δημοῦντας (οὐ γὰρ ᾔδειν), ἑτέρους δὲ οὐκ ἔνδον ὄντας
κατέλαβον, οὓς δ' οἷός τε ἦν λαβὼν ἐβάδιζον. καίτοιγε **42**

---

8 *σώφρον' ἂν* Kappeyne v. d. Coppello: *σωφρονεῖν* X, *σωφρονεῖν ἂν* Tayl, *σωφρονεῖν μὲν ἂν ἡγ.* Wdn 9 *ὅτι* del. Rs, *εἴ τι ἐν* Wdn 11 *ἢ ⟨καὶ⟩ τὸν* marg. Ald. 12 *εἰσάγειν* Cob *οὐ* vel *οὔτι γὰρ ἂν* Wdn 15 *κελεῦσαι* Rs *μένειν* rasura a m. pr. corr. ex *μὲν εἶναι* X, *μὲν εἶναι* H, *μεῖναι* Fuhr 17 *καὶ κελεῦσαι αὐτοὺς* del. Halb 18 *τινὰ* scripsi: *τῶν* (supra vocem rasusa unius vel duarum litterarum) X, *τινὸς τῶν* Rs, *τῶν φίλ. τὴν* vel *τοῦ ἐγγ.* Bergk, *τὴν οἰκίαν τῶν φίλ. του ἐγγ.* Frb, *οἰκ.* del. Cob, qui scribit *εἰς τῶν φίλ. του ἐγγ.*; sed neque *του* neque *τῳ* sunt apud Lys., *τῶν φίλων τιν' ἐγγ.* Wdn 22 *ὄντας* del. Halb 23 *καίτοι* Wdn, cf. XXVI 16

εἰ προῄδειν, οὐκ ἂν δοκῶ ὑμῖν καὶ θεράποντας παρασκευάσασθαι καὶ τοῖς φίλοις παραγγεῖλαι, ἵν᾽ ὡς ἀσφαλέστατα μὲν αὐτὸς εἰσῄειν (τί γὰρ ᾔδειν εἴ τι κἀκεῖνος εἶχε σιδήριον;), ὡς μετὰ πλείστων δὲ μαρτύρων τὴν τιμωρίαν ἐποιούμην; νῦν δ᾽ οὐδὲν εἰδὼς τῶν ἐσομένων ἐκείνῃ τῇ νυκτί, οὓς οἷός τε ἦν παρέλαβον. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

43 Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες· σκέψασθε δὲ παρ᾽ ὑμῖν αὐτοῖς οὕτως περὶ τούτου τοῦ πράγματος, ζητοῦντες εἴ τις ἐμοὶ καὶ Ἐρατοσθένει ἔχθρα πώποτε
44 γεγένηται πλὴν ταύτης. οὐδεμίαν γὰρ εὑρήσετε. οὔτε γὰρ συκοφαντῶν γραφάς με ἐγράψατο, οὔτε ἐκβάλλειν ἐκ τῆς πόλεως ἐπεχείρησεν, οὔτε ἰδίας δίκας ἐδικάζετο, οὔτε συνῄδει κακὸν οὐδὲν ὃ ἐγὼ δεδιὼς μή τις πύθηται ἐπεθύμουν αὐτὸν ἀπολέσαι, οὔτε εἰ ταῦτα διαπραξαίμην, ἤλπιζόν ποθεν χρήματα λήψεσθαι· ἔνιοι γὰρ τοιούτων
45 πραγμάτων ἕνεκα θάνατον ἀλλήλοις ἐπιβουλεύουσι. τοσούτου τοίνυν δεῖ | ἢ λοιδορία ἢ παροινία ἢ ἄλλη τις διαφορὰ ἡμῖν γεγονέναι, ὥστε οὐδὲ ἑωρακὼς ἦν τὸν ἄνθρωπον πώποτε πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. τί ἂν οὖν βουλόμενος ἐγὼ τοιοῦτον κίνδυνον ἐκινδύνευον, εἰ μὴ τὸ μέγιστον τῶν ἀδικημάτων ἦν ὑπ᾽ αὐτοῦ ἠδικημένος;
46 ἔπειτα παρακαλέσας αὐτὸς μάρτυρας ἠσέβουν, ἐξόν μοι,

6 ἐν ἐκείνῃ Markl 11 πώπ. γεγένηται est in X 14 ἐδικάσατο Frb, sed „non erat in lite“ 16 ἐπεθύμουν ἂν αὐτὸν Francken et deleta voce αὐτὸν Wdn διαπραξαίμην Lipsius: διεπραξάμην X 17 ποθεν Emperius: μὲν X, quae vox deleta est in libro M. 17 ἔνιοι . . . 18 ἐπιβουλεύουσι del. Roehl 18 ἕνεκεν X ἀλλήλοις] ἄλλοις Auger τοσούτω corr. ex τοσοῦτο X, unde τοσούτῳ Gleiniger, τοσοῦτον H 20 οὐδὲ M. corr.: οὔτε X

*εἴπερ ἀδίκως ἐπεθύμουν αὐτὸν ἀπολέσαι, μηδένα μοι
τούτων συνειδέναι;*

Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ 47
*νομίζω ταύτην γενέσθαι τὴν τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς
πόλεως ἁπάσης· οἱ γὰρ τοιαῦτα πράττοντες, ὁρῶντες
οἷα τὰ ἆθλα πρόκειται τῶν τοιούτων ἁμαρτημάτων,
ἧττον εἰς τοὺς ἄλλους ἐξαμαρτήσονται, ἐὰν καὶ ὑμᾶς
ὁρῶσι τὴν αὐτὴν γνώμην ἔχοντας. εἰ δὲ μή, πολὺ* 48
*κάλλιον τοὺς μὲν κειμένους νόμους ἐξαλεῖψαι, ἑτέρους
δὲ θεῖναι, οἵτινες τοὺς μὲν φυλάττοντας τὰς ἑαυτῶν
γυναῖκας ταῖς ζημίαις ζημιώσουσι, τοῖς δὲ βουλομένοις
εἰς αὐτὰς ἁμαρτάνειν πολλὴν ἄδειαν ποιήσουσι. πολὺ* 49
*γὰρ οὕτω δικαιότερον ἢ ὑπὸ τῶν νόμων τοὺς πολίτας
ἐνεδρεύεσθαι, οἳ κελεύουσι μέν, ἐάν τις μοιχὸν λάβῃ,
ὅ τι ἂν οὖν βούληται χρῆσθαι, οἱ δ' ἀγῶνες δεινότεροι
τοῖς ἀδικουμένοις καθεστήκασιν ἢ τοῖς παρὰ τοὺς νό-
μους τὰς ἀλλοτρίας καταισχύνουσι γυναῖκας. ἐγὼ γὰρ* 50
*νῦν καὶ περὶ τοῦ σώματος καὶ περὶ τῶν χρημάτων καὶ
περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω, ὅτι τοῖς τῆς πόλεως
νόμοις ἐπειθόμην.*

2.

ΕΠΙΤΑΦΙΟΣ
ΤΟΙΣ ΚΟΡΙΝΘΙΩΝ ΒΟΗΘΟΙΣ.

Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες ἐπὶ τῷδε 1
τῷ τάφῳ, λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀν-

2 *τούτων* i. e. horum, *τοσούτων* marg. Ald, *περὶ τούτων* Frb, *τοῦτο* Wdn 4 *ἀλλὰ κοινὴν ὑπὲρ* Herw 5 *τὰ τοιαῦτα* Herw 7 *ἐξαμαρτήσουσι* superscripto *σονται* X 10 *θεῖναι*] *θέσθαι* Auger 11 *ταῖς* ⟨*ἐσχάταις* vel *μεγίσταις*⟩ *ζημ.* Rs, *ταῖς* del. Cob 13 *γὰρ τοῦτο δικ.* Cont 14 *εἰ κελεύουσι* malit Rs 15 *οὖν* cum vulg. om. Bekker 20 *ἐπιθόμην* C. 22 Or. II. *Λυσίου ἐπιτ.* FV 23 *τοῖς* om. F tit. idem est apud schol. Aesch. III 211 25 *ἀνδρῶν* in X a pr. m. additum, om. F

δρῶν ἀρετήν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν· ἐπειδὴ δὲ πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ, προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγ-
2 γνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. ὅμως δὲ ὁ μὲν λόγος μοι περὶ τούτων, ὁ δ' ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας. τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν
[Isocr. IV 186] βουληθεῖσιν, ὥστε καλὰ μὲν πολλὰ τοῖς προτέροις περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι, ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι εἰπεῖν·
[Thuk. II 41] οὔτε γὰρ γῆς ἄπειροι οὔτε θαλάττης οὐδεμιᾶς, πανταχῇ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις οἱ τὰ αὐτῶν πενθοῦντες κακὰ τὰς τούτων ἀρετὰς ὑμνοῦσι.

3 Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι, μνήμην παρὰ τῆς φήμης λαβών· ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κἀκείνων μεμνῆσθαι, ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δ' ἐν τοῖς τῶν ἀγαθῶν ἐγκωμίοις, τιμῶντας δ' ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δ' ἐν τοῖς τῶν τεθνεώτων ἔργοις τοὺς ζῶντας.
4 Ἀμαζόνες γὰρ Ἄρεως μὲν τὸ παλαιὸν ἦσαν θυγατέρες,

---

1 ἐμεμψάμην . . . 2 λέγειν laudat lex. Vind. 69 omissis vocibus ἐπ' αὐτοῖς 7 αὐτοὺς om. F ὅμως] ὅλως malit Rs 10 τοσαύτην . . . 12 βουληθεῖσι laudat lex. Vind. 151 11 εἰπεῖν] ποιεῖν F 13 καὶ ἡμῖν καταλελεῖφθαι Rs 14 ἐπιγ. ἔτι εἶναι Wakefield 17 ἐξυμνοῦσι F 19 ἄξιον superscripto α F 20 πάντας ἀνθρώπους marg. Ald. 21 τοῖς . . . ἐγκωμίοις scripsi cf. Plat. Resp. X 607[a]: ταῖς . . . γνώμαις X, ταῖς . . . μνήμαις FV 23 τῶν ante τεθν. om. X 24 ἄρεος X

οἰκοῦσαι [δὲ] παρὰ τὸν Θερμώδοντα ποταμόν, μόναι μὲν ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτάς, πρῶται δὲ τῶν πάντων ἐφ' ἵππους ἀναβᾶσαι, οἷς ἀνελπίστως δι' ἀπειρίαν τῶν ἐναντίων ᾕρουν μὲν τοὺς φεύγοντας, ἀπέλειπον δὲ τοὺς διώκοντας· ἐνομίζοντο δὲ διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες ἢ διὰ τὴν φύσιν γυναῖκες· πλέον γὰρ ἐδόκουν τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν ἢ ταῖς ἰδέαις ἐλλείπειν. ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν 5
τοὺς περὶ αὐτὰς καταδεδουλωμέναι, λόγῳ δὲ περὶ τῆσδε τῆς χώρας ἀκούουσαι κλέος μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν ἐστράτευσαν ἐπὶ τήνδε τὴν πόλιν. τυχοῦσαι δ' ἀγαθῶν ἀνδρῶν ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει, καὶ ἐναντίαν τὴν δόξαν τῆς προτέρας λαβοῦσαι μᾶλλον ἐκ τῶν κινδύνων ἢ ἐκ τῶν σωμάτων ἔδοξαν εἶναι γυναῖκες. μόναις δ' αὐταῖς οὐκ | ἐξεγένετο ἐκ τῶν ἡμαρ- 6
τημένων μαθούσαις περὶ τῶν λοιπῶν ἄμεινον βουλεύσασθαι, οὐδ' οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν αὐτῶν δυστυχίαν καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν· αὐτοῦ γὰρ ἀποθανοῦσαι, καὶ δοῦσαι δίκην τῆς ἀνοίας, τῆσδε μὲν τῆς πόλεως διὰ τὴν ἀρετὴν ἀθάνατον ⟨τὴν⟩ μνήμην ἐποίησαν, τὴν δὲ ἑαυτῶν πατρίδα διὰ τὴν ἐνθάδε συμφορὰν ἀνώνυμον κατέστησαν. ἐκεῖναι μὲν οὖν τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσασαι τὴν ἑαυτῶν δικαίως ἀπώλεσαν.

1 *δὲ* del. Markl 3 Tzetzes ad Lykophr. 1332 *Λυσίας ὁ ῥήτωρ Ἀμαζόνας πρώτας φησὶν αὐτὰς ἁπάντων ἀνθρώπων τολμῆσαι ἵππων ἐπιβῆναι* 4 *ἀπέλιπον* V 5 *δὲ* ante *διὰ* del. Rs *μᾶλλον* om. F 6 *ἐδ. τῶν γυναικῶν ταῖς ψ. διαφ. ἢ ⟨τῶν ἀνδρῶν⟩ ταῖς* Houtsma 8 *μὲν τὰ περὶ* Muret, *μὲν τὸ περὶ* marg. Ald 17 *ἄμεινον περὶ τ. λ.* F 18 *ἀπαγγεῖλαι* et *τε* om. F 20 *δίκην τῆς ἀν. δοῦσαι* F 22 *τὴν* addere malebat Sauppe *ἐποίησαν* Bekker: *ἐποιήσαντο* FVX *δὲ αὐτων* (sic) V 23 *κατεστήσαντο* F

7 Ἀδράστου δὲ καὶ Πολυνείκους ἐπὶ Θήβας στρατευσάντων καὶ ἡττηθέντων μάχῃ, οὐκ ἐώντων Καδμείων θάπτειν τοὺς νεκρούς, Ἀθηναῖοι ἡγησάμενοι ἐκείνους μέν, εἴ τι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ αὑτῶν οὐ κομίζεσθαι, ἱερῶν δὲ μιαινομένων τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι, τὸ μὲν πρῶτον πέμψαντες κήρυκας ἐδέοντο αὐτῶν δοῦναι τῶν νεκρῶν
8 ἀναίρεσιν, νομίζοντες ἀνδρῶν μὲν ἀγαθῶν εἶναι ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων δὲ σφίσιν αὐτοῖς ἐν τοῖς τῶν τεθνεώτων σώμασι τὴν εὐψυχίαν ἐπιδείκνυσθαι· οὐ δυνάμενοι δὲ τούτων τυχεῖν ἐστράτευσαν ἐπ' αὐτούς, οὐδεμιᾶς διαφορᾶς πρότερον πρὸς Καδμείους ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσιν Ἀργείων χαρι-
9 ζόμενοι, ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες τῶν νομιζομένων τυγχάνειν πρὸς τοὺς ἑτέρους ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν, ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες πλείω περὶ τοὺς θεοὺς ἐξυβρίσωσιν, ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον εἰς τὴν αὑτῶν ἀπέλθωσι πατρίου τιμῆς ἀτυχήσαντες καὶ Ἑλληνικοῦ νόμου στερηθέντες καὶ κοινῆς ἐλπίδος ἡμαρ-
10 τηκότες. ταῦτα διανοηθέντες, καὶ τὰς ἐν τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίους κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον ἐνίκων μαχόμενοι. καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες

4 ἠδικοῦντο, ἀποθανόντων Rs, sed cf. Plat. Resp. VII 529c, Xen. Hell. III 4, 25 6 μιαινομένων] μὴ γενομένων F ἄνω om. F 7 πέμψαντες . . . 8 ἀναίρεσιν laudat lex. Vind. 9, τὴν post δοῦναι add. F 9 δὲ καὶ σφίσιν V 13 αὐτοῖς post Καδμείους supra versum add. F, sed cf. § 14 18 ἑτέρων del. Auger πρότερον] λυπρότερον vel πικρότερον Emperius, del. vel πάλιν proponit Herw, an ταπεινότεροι? cf. Isocr. V 143, XIV 37 19 πατρίου] πατρίδα οὐ F 21 ταῦτα δὴ διαν. Cob τὰς ἐπὶ τῷ X 23 μὲν om. FV κεκτημένοι Herw δὲ om. F

μείζονος παρὰ Καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλλ' ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο, αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα ὧνπερ ἕνεκα ἀφίκοντο, τοὺς Ἀργείων νεκρούς, ἔθαψαν ἐν τῇ αὐτῶν Ἐλευσῖνι. περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτοι γεγόνασιν.

Ὑστέρῳ δὲ χρόνῳ, ἐπειδὴ Ἡρακλῆς μὲν ἐξ ἀνθρώπων 11
ἠφανίσθη, οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα, ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομένων μὲν τοῖς ἔργοις, φοβουμένων δὲ τὴν Εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν ἱκέται ἐπὶ τῶν βωμῶν ἐκαθέζοντο· ἐξαιτουμένου δὲ αὐτοὺς Εὐρυσθέως 12
Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον ᾐδοῦντο ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο, καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ [Isocr. IV 53]
δικαίου διαμάχεσθαι μᾶλλον ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους ἐκδοῦναι. ἐπιστρα- 13
τεύσαντος δ' Εὐρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς τῶν δεινῶν γενόμενοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην ἥνπερ πρότερον, ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν πεπονθότες, ἐκείνους τ' οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι· δίκαιον δὲ νομίζοντες εἶναι, οὐ προ- 14
τέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ

---

3 *ἕνεκα* habet F cum VX 4 *ἀργείους* V *ἔθαψαν τῆς αὐτῶν* Halb 7 sq. cf. Schol. in Aristid. Panath. 339 Fr. 9 (*αἰσχυνό*)*μενοι* . . . 10 *φοβούμενοι* F 12 *καθίζονται* F 13 *ἡρακλέους* superscripto *ο* a m. pr. X 18 *ἐν* om. X, cf. § 18. 57 19 *οὐδ' ἐγγὺς* Scheibe, sed cf. § 31 20 malim *ἔχοντες γνώμην* obloquente F. Müllero, quaest. gramm. 79 22 *ἐκείνους δ' οὐκ* FV *ἄνδρες ἔσονται*] *ἔσονται ἄνδρες* Hirschig

αὐτῶν ἤραντο, τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς δ' ὑβρίζοντας μισοῦντες, καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δ' ἐπικουρεῖν ἀξιοῦντες, ἡγούμενοι ἐλευθερίας μὲν σημεῖον εἶναι μηδὲν ποιεῖν ἄκοντας, δικαιοσύνης δὲ τοῖς ἀδικουμένοις βοηθεῖν, εὐψυχίας δ' ὑπὲρ τούτων ἀμφοτέρων, εἰ δέοι, μαχομένους ἀποθνήσκειν.
15 τοσοῦτον δ' ἐφρόνουν ἀμφότεροι, ὥσθ' οἱ μὲν μετ' Εὐρυσθέως οὐδὲν παρ' ἑκόντων | ἐζήτουν εὑρίσκεσθαι, Ἀθηναῖοι δὲ οὐδ' ⟨ἂν⟩ ἠξίουν Εὐρυσθέα αὐτὸν ἱκετεύοντα τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. παραταξάμενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου στρατιὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι, καὶ τῶν Ἡρακλέους παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν, ἀπαλλάξαντες δὲ τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν, διὰ δὲ τὴν τοῦ πατρὸς ἀρετὴν ἐκείνους τοῖς αὑτῶν κινδύνοις ἐστεφά-
16 νωσαν. τοσοῦτον δὲ εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός· ὁ μὲν γάρ, καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον καὶ φιλόνικον καὶ φιλότιμον αὑτῷ καταστήσας τὸν βίον τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν, Εὐρυσθέα δὲ καὶ ἐχθρὸν ὄντα καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα οὐχ οἷός τε ἦν τιμωρήσασθαι· οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε τὴν πόλιν τῇ αὐτῇ εἶδον ἡμέρᾳ τήν θ' ἑαυτῶν σωτηρίαν καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν.

---

3 τοῖς δ' ἐπιχειρεῖν F 7 τοσοῦτον γὰρ F 8 παρ' ἀκόντων FV 9 οὐδ' scripsi: οὐκ FVX ἂν hic add. Erdmann, post Εὐρυσθέα Sluiter lect. And. 287: Athenienses supplices sibi eripere Eurystheum non passi essent, licet supplex id rogasset 10 τοὺς ἱκετεύοντας παρ' ἑαυτῶν FV, ἱκ. ⟨τοὺς⟩ αὑτῶν Dyroff ἐξελεῖν] ἐξαιτεῖν F δὴ ἰδίᾳ F 12 ἡρακλέος superscripto ους a m. pr. X, ἡρακλέος F, καὶ τῶν Ἡρακλέους . . . κατέστησαν laudat lex. Vind. 21 14 διὰ δὲ τὴν] διὰ τὴν . . . . ἐκείνους δὲ τοῖς VX 16 δὲ erasum V 17 πολλῶν ἀγαθῶν V 20 ἐχθρὸν] αἰσχρὸν F 22 εἶδον]

Πολλὰ μὲν οὖν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μιᾷ 17
γνώμῃ χρωμένοις περὶ τοῦ δικαίου διαμάχεσθαι. ἥ τε
γὰρ ἀρχὴ τοῦ βίου δικαία· οὐ γάρ, ὥσπερ οἱ πολλοί, [Isocr. IV 24 sq.
πανταχόθεν συνειλεγμένοι καὶ ἑτέρους ἐκβαλόντες τὴν
ἀλλοτρίαν ᾤκησαν, ἀλλ' αὐτόχθονες ὄντες τὴν αὐτὴν
ἐκέκτηντο μητέρα καὶ πατρίδα. πρῶτοι δὲ καὶ μόνοι ἐν 18
ἐκείνῳ τῷ χρόνῳ ἐκβαλόντες τὰς παρὰ σφίσιν αὐτοῖς
δυναστείας δημοκρατίαν κατεστήσαντο, ἡγούμενοι τὴν
πάντων ἐλευθερίαν ὁμόνοιαν εἶναι μεγίστην, κοινὰς δ'
ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες ἐλευ-
θέραις ταῖς ψυχαῖς ἐπολιτεύοντο, νόμῳ τοὺς ἀγαθοὺς 19
τιμῶντες καὶ τοὺς κακοὺς κολάζοντες, ἡγησάμενοι θηρίων
μὲν ἔργον εἶναι ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις
δὲ προσήκειν νόμῳ μὲν ὁρίσαι τὸ δίκαιον, λόγῳ δὲ πεῖ-
σαι, ἔργῳ δὲ τούτοις ὑπηρετεῖν, ὑπὸ νόμου μὲν βασι-
λευομένους, ὑπὸ λόγου δὲ διδασκομένους.

Καὶ γάρ τοι καὶ φύντες καλῶς καὶ γνόντες ὅμοια, 20
πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε
κειμένων ἠργάσαντο, ἀείμνηστα δὲ καὶ μεγάλα καὶ παν-
ταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες τρόπαια διὰ τὴν αὑτῶν
ἀρετὴν κατέλιπον. μόνοι γὰρ ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος
πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν.
ὁ γὰρ τῆς Ἀσίας βασιλεὺς οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν 21

ἐπεῖδον Cob 1 *ὑπῆρχεν* V 2 *χρωμένους* g, Dobr, *χρησαμένοις* F *ἡ μὲν γὰρ* Rs 4 *ἐκβαλόντες* g corr: *ἐκβάλλοντες* FVX 6 *καὶ* ante *μητέρα* add. F 7 *ἐκβάλλοντες* V 9 *ὁμόνοιαν* om. F, *καὶ ὁμόν. εὐδαιμονίαν* malit Rs 14 *ὁρίσ*^{αι} a pr. m. X, *ὁρίσειν* Schoellio, *ὁρίσασθ* Erdmanno fuisse videbatur, *ὁρίσασθαι* F 15 *βασιλευομένοις* superscripto *ους* et 16 *διδασκομένους* superscripto *οις* a pr. m. X 19 malim *μεγάλα πανταχοῦ καὶ οἱ, καὶ* deleverit Hude 22 *πρὸς πολλὰς* om. F *δὶς ἐκινδύνευσαν* Muret coll. [Dem] LX 10 23 *ὁ γὰρ* . . . p. 20, 1 *ἀγαθοῖς* extat apud Bekker An. I 129, 23; *ὁ γὰρ* . . . p. 20, 2 *στρατιὰν* apud Philemon: 226 Osann. et lex. Vind. 21

ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσεσθαι, ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. ἡγησάμενοι δέ, εἰ τήνδε τὴν πόλιν ἢ ἑκοῦσαν φίλην ποιήσαιντο ἢ ἄκουσαν καταστρέψαιντο, ῥᾳδίως τῶν πολλῶν Ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς Μαραθῶνα, νομίσαντες οὕτως ἂν ἐρημοτάτους εἶναι συμμάχων [τοὺς Ἕλληνας], εἰ ἔτι στασιαζούσης τῆς Ἑλλάδος ᾧ τινι χρὴ τρόπῳ τοὺς ἐπιόντας

22 ἀμύνασθαι, τὸν κίνδυνον ποιήσαιντο. ἔτι δ' αὐτοῖς ἐκ τῶν προτέρων ἔργων περὶ τῆς πόλεως τοιαύτη δόξα παρειστήκει, ὡς εἰ μὲν πρότερον ἐπ' ἄλλην πόλιν ἴασιν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμήσουσι· προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες· εἰ δ' ἐνθάδε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν ἑτέρους σῴζοντας φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐ-

23 τῶν καταθέσθαι. οἱ μὲν τοίνυν ταῦτα διενοοῦντο· οἱ δ' ἡμέτεροι πρόγονοι οὐ λογισμῷ εἰδότες τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον, οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὑτῶν ἀρετῇ μᾶλλον ἐπίστευσαν. καὶ αἰσχυνόμενοι ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πυθέσθαι οὐδὲ βοηθῆσαι τοὺς συμμάχους, οὐδ' ᾠήθησαν δεῖν ἑτέροις

---

1 καὶ om. Phil. δουλώσασθαι F Phil lex. Vind. 2 ἔστειλεν V στρατιᾶς Hertlein, sed cf. Xen. An. III 5, 16 (Fuhr) 3 καταστρ. ἄκουσαν F 4 πολλῶν] ἄλλων F, λοιπῶν marg. Ald 5 νομίζοντες FV 6 τοὺς Ἕλληνας del. Emperius, τοὺς Ἀθηναίους Auger 8 ἀμύνεσθαι F 9 περιειστήκει F 10 ἴασιν a pr. m. habet X 13 ἄλλας τῶν VX 15 ταῦτα] τοιαῦτα V, .αῦτα una littera abscisa F 16 εἰδότες VX, δόντες F; μόνον subaudit Rs, ἐνδόντες εἰδότες Sauppe, δεδιότες Wissowa, ὑπεριδόντες Erdmann, εἴκοντες τοῖς . . . κινδύνοις Scheibe, an οὐδενὸς ἧττον εἰδότες? 18 περὶ τῶν ἀγαθῶν cf. § 3, παρὰ τῶν ἀγ. marg. Ald 21 ἀνέμειναν g: ἐνέμειναν XV, .νέμειναν F 22 τοῖς συμμάχοις F

τῆς σωτηρίας χάριν εἰδέναι, ἀλλὰ σφίσιν αὐτοῖς τοὺς
ἄλλους Ἕλληνας. ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες ἀπήν- 24
των ὀλίγοι πρὸς πολλούς· ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν
αὐτοῖς μετὰ πάντων προσήκειν, ἀγαθοῖς δ' εἶναι μετ'
ὀλίγων, καὶ τὰς μὲν ψυχὰς ἀλλοτρίας διὰ | τὸν θάνατον
κεκτῆσθαι, τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν κατα-
λείψειν. ἠξίουν δέ, οὓς μὴ μόνοι νικῷεν, οὐδ' ἂν μετὰ
τῶν συμμάχων δύνασθαι· καὶ ἡττηθέντες μὲν ὀλίγῳ τῶν
ἄλλων προαπολεῖσθαι, νικήσαντες δὲ καὶ τοὺς ἄλλους
ἐλευθερώσειν. ἄνδρες δ' ἀγαθοὶ γενόμενοι, καὶ τῶν μὲν 25
σωμάτων ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ φιλοψυ-
χήσαντες, καὶ μᾶλλον τοὺς παρ' αὐτοῖς νόμους αἰσχυ-
νόμενοι ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι,
ἔστησαν μὲν τρόπαιον ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων
ἐν τῇ αὑτῶν, ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβα-
λόντων, παρὰ τοὺς ὅρους τῆς χώρας, οὕτω δὲ διὰ ταχέων 26
τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις
ἀπήγγειλαν τήν τ' ἐνθάδε ἄφιξιν τῶν βαρβάρων καὶ τὴν
νίκην τῶν προγόνων. καὶ γάρ τοι οὐδεὶς τῶν ἄλλων
ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου, ἀλλ' ἀκούσαντες
ὑπὲρ τῆς αὑτῶν ἐλευθερίας ἥσθησαν. ὥστε οὐδὲν θαυ-
μαστόν, πάλαι τῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν

---

3 in X fol. 9[b] (§ 24 ἀποθανεῖν ... § 28 ἑλλησπόντου) liquore superfuso lectu difficillimum 4 ἀγαθοὺς superscripto οῖ a m. pr. X, ἀγαθοὺς FV 5 διὰ τὸν θάν. del. Dobr 6 ἰδίαι superscripto ν F 8 τῶν ante συμμ. habent FVX ἡττηθέντες superscripto α F post ὀλίγῳ add. μὲν F 9 νικήσαντας FV 11 οὐ φιλοψ.] ἐφιλοψ. (sic) F 12 μᾶλ(λον) τους //// παρὰ τοὺς νόμους F 13 ἢ ... φοβούμενοι om. F 14 τρόπαιον habent FVX 15 ἐν τῇ] ἐκ τῆς Muret 18 ἐπήγγειλαν Ald 19 νίκην τῶν προγόνων habent VX, νίκην om. F οὐδένες ... 20 ἔδεισαν Cob 21 αὑτῶν om. F 22 πάλαι Rs: παλαιῶν FVX

ὄντων ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀν-
θρώπων ζηλοῦσθαι.
27 Μετὰ ταῦτα δὲ Ξέρξης ὁ τῆς Ἀσίας βασιλεύς, κατα-
φρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος,
ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμ-
φορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν
καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασά-
μενος διακοσίαις μὲν καὶ χιλίαις ναυσὶν ἀφίκετο, τῆς δὲ
πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ
τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον
28 εἴη καταλέξαι· ὃ δὲ μέγιστον σημεῖον τοῦ πλήθους· ἐξὸν
γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι κατὰ τὸ στενότατον
τοῦ Ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς
τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν
29 αὐτῷ πολλὴν ἔσεσθαι· ἀλλ' ὑπεριδὼν καὶ τὰ φύσει πε-
φυκότα καὶ τὰ θεῖα πράγματα καὶ τὰς ἀνθρωπίνας δια-
νοίας ὁδὸν μὲν διὰ τῆς θαλάττης ἐποιήσατο, πλοῦν δὲ
διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι, ζεύξας μὲν τὸν Ἑλλή-
[Isocr. IV 89] σποντον, διορύξας δὲ τὸν Ἄθω, ὑφισταμένου οὐδενός,
ἀλλὰ τῶν μὲν ἀκόντων ὑπακουόντων, τῶν δὲ ἑκόντων
προδιδόντων. οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι,
οἱ δ' ὑπὸ χρημάτων διεφθαρμένοι· ἀμφότερα δ' ἦν αὐ-
30 τοὺς τὰ πείθοντα, κέρδος καὶ δέος. Ἀθηναῖοι δ' οὕτω

---

3 μετὰ ταῦτα δὲ VX, μετὰ δὲ ταῦτα F Ξέρξης del. Dobr 8 διακ. μὲν καὶ χιλ. XV χιλ. μ. κ. διακ. F 9 τι πλῆθος Wakefield 10 εἴη ἔργον V 11 καταλέξαι habent F^s VX ὃ δὲ VX, τὸ δὲ F 12 στενότατον habent FVX 13 τῆς ἑλλ. F πεζὴν erasum in X 14 ἡγούμενος . . . 15 ἔσεσθαι del. Herw 15 αὐτῷ] αὐτοῦ F, οὕτω Wakefield 18 ἠνάγκασεν V 19 δι . ρύξας corr. a man. sec. X post ὑφισταμένου add. δ' V, δὲ X pr., in quo duae litterae deletae a manu sec. 21 προδιδόντων] προσιόντων Rs ἀμύνεσθαι F 22 ἐφθαρμένοι X 23 κέρδως V οὕτως F V . . . .

*διακειμένης τῆς Ἑλλάδος αὐτοὶ μὲν εἰς τὰς ναῦς ἐμβάν-
τες ἐπ' Ἀτρεμίσιον ἐβοήθησαν, Λακεδαιμόνιοι δὲ καὶ
τῶν συμμάχων ἔνιοι εἰς Θερμοπύλας ἀπήντησαν, ἡγού-
μενοι διὰ τὴν στενότητα τῶν χωρίων τὴν πάροδον οἷοί
τ' ἔσεσθαι διαφυλάξαι. γενομένου δὲ τοῦ κινδύνου κατὰ* **31**
*τὸν αὐτὸν χρόνον Ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ,
Λακεδαιμόνιοι δέ, οὐ ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι,
ἀλλὰ τοῦ πλήθους ψευσθέντες καὶ οὓς φυλάξειν ᾤοντο
καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον, ⟨διεφθάρησαν⟩ οὐχ
ἡττηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες οὗπερ* [Isocr. VI 100]
ἐτάχθησαν μάχεσθαι· τούτῳ δὲ τῷ τρόπῳ τῶν μὲν δυ- **32**
*στυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων, οἱ μὲν
ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν, οἱ δ' ἡμέτεροι πρόγο-
νοι πυθόμενοι μὲν τὴν γεγενημένην Λακεδαιμονίοις συμ-
φοράν, ἀποροῦντες δὲ τοῖς περιεστηκόσι πράγμασιν, εἰ-
δότες [δ'] ὅτι, εἰ μὲν κατὰ γῆν τοῖς βαρβάροις ἀπαντή-
σονται, ἐπιπλεύσαντες χιλίαις ναυσὶν ἐρήμην τὴν πόλιν
λήψονται, εἰ δὲ εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς
πεζῆς στρατιᾶς ἁλώσονται, ἀμφότερα δὲ οὐ δυνήσονται,
ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν, δυοῖν δὲ* **33**
*προκειμένοιν, πότερον χρὴ τὴν πατρίδα ἐκλιπεῖν ἢ μετὰ
τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς Ἕλλη-
νας, ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς καὶ πενίας*

---

1 *ἐμβάντες* F cf. § 32. 40, *εἰσβάντες* VX 4 *οἷοί*] *οἷον* X 7 *τὰς ψυχὰς* marg. Ald 8 *οὓς*] *ὧν* malit Erdmann *συμφυλάξειν* Dobr 9 *κινδυνεύειν* F *διεφθάρησαν* add. Jacobs cf. Isocr. IV 92, *ἐδυστύχησαν* aut *συμφορᾷ ἐχρήσαντο* Rs, *ἠτύχησαν* Cob, *ἀπώλοντο* Scheibe 11 *μάχεσθαι* del. Hirschig coll. Lyc. 48 *τοῦτον δὲ τὸν τρόπον* marg. Ald 14 *πειθόμενοι μὲν τῆι γεγενημένηι λακ. συμφορᾶι* V 16 *δ'* del. Rs *εἰ μὲν* supra versum add. F[s] *κατὰ γῆς* VX 19 *ἁλώσεται* Tayl 20 *ἀμύνεσθαι* V, *ἀμύνασθαί τε* om. F *δυεῖν* V 21 *ἐκλιπεῖν* marg. Ald: *ἐκκλίνειν* VX, *καταλιπεῖν* F cf. § 40 Isocr. IV 99

καὶ φυγῆς ἐλευθερίαν ἢ μετ' ὀνείδους καὶ πλούτου δου-
λείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν
πόλιν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν ἀλλὰ μὴ πρὸς ἀμφο-
[Isocr. IV 96] τέρας ἅμα τὰς δυνάμεις | κινδυνεύσωσιν· ὑπεκθέμενοι
34 δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλαμῖνα, συνή-
θροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. οὐ πολ-
λαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ καὶ
τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὃ τίς οὐκ ἂν ἰδὼν ἐφο-
βήθη, ὡς μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ
35 τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; ποίαν δὲ γνώ-
μην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις,
οὔσης καὶ τῆς αὑτῶν σωτηρίας ἀπίστου καὶ τοῦ προσι-
όντος κινδύνου, ἢ οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῆς
36 φιλότητος, ὑπὲρ τῶν ἄθλων τῶν ἐν Σαλαμῖνι; οἷς τοσοῦ-
τον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων, ὥστε
ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸ
θάνατον τὸν αὑτῶν προειδέναι, μεγίστην δὲ συμφοράν,
⟨ἃ⟩ ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων τοὺς ὑπεκτεθέν-
37 τας ἤλπιζον πείσεσθαι. ἦ που διὰ τὴν ὑπάρχουσαν ἀπο-
ρίαν πολλάκις μὲν ἐδεξιώσαντο ἀλλήλους, εἰκότως δὲ
σφᾶς αὐτοὺς ὠλοφύραντο, εἰδότες μὲν τὰς σφετέρας ναῦς

---

1 καὶ φυγῆς del. Schoell καὶ ante πλούτου non deest in F[s] 4 ὑπερθέμενοι (sic) . . . 6 ναυτικὸν laudat lex. Vind. 181 5 καὶ μητέρας om. F lex. Vind., καὶ πατέρας add. Schoell 7 ἦλθεν V 8 ἰδὼν οὐκ ἂν F 9 ὡς F, ἧς V, οἷος m. sec., . ς m. pr. X τῇ om. pr. XV, add. m. sec. XF 11 εἶχον ἢ om. F 12 καὶ τοῦ] ὑπὲρ τοῦ Emperius, ἐκ τοῦ Sauppe, malim τοσούτου, καὶ προσιόντος τοῦ ci. Hude 13 κινδ. ⟨μεγίστου⟩ Zaka 13 ὑπὲρ τῆς φιλότητος del. Emperius, ὑπὲρ τῶν φιλτάτων τῶν ἐν Σ. Cob 14 ἄθλων] ἄλλων F Σαλαμῖνι; οἷς Markl: σαλαμινίοις VX, σαλαμῖνι F 16 τὸ] τὸν FV, τὸ . erasa una littera X, τὸ τὸν θάν. Cob 17 αὑτῶν] αὐτὸν pr. XF, αὑτῶν m. sec. X 18 ἃ add. Tayl ὑπεκτεθέντες F 19 post ἤλπιζον litterae tres erasae F 21 εἰδότες] ἰδόντες F τὰς σφετέρας om. F

ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων,
ἐπισταμένοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ [Isocr. IV 96
χώραν πορθουμένην καὶ μεστὴν τῶν βαρβάρων, ἱερῶν
δὲ καομένων, ἁπάντων δ' ἐγγὺς ὄντων τῶν δεινῶν,
ἀκούοντες δ' ἐν ταὐτῷ συμμεμειγμένου Ἑλληνικοῦ καὶ 38
βαρβαρικοῦ παιῶνος, παρακελευσμοῦ δ' ἀμφοτέρων καὶ
κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης με- [Isocr. IV 97
στῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων καὶ φι-
λίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου δὲ πολὺν χρό-
νον οὔσης τῆς ναυμαχίας δοκοῦντες τοτὲ μὲν νενικηκέναι
καὶ σεσῶσθαι, τοτὲ δ' ἡττῆσθαι καὶ ἀπολωλέναι. ἦ που 39
διὰ τὸν παρόντα φόβον πολλὰ μὲν ᾠήθησαν ἰδεῖν ὧν
οὐκ εἶδον, πολλὰ δ' ἀκοῦσαι ὧν οὐκ ἤκουσαν. ποῖαι δ'
οὐχ ἱκετεῖαι θεῶν ἐγένοντο ἢ θυσιῶν ἀναμνήσεις, ἔλεός
τε παίδων καὶ γυναικῶν πόθος οἰκτός τε πατέρων καὶ
μητέρων, λογισμὸς δ', εἰ δυστυχήσειαν, τῶν μελλόντων
ἔσεσθαι κακῶν; τίς οὐκ ἂν θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ 40
τοῦ μεγέθους τοῦ κινδύνου; ἢ τίς ἀνθρώπων οὐκ ἂν
ἐδάκρυσεν; ἢ τίς τῆς τόλμης αὐτοὺς οὐκ ἂν ἠγάσθη; ἦ
πολὺ πλεῖστον ἐκεῖνοι κατὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώ-
πων διήνεγκαν καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ
πολέμου κινδύνοις, ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς

---

2 *μὲν* postea add. m. pr. X 3 *μεστὴν ⟨οὖσαν⟩* Herw, sed cf. Xen. Ag. 1, 25 *πυνθανόμενοι δὲ ἱερῶν μὲν* pp. Scheibe, *ἱερὰ δὲ καιόμενα, ἅπαντα δ' ἐγγὺς ὄντα τὰ δεινά* Markl, *ἱερῶν τε . . ἁπάντων τ'* Rs 5 *συμμεμιγμένως* F 6 *παίωνος* F, *παιῶνος* pr. V pr. X, *παιᾶνος* m. sec. et V et X 7 *μεστῆς ⟨οὔσης⟩* Herw 8 *φίλων* F *καὶ πολλῶν . . . 9 ναυαγίων* laud. lex. Vind. 126 omissis vocibus *καὶ φιλίων* 9 *πολεμίων καὶ ναυαγ.* F *ναυαγείων* pr. X, rasura corr. 12 *ἰδεῖν ἃ οὐκ* malit Erdmann 13 *δ' οὐχ*] *δ' οὐκ ἢ* Cont 14 *θεῶν*] *θεῷ* F 15 *πόθος*] *πένθος* marg. Ald 16 *λογισμός τε* Steph 17 *κακῶν ἔσεσθαι* F 18 *τοῦ μεγέθους* om. F 19 *τίς* om. F *αὐτοὺς*] *αὐτῶν* FV *ἡ πολὺ* pr. XV, *ἦ πολύ* m. sec. XF

ναῦς δ' ἐμβάντες, τὰς δ' αὑτῶν ψυχὰς ὀλίγας οὔσας ἀν-
41 τιτάξαντες τῷ πλήθει τῷ τῆς Ἀσίας. ἐπέδειξαν δὲ πᾶσιν
ἀνθρώποις, νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ'
ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν ἢ μετὰ πολλῶν
42 βασιλευομένων ὑπὲρ τῆς αὑτῶν δουλείας. πλεῖστα δὲ καὶ
κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας συν-
[Isocr. IV 98] εβάλοντο, στρατηγὸν μὲν Θεμιστοκλέα, ἱκανώτατον
εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι, ναῦς δὲ πλείους τῶν ἄλ-
λων συμμάχων, ἄνδρας δ' ἐμπειροτάτους. καὶ γὰρ τίνες
ἂν τούτοις τῶν ἄλλων Ἑλλήνων ἤρισαν γνώμῃ καὶ πλή-
43 θει καὶ ἀρετῇ; ὥστε δικαίως μὲν ἀναμφισβήτητα τἀρι-
στεῖα τῆς ναυμαχίας ἔλαβον παρὰ τῆς Ἑλλάδος, εἰκότως
δὲ τὴν εὐτυχίαν ὁμονοοῦσαν τοῖς κινδύνοις ἐκτήσαντο,
γνησίαν δὲ καὶ αὐτόχθονα τοῖς ἐκ τῆς Ἀσίας βαρβάροις
τὴν αὑτῶν ἀρετὴν ἐπεδείξαντο.

44 Ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὑτοὺς παρασχόν-
τες καὶ πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες τῇ
ἰδίᾳ ἀρετῇ κοινὴν τὴν ἐλευθερίαν καὶ τοῖς ἄλλοις ἐκτή-
[Isocr. IV 93] σαντο· ὕστερον δὲ Πελοποννησίων διατειχιζόντων
τὸν Ἰσθμόν, καὶ ἀγαπώντων μὲν τῇ σωτηρίᾳ, νομιζόν-

---

2 τῷ πλήθει ... Ἀσίας] πλήθει τοσούτῳ F δὲ] καὶ V, δὲ καὶ Rs 4 post ὀλίγων add. αὐτοκρατουμένων vel δημοκρατουμένων vel εὐνομουμένων Rs, πολιτευομένων Scheibe coll. Polyb. IV 76, 2 ante ἐλευθερίας desiderat κοινῆς vel ἑτέρων Rs 5 βασιλευομένους malit Rosenberg αὑτῶν geminavit F[s], ἑτέρων Tayl δουλείας] δουλεύειν V 6 τῶν om. FV 8 εἰπεῖν om. V 9 ἁπάντων post ἄλλων add. F συμμάχων] συμπάντων Schoell coll. loco Isocrateo, sed cum hac sententia, quae sequuntur, non conveniunt καὶ γὰρ Dobr: καίτοι FVX, καὶ γάρ τοι Rs 11 ἀναμφισβητήτως VX τἀριστεῖα Rs: ἀριστεῖα FVX 13 ὁμολογοῦσαν Rs, sed est: per pericula ad felicitatem et concordiam pervenerunt 16 οὖν supra versum add. F παρασχόντες m. sec. X: παρέχοντες pr. XFV 17 καὶ ... μετασχόντες om. F 18 καὶ om. VX 19 τειχιζόντων X, sed cf. Isocratem 20 τὴν σωτηρίαν F, τῇ αὑτῶν σωτηρίᾳ Markl. coll. Isocrate.

των δ' ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους Ἕλληνας περιιδεῖν ὑπὸ τοῖς βαρβάροις γενομένους, ὀργισθέντες Ἀθηναῖοι συνεβού- 45
λευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην ἕξουσι, περὶ ἅπασαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν· εἰ γὰρ αὐτοὶ ὑπὸ ⟨τῶν⟩ Ἑλλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων ἔσονται, οὔτ' ἐκείνοις δεήσειν χιλίων νεῶν οὔτε τούτους ὠφελήσειν τὸ ἐν | Ἰσθμῷ τεῖχος· ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάττης ἀρχὴν βασιλέως. διδασκόμενοι δὲ καὶ 46
νομίζοντες αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, Ἀθηναίους δὲ δίκαιά τε λέγειν καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς Πλαταιάς· ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων διὰ τὸ πλῆθος τῶν πολεμίων, Λακεδαιμόνιοι μὲν καὶ Τεγεᾶται τοὺς βαρβάρους ἐτρέψαντο, Ἀθηναῖοι δὲ καὶ Πλαταιεῖς πάντας τοὺς Ἕλληνας ἐνίκων μαχόμενοι τοὺς ἀπογνόντας τῆς ἐλευθερίας καὶ ὑπομείναντας τὴν δουλείαν. ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τελευτὴν 47
τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ Εὐρώπῃ κατηργάσαντο, ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι καὶ μεθ' ἑτέρων, καὶ πεζομαχοῦντες ⟨καὶ ναυμαχοῦντες⟩, καὶ πρὸς ⟨τοὺς⟩ βαρβάρους καὶ πρὸς τοὺς Ἕλληνας, ὑπὸ

---

3 *γενομένοις* F *οἱ ἀθηναῖοι* F *συνεβούλευσαν* superscripto *ον* F 4 *ἔχουσι* malit Rs 6 *τῶν* add. Rs *προδεδομένοι* ci. Hude 7 *τούτοις* V 9 *τοῦ* post *ἀρχὴν* add. m. sec. X *διδασκόμενοι δὴ καὶ* Rs 10 *καλῶς* pr. X, corr. a m. sec. 12 *ἀποδρασάντων* (sic) . . . 13 *συμμάχων* habet lex. Vind. 181 *ὑπὸ νύκτα*] in margine *ἀντὶ τοῦ διὰ νυκτός* VX 17 ante *ἀπογνόντας* unius litterae rasura V 19 *ἐπιτιθέντες κινδύνοις* F *βεβαίαν* m. sec. X 22 *καὶ ναυμαχοῦντες* add. m. sec. X 23 *τοὺς* add. Rs. *τοὺς* deleverit Pertz, om. C

πάντων ἠξιώθησαν, καὶ μεθ᾽ ὧν ἐκινδύνευον καὶ πρὸς
οὓς ἐπολέμουν, ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος.
48 Ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος
διὰ ζῆλον τῶν γεγενημένων καὶ φθόνον τῶν πεπραγ-
μένων, μέγα μὲν ἅπαντες φρονοῦντες, μικρῶν δ᾽ ἐγκλη-
[Thuk. I 105] μάτων ἕκαστοι δεόμενοι, ναυμαχίας Ἀθηναίοις πρὸς
Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης ἑβδο-
49 μήκοντα τριήρεις αὐτῶν ἐλάμβανον. πολιορκούντων δὲ
κατὰ τὸν αὐτὸν χρόνον Αἴγυπτόν τε καὶ Αἴγιναν, καὶ
τῆς ἡλικίας ἀπούσης ἔν τε ταῖς ναυσὶ καὶ ἐν τῷ πεζῷ
στρατεύματι, Κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι, ἡγού-
μενοι ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν ἢ ἐξ Αἰγίνης
ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πάνδημεὶ Γεράνειαν
50 κατέλαβον· Ἀθηναῖοι δὲ τῶν μὲν ἀπόντων, τῶν δ᾽ ἐγγὺς
ὄντων, οὐδένα ἐτόλμησαν μεταπέμψασθαι· ταῖς δ᾽ αὐτῶν
ψυχαῖς πιστεύσαντες καὶ τῶν ἐπιόντων καταφρονήσαντες
οἱ γεραίτεροι καὶ οἱ τῆς ἡλικίας ἐντὸς γεγονότες ἠξίουν
51 αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι, οἱ μὲν ἐμπειρίᾳ
τὴν ἀρετήν, οἱ δὲ φύσει κεκτημένοι· καὶ οἱ μὲν αὐτοὶ
πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δ᾽ ἐκείνους μιμούμενοι,
τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεω-
52 τέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων, Μυρωνίδου
στρατηγοῦντος ἀπαντήσαντες αὐτοὶ εἰς τὴν Μεγαρικὴν
ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων τοῖς

---

3 καταστάντος] ἐπιστάντος marg. Ald 6 ἕκαστοι] ἅπαντες F ἐχόμενοι ci Hude 8 ἔλαβον Herw 10 ἡλικίας ἀπούσης] κιλικίας ἁπάσης F ἔν τε πεζῷ στρατεύματι καὶ ναυσὶ F 13 ἄξειν ex ἄγειν corr. F[s], ἀπάξειν Rs, αὐτοὺς add. Herw ἐλθόντες F Γεράνειαν cf. Harpocr. s. v. 15 μέμψασθαι F 16 ψυχαῖς] γνώμαις F πιστεύσαντες superscripto ον F 17 ἡλικ. οὐκ ἐντὸς marg. Ald 19 αὐτοὶ] αὐτῶν F 22 ante Μυρ. καὶ add. Sauppe, post Μυρ. οὖν add. Markl

*ἤδη ἀπειρηκόσι καὶ τοῖς οὔπω δυναμένοις, τοὺς εἰς τὴν
σφετέραν ἐμβαλεῖν ἀξιώσαντας, εἰς τὴν ἀλλοτρίαν ἀπαν-
τήσαντες, τρόπαιον δὲ στήσαντες καλλίστου μὲν αὐτοῖς* 53
*ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκέτι τοῖς
σώμασιν, οἱ δ' οὔπω δυνάμενοι, ταῖς δὲ ψυχαῖς ἀμφό-
τεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν
αὑτῶν ἀπελθόντες οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ
τῶν λοιπῶν ἐβουλεύοντο.*

Καθ' ἕκαστον μὲν οὖν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κιν- 54
*δυνευθέντα ὑφ' ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ
χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. τίς γὰρ ἂν
ἢ λόγος ἢ χρόνος ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν
τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; μετὰ πλείστων* 55
*γὰρ πόνων καὶ φανερωτάτων ἀγώνων καὶ καλλίστων
κινδύνων ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλλάδα, μεγί-
στην δ' ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα, ἑβδομήκοντα* [Isocr. IV 106
*μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρα-
σχόντες τοὺς συμμάχους, οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς* 56
*δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγ-
κάσαντες, οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ
κἀκείνους ἰσχυροὺς καθιστάντες, καὶ τὴν αὑτῶν δύνα-
μιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας βασιλεὺς οὐκέτι
τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ καὶ περὶ
τῶν λοιπῶν ἐφοβεῖτο, καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ* 57
*χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς
Ἕλλησι κατέστη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων*

---

1 ⟨*πρὸς*⟩ *τοὺς εἰς* Markl, *τοὺς* supra versum add. F 5 *οἱ δ' οὔπω*] *οὐδ' οὔπω* FV 6 ⟨*ἑαυτῶν*⟩ *κρείττους* malit Rs 8 *τῶν λοιπῶν* cf. Isocr. IV 92 9 *οὖν* om. X 10 *ῥηθήσεσθαι* superscripto *-ναι* F 11 *ἐν μικρῷ ἡμέρας μέρει* Herw 13 *πλείστων*] *πλειόνων* F 22 *ἐπεδείξαντο* F

ἠνδραποδίσθη· | τοσαύτην σωφροσύνην καὶ δέος ἡ τού-
των ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν. ὧν ἕνεκα δεῖ
μόνους καὶ προστάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν
πόλεων γίγνεσθαι.

58 Ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυστυχίαις τὴν ἑαυτῶν ἀρε-
τήν. ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ εἴτε
ἡγεμόνος κακίᾳ εἴτε θεῶν διανοίᾳ, καὶ συμφορᾶς ἐκεί-
νης μεγίστης γενομένης καὶ ἡμῖν τοῖς δυστυχήσασι καὶ
τοῖς ἄλλοις Ἕλλησιν, ἐδήλωσεν οὐ πολλῷ χρόνῳ ὕστε-
ρον ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία.
59 ἑτέρων γὰρ ἡγεμόνων γενομένων ἐνίκησαν μὲν ναυμα-
χοῦντες τοὺς Ἕλληνας οἱ πρότερον εἰς τὴν θάλατταν οὐκ
ἐμβαίνοντες, ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην, δουλεύουσι
δὲ πόλεις τῶν Ἑλλήνων, τύραννοι δ' ἐγκαθεστᾶσιν, οἱ
μὲν μετὰ τὴν ἡμετέραν συμφοράν, οἱ δὲ μετὰ τὴν νίκην
60 τῶν βαρβάρων. ὥστ' ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε
κείρασθαι τῇ Ἑλλάδι καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμέ-
νους, ὡς συγκαταθαπτομένης τῆς αὐτῶν ἐλευθερίας τῇ
τούτων ἀρετῇ· ὡς δυστυχὴς μὲν ἡ Ἑλλὰς τοιούτων ἀν-
δρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ' ὁ τῆς Ἀσίας βασιλεὺς
ἑτέρων ἡγεμόνων λαβόμενος· τῇ μὲν γὰρ τούτων στερη-

---

2 ἔδει . . . 4 γενέσθαι Markl 3 τῶν ante πόλεων om. X 4 πολέμων Sauppe 5 ἐπεδείξαντο Hirschig, sed cf. § 69 7 εἴτε τοῦ ἡγ. F, ἡγεμόνων ex cod. vetere marg. Ald θεῶν δυσνοίᾳ Cob 8 δυστυχήσασι . . . 9 ἐδήλωσεν οὐ om. F 9 ἐδήλωσεν X, ἐδήλωσαν V, cf. XIII 13 11 γενομένων ἡγεμόνων F 13 τὴν ante Εὐρ. om. F[s] 14 ἐγκαθεστᾶσιν Steph: ἐγκαθιστᾶσιν FVX 16 ὥστε ἄξιον ἦν ἐν τῷδε τῷ τάφῳ ἀποκείρασθαι τῇ Ἑλλάδι Bekk An. I 129 s. ἀποκείρομαι. ὥστε . . . κειμένους Schol. Aesch. III 211. διότι ἄξιον ἦν ἐπὶ τῷ τάφῳ τῷ τῶν ἐν Σαλαμῖνι τελευτησάντων κείρασθαι τὴν Ἑλλάδα ὡς συγκαταθαπτομένης τῇ ἀρετῇ αὐτῶν τῆς ἐλευθερίας Ar. Rhet. III 10 cf. Blass, Att. Ber. I[2] 438 18 αὐτῶν ante ἐλευθ. del. Schoell 19 ὡς] καὶ Sauppe 21 ἐπιλαβόμενος Richards

θείσῃ δουλεία περιέστηκε, τῷ δ' ἄλλων ἀρξάντων ζῆλος ἐγγίγνεται τῆς τῶν προγόνων διανοίας.

Ἀλλὰ ταῦτα μὲν ἐξήχθην ὑπὲρ πάσης ὀλοφύρασθαι 61
τῆς Ἑλλάδος· ἐκείνων δὲ τῶν ἀνδρῶν ἄξιον καὶ ἰδίᾳ καὶ δημοσίᾳ μεμνῆσθαι, οἳ φεύγοντες τὴν δουλείαν καὶ περὶ τοῦ δικαίου μαχόμενοι καὶ ὑπὲρ τῆς δημοκρατίας στασιάσαντες πάντας πολεμίους κεκτημένοι εἰς τὸν Πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες, καινοῖς κινδύνοις τὴν παλαιὰν ἀρετὴν τῶν προγόνων μιμησάμενοι, ταῖς αὑτῶν 62
ψυχαῖς κοινὴν τὴν πόλιν καὶ τοῖς ἄλλοις κτησόμενοι, θάνατον μετ' ἐλευθερίας αἱρούμενοι ἢ βίον μετὰ δουλείας, οὐχ ἧττον ταῖς συμφοραῖς αἰσχυνόμενοι ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι, μᾶλλον βουληθέντες ἐν τῇ αὑτῶν ἀποθνήσκειν ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες, συμμάχους μὲν ὅρκους καὶ συνθήκας ἔχοντες, πολεμίους δὲ τοὺς πρότερον ὑπάρχοντας καὶ τοὺς πολίτας τοὺς ἑαυτῶν.
ἀλλ' ὅμως οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες, ἀλλ' 63
ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν, μάρτυρας δὲ τῆς αὑτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνήματος τοὺς Λακεδαιμονίων τάφους παρέχονται. καὶ γάρ τοι μεγάλην μὲν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν, τείχη δὲ ἀντὶ τῶν καθῃρημένων

---

1 *περιέστηκεν* V *τῷ*] *τῶν* F *ζῆλος*] *οὐδεὶς ζῆλος* F, quod Schoell tuetur 3 *ὑπὲρ πάσης* est in F[s] quoque 4 *ἄξιον καὶ*] de F dubitatur, fort. inest *ἄξιον ἦν* 7 post *πάντας* add. *τοὺς Πελοποννησίους* Rs, *ἀνθρώπους* Hertlein ⟨*ἐν*⟩ *καινοῖς* Richards 11 *κτησόμενοι* Emperius: *κτησάμενοι* FVX 12 *προαιρούμενοι* vel *μᾶλλον αἱρ.* Cont 13 ante *οὐχ ἧττον* add. *ὡς* F 16 *τούς* ⟨*τε*⟩ Hude 21 *Λακεδαιμονίους* FV 22 *τάφους* om. F *καὶ* post *τοι* add. marg. Ald 24 *καθηραμένων* (sic) F[s] *νέα* add. Tur. ante *ἀντὶ* aut ante *ἀνέστησαν*

64 ἀνέστησαν. οἱ δὲ κατελθόντες αὐτῶν, ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐπιδεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως ἐτράποντο, καὶ οὔτε ἐλαττοῦσθαι δυνάμενοι οὔτ' αὐτοὶ πλέον ἔχειν δεόμενοι τῆς μὲν αὑτῶν ἐλευθερίας καὶ τοῖς βουλομένοις δουλεύειν μετέδοσαν, τῆς δ' ἐκεί-
65 νων δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν. ἔργοις δὲ μεγίστοις καὶ καλλίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὑτῶν οὐδ' ἀρετῇ ⟨τῇ⟩ τῶν πολεμίων πρότερον ἐδυστύχησεν ἡ πόλις· εἰ γὰρ στασιάσαντες πρὸς ἀλλήλους βίᾳ παρόντων Πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν εἰς τὴν αὑτῶν οἷοί τε ἐγένοντο κατελθεῖν, δῆλον ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πολεμεῖν αὐτοῖς ἐδύναντο.

66 Ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν Πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται· ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ τῷ πλήθει βοηθήσαντες καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο· ἀνθ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς.

67 Οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες Κορινθίοις ὑπὸ παλαιῶν | φίλων ἀδικουμένοις καινοὶ σύμμαχοι γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔχοντες (οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικου-

4 οὔτ' αὐτοὶ ... 5 δεόμενοι om. F 5 αὐτοὶ] αὖ τὸ Wakefield, αὖ Halb. 6 μετέδωκαν X τῆς ex τοῖς a m. pr. corr. X 7 οὐκ om. F 9 τῇ add. Hertlein πρότερον ... 10 στασιάσαντες in margine habet F[s] 11 post παρόντων add. τῶν Hertlein, sed cf. § 44 12 ἐγένοντο habent FVX 13 ἂν supra versum add. F[s] 18 τὴν αἱρετὴν ci. Hude 19 ἐπένθησεν V 20 ἔθαψεν V 21 ἀστοῖς] ἀπίστοις V 23 καινοὶ Tayl: κοινοὶ FVX 25 τοὺς ante ἀδικ. add. F

μένους αὐτοὺς ἠλέουν, οὐ τῆς προτέρας ἔχθρας μεμνη-
μένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν περὶ πολλοῦ ποιού-
μενοι) πᾶσιν ἀνθρώποις φανερὰν τὴν αὑτῶν ἀρετὴν
ἐπεδείξαντο. ἐτόλμησαν γὰρ μεγάλην ποιοῦντες τὴν Ἑλ- 68
λάδα οὐ μόνον ὑπὲρ τῆς αὑτῶν σωτηρίας κινδυνεύειν,
ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας ἀποθνή-
σκειν· τοῖς γὰρ Λακεδαιμονίων συμμάχοις περὶ τῆς ἐκεί-
νων ἐλευθερίας ἐμάχοντο. νικήσαντες μὲν γὰρ ⟨ἂν⟩
ἐκείνους τῶν αὐτῶν ἠξίουν, δυστυχήσαντες δὲ βέβαιον
τὴν δουλείαν τοῖς ἐν τῇ Πελοποννήσῳ κατέλιπον.

Ἐκείνοις μὲν οὖν οὕτω διακειμένοις ὁ βίος οἰκτρὸς 69
καὶ ὁ θάνατος εὐκτός· οὗτοι δὲ καὶ ζῶντες καὶ ἀποθα-
νόντες ζηλωτοί, παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων
ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι τήν τε ἐκείνων δόξαν δια-
σώσαντες καὶ τὴν αὑτῶν ἀρετὴν ἐπιδείξαντες. πολλῶν 70
μὲν γὰρ καὶ καλῶν αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι,
ἐπηνώρθωσαν δὲ τὰ ὑφ' ἑτέρων δυστυχηθέντα, πόρρω
δ' ἀπὸ τῆς αὑτῶν τὸν πόλεμον κατέστησαν. ἐτελεύτησαν
δὲ τὸν βίον, ὥσπερ χρὴ τοὺς ἀγαθοὺς ἀποθνῄσκειν, τῇ
μὲν γὰρ πατρίδι τὰ τροφεῖα ἀποδόντες, τοῖς δὲ θρέψασι
λύπας καταλιπόντες. ὥστε ἄξιον τοῖς ζῶσι τούτους πο- 71
θεῖν καὶ σφᾶς αὐτοὺς ὀλοφύρεσθαι καὶ τοὺς προσήκον-
τας αὐτῶν ἐλεεῖν τοῦ ἐπιλοίπου βίου. τίς γὰρ αὐτοῖς ἔτι

---

2 π πλείονος ci. Hude 4 ἐπεδείξαντο F, ἐπιδείξαντες VX, γρ. F, ⟨δικαίως ἐπαινοῦνται⟩ πᾶσιν . . . ἐπιδείξαντες Erdmann 8 ἂν hic add. Blass, post ἐκείνους Auger, quod post βέβαιον falso a Marklando additum esse docet § 69 in. 9 βέβαιον ⟨ἂν⟩ . . . κατέλειπον Cob 11 ὅ ⟨τε⟩ βίος Blass 12 καὶ (ante ζῶντες) et 13 προγόνων habet F[s] 18 πόλεμον μετέστησαν Cob 19 ἀγαθοὺς ἄνδρας F 20 γὰρ om. F, habent VX, defendit Foertsch 21 τούτους πενθεῖν Vat. 69 22 καὶ τοὺς . . . 23 βίου habet lex. Vind 67, ubi legitur αὐτὸν ἐλεεῖ προσήκοντας αὐτοῖς ἐλθεῖν F[s] 23 ἐπιλοίπου ex ἐπιλύπου corr. a pr. m. X

ἡδονὴ καταλείπεται τοιούτων ἀνδρῶν θαπτομένων, οἳ πάντα περὶ ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι αὑτοὺς μὲν ἀπεστέρησαν βίου, χήρας δὲ γυναῖκας ἐποίησαν, ὀρφανοὺς δὲ τοὺς αὑτῶν παῖδας ἀπέλιπον, ἐρήμους δ' ἀδελ-
72 φοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν; Πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ, ὅτι νεώτεροί εἰσιν ἢ ὥστε εἰδέναι οἵων πατέρων ἐστέρηνται, ἐξ ὧν δ' οὗτοι γεγόνασιν, οἰκτίρω, ὅτι πρεσβύτεροι ἢ ὥστε ἐπιλαθέσθαι τῆς δυστυχίας τῆς ἑαυτῶν.
73 τί γὰρ ἂν τούτων ἀνιαρότερον γένοιτο, ἢ τεκεῖν μὲν καὶ
X28 θρέψαι καὶ θάψαι τοὺς αὑτῶν, ἐν δὲ τῷ γήρᾳ ἀδυνάτους μὲν εἶναι τῷ σώματι, πασῶν δ' ἀπεστερημένους τῶν ἐλπίδων ἀφίλους καὶ ἀπόρους γεγονέναι, ὑπὸ δὲ τῶν αὐτῶν πρότερον ζηλοῦσθαι καὶ νῦν ἐλεεῖσθαι, ποθεινότερον δ' αὐτοῖς εἶναι τὸν θάνατον τοῦ βίου; ὅσῳ γὰρ ἄνδρες ἀμείνους ἦσαν, τοσούτῳ τοῖς καταλειπομένοις τὸ
74 πένθος μεῖζον. πῶς δ' αὐτοὺς χρὴ λῆξαι τῆς λύπης; πότερον ἐν ταῖς τῆς πόλεως συμφοραῖς; ἀλλὰ τότε αὐτῶν εἰκὸς καὶ τοὺς ἄλλους μεμνῆσθαι. ἀλλ' ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς; ἀλλ' ἱκανὸν λυπῆσαι, τῶν μὲν σφετέρων τέκνων τετελευτηκότων, τῶν δὲ ζώντων ἀπολαυόντων τῆς τούτων ἀρετῆς. ἀλλ' ἐν τοῖς ἰδίοις κινδύνοις, ὅταν ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους φεύγοντας τὴν αὐτῶν ἀπορίαν, τοὺς δ' ἐχθροὺς μέγα φρονοῦντας ἐπὶ
75 ταῖς δυστυχίαις ταῖς τούτων; Μόνην δ' ἄν μοι δοκοῦμεν

1 οἳ πάντας F 5 καὶ πατέρας om. F 6 καὶ om. F 8 πρεσβύτατοι superscripto a pr. m. εροι X 11 καὶ θάψαι del. Rs τοὺς αὑτῶν] τὼ ἑαυτῶν marg. Ald 13 ὑπὸ] ὑπὲρ Sauppe 16 καταλειπομένοις superscripto ι (καταλιπ.) a pr. m. X 17 πότε δ' αὐτοὺς M corr. quod placet nonnullis 18 ταῖς τῶν πόλεων F 19 τοὺς ἄλλους, superscripto ων in utroque vocabulo F 20 ἱκανὸν λυπῆσαι lacunam subesse putat Rs, ἱκαναὶ μόνον λυπ. Zaka μὲν ἐφ' ἑτέρων V 25 μόνη X

ταύτην τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι χάριν, εἰ τοὺς
μὲν τοκέας αὐτῶν ὁμοίως ὥσπερ ἐκεῖνοι περὶ πολλοῦ
ποιοίμεθα, τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα ὥσπερ
αὐτοὶ πατέρες ὄντες, ταῖς δὲ γυναιξὶν εἰ τοιούτους βοη-
θοὺς ἡμᾶς αὐτοὺς παρέχοιμεν, οἷοίπερ ἐκεῖνοι ζῶντες
ἦσαν. τίνας γὰρ ἂν εἰκότως μᾶλλον τιμῷμεν τῶν ἐν- 76
θάδε κειμένων; τίνας δ' ἂν τῶν ζώντων δικαιότερον
περὶ πολλοῦ ποιοίμεθα ἢ τοὺς τούτοις προσήκοντας, οἳ
τῆς μὲν τούτων ἀρετῆς τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν,
ἀποθανόντων δὲ μόνοι γνησίως τῆς δυστυχίας μετέχουσιν;
Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ τι δεῖ τοιαῦτα ὀλοφύρεσθαι· οὐ 77
γὰρ ἐλανθάνομεν ἡμᾶς αὐτοὺς ὄντες θνητοί· ὥστε τί
δεῖ, ἃ πάλαι προσεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν
ἄχθεσθαι, ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύ-
σεως συμφοραῖς, ἐπισταμένους ὅτι ὁ θάνατος κοινὸς καὶ
τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις; οὔτε | γὰρ τοὺς πο-
νηροὺς ὑπερορᾷ οὔτε τοὺς ἀγαθοὺς θαυμάζει, ἀλλ' ἴσον
ἑαυτὸν παρέχει πᾶσιν. εἰ μὲν γὰρ οἷόν τε [ἦν] τοῖς τοὺς 78
ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι
τὸν λοιπὸν χρόνον, ἄξιον τοῖς ζῶσι τὸν ἅπαντα χρόνον
πενθεῖν τοὺς τεθνεῶτας· νῦν δὲ ἥ τε φύσις καὶ νόσων
ἥττων καὶ γήρως, ὅ τε δαίμων ὁ τὴν ἡμετέραν μοῖραν
εἰληχὼς ἀπαραίτητος. ὥστε προσήκει τούτους εὐδαι- 79
μονεστάτους ἡγεῖσθαι, οἵτινες ὑπὲρ μεγίστων καὶ καλ-

---

3 ποιουμεθα superscripto οί F[s] 5 ζῶντες om. F 6 μᾶλλον εἰκότως V 9 μὲν ζώντων ἀρετῆς Markl 12 ἅπαξ post ἡμᾶς αὐτοὺς add. F 14 τῆς φύσεως om. F 15 post κοιν̊ rasura, fuit fortasse κοινὸν V 18 ἦν del. Gebauer Lys. I 414 20 χρόνον ex χρόνοις corr. F[s] ἦν post ἄξιον add. F, ἂν ἦν malit Erdmann, quod utrumque item Gebauero probatur 21 πενθεῖν ex ποθεῖν? X 24 post οἵτινες rasura in lacuna sex litt. V post ὑπὲρ add. τῶν Franz, sed Erdmann confert Isocr. IV 4

*λίστων κινδυνεύσαντες οὕτω τὸν βίον ἐτελεύτησαν, οὐκ
ἐπιτρέψαντες περὶ αὑτῶν τῇ τύχῃ οὐδ' ἀναμείναντες τὸν
αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιστον.
καὶ γὰρ ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ ὑπὸ*
80 *πάντων ἀνθρώπων αἱ τιμαί· οἳ πενθοῦνται μὲν διὰ τὴν
φύσιν ὡς θνητοί, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν
ἀρετήν. καὶ γάρ τοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶνες
τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς
ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς*
81 *αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. ἐγὼ μὲν
οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ
μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι,
οἵτινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνή-
μην διὰ τὴν ἀρετὴν αὑτῶν κατέλιπον· ὅμως δ' ἀνάγκη
τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πά-
τριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.*

3.

| ΠΡΟΣ ΣΙΜΩΝΑ ΑΠΟΛΟΓΙΑ.

1 *Πολλὰ καὶ δεινὰ συνειδὼς Σίμωνι, ὦ βουλή, οὐκ ἄν
ποτ' αὐτὸν εἰς τοσοῦτον τόλμης ἡγησάμην ἀφικέσθαι,
ὥστε ὑπὲρ ὧν αὐτὸν ἔδει δοῦναι δίκην, ὑπὲρ τούτων ὡς
ἀδικούμενον ἔγκλημα ποιήσασθαι καὶ οὕτω μέγαν καὶ*
2 *σεμνὸν ὅρκον διομοσάμενον εἰς ὑμᾶς ἐλθεῖν. εἰ μὲν οὖν*

---

1 *κινδυνεύοντες* Rs *ἐτελεύτησαν οὕτως τὸν βίον* F 2 *περὶ*] *τὰ περὶ* M corr. 4 *καὶ γὰρ* scripsi: *καίτοι γὰρ* VX, *καὶ γάρ τοι* F *ἀγήρατοι . . . μνῆμαι* laudat lex. Vind. 21 10 *τιμαῖς αἷς καὶ* Cob 11 *τιμῶ* superscripto *ζηλῶ* F 12 *μόνους τούτους* F *κρείττους γενέσθαι* superscripto *κρεῖττον εἶναι* F[s] 14 ⟨*τὴν*⟩ *αὑτῶν* Hude *δ'* post *ὅμως* om. F 16 *ὀλοφύρασθαι* V *τοὺς τεθνεῶτας γρ. τοὺς θαπτομένους* F *Λυσίου· ἐπιτάφιος*: — *τέλος* add. X 18 Or. III. *Λυσίου πρὸς* X 20 *τοσοῦτο* X 23 *ἐλθεῖν* cf. Din. III 3

ἄλλοι τινὲς ἔμελλον περὶ ἐμοῦ διαγνώσεσθαι, σφόδρα ἂν ἐφοβούμην τὸν κίνδυνον, ὁρῶν ὅτι καὶ παρασκευαὶ καὶ τύχαι ἐνίοτε τοιαῦται γίγνονται, ὥστε πολλὰ καὶ παρὰ γνώμην ἀποβαίνειν τοῖς κινδυνεύουσιν. εἰς ὑμᾶς δ' εἰσελθὼν ἐλπίζω τῶν δικαίων τεύξεσθαι. μάλιστα δ' 3
ἀγανακτῶ, ὦ βουλή, ὅτι περὶ τοιούτων πραγμάτων εἰπεῖν ἀναγκασθήσομαι πρὸς ὑμᾶς, ὑπὲρ ὧν ἐγὼ αἰσχυνόμενος, εἰ μέλλοιεν πολλοί μοι συνείσεσθαι, ἠνεσχόμην ἀδικούμενος. ἐπειδὴ δὲ Σίμων με εἰς τοιαύτην ἀνάγκην κατέστησεν, οὐδὲν ἀποκρυψάμενος ἅπαντα διηγήσομαι πρὸς ὑμᾶς τὰ πεπραγμένα. ἀξιῶ δέ, ὦ βουλή, εἰ μὲν ἀδικῶ, 4
μηδεμιᾶς συγγνώμης τυγχάνειν· ἐὰν δὲ περὶ τούτων ἀποδείξω ὡς οὐκ ἔνοχός εἰμι οἷς Σίμων διωμόσατο, ἄλλως δὲ ὑμῖν φαίνωμαι παρὰ τὴν ἡλικίαν τὴν ἐμαυτοῦ ἀνοητότερον πρὸς τὸ μειράκιον διατεθείς, αἰτοῦμαι ὑμᾶς μηδέν με χεῖρω νομίζειν, εἰδότας ὅτι ἐπιθυμῆσαι μὲν ἅπασιν ἀνθρώποις ἔνεστιν, οὗτος δὲ βέλτιστος ἂν εἴη καὶ σωφρονέστατος, ὅστις κοσμιώτατα τὰς συμφορὰς φέρειν δύναται. οἷς ἅπασιν ἐμποδὼν ἐμοὶ γεγένηται Σίμων οὑτοσί, ὡς ἐγὼ ὑμῖν ἐπιδείξω.

Ἡμεῖς γὰρ ἐπεθυμήσαμεν, ὦ βουλή, Θεοδότου, Πλα- 5
ταϊκοῦ μειρακίου, καὶ ἐγὼ μὲν εὖ ποιῶν αὐτὸν ἠξίουν εἶναί μοι φίλον, οὗτος δὲ ὑβρίζων καὶ παρανομῶν ᾤετο ἀναγκάσειν αὐτὸν ποιεῖν ὅ τι βούλοιτο. ὅσα μὲν οὖν

---

3 *καὶ τέχναι ἐν.* Halb., sed cf. Isocr. XVIII 9 *καὶ* post *πολλὰ* del. vel *πολλὰ πολλάκις παρὰ* P. Müller, sed cf. Plat. resp. V 467 d 6 *τοιούτων πραγμάτων* Franz: *τῶν τραυμάτων* X, *τῶν πραγμάτων* Markl cf. 40. 48, *περὶ τῶν τραυμ.* del. Halb, qui 7 *περὶ ὧν* prop. 8 *συνοίσεσθαι* X 12 *τούτων μὲν ἀποδ.* F. Müller 14 *φαίνωμαι* ex *φαίνομαι* a m. pr. corr. X 15 *πρὸς τὸ μειρ.* del. Halb 18 *τὰς τοιαύτας συμφ.* Cob 19 post *δύναται* lacunam esse vult Herw *ἅπασιν* del. et deinde *ἐγὼ πᾶσιν ὑμῖν* P. Müller 20 *οὑτοσί* Cob: *οὗτος* X

ἐκεῖνος κακὰ ὑπ' αὐτοῦ πέπονθε, πολὺ ἂν ἔργον εἴη
λέγειν· ὅσα δὲ εἰς ἐμὲ αὐτὸν ἐξημάρτηκεν, ἡγοῦμαι ταῦθ'
6 ὑμῖν προσήκειν ἀκοῦσαι. πυθόμενος γὰρ ὅτι τὸ μειρά-
κιον ἦν παρ' ἐμοί, ἐλθὼν ἐπὶ τὴν οἰκίαν τὴν ἐμὴν νύκ-
τωρ | μεθύων, ἐκκόψας τὰς θύρας εἰσῆλθεν εἰς τὴν
γυναικωνῖτιν, ἔνδον οὐσῶν τῆς τε ἀδελφῆς τῆς ἐμῆς καὶ
τῶν ἀδελφιδῶν, αἳ οὕτω κοσμίως βεβιώκασιν ὥστε καὶ
7 ὑπὸ τῶν οἰκείων ὁρώμεναι αἰσχύνεσθαι. οὗτος τοίνυν
εἰς τοῦτο ἦλθεν ὕβρεως ὥστ' οὐ πρότερον ἠθέλησεν
ἀπελθεῖν, πρὶν αὐτὸν ἡγούμενοι δεινὰ ποιεῖν οἱ παρα-
γενόμενοι καὶ οἱ μετ' αὐτοῦ ἐλθόντες, ἐπὶ παῖδας κόρας
καὶ ὀρφανὰς εἰσιόντα, ἐξήλασαν βίᾳ. καὶ τοσούτου
ἐδέησεν αὐτῷ μεταμελῆσαι τῶν ὑβρισμένων, ὥστε ἐξευ-
ρὼν οὗ ἐδειπνοῦμεν ἀτοπώτατον πρᾶγμα καὶ ἀπιστότα-
8 τον ἐποίησεν, εἰ μή τις εἰδείη τὴν τούτου μανίαν. ἐκκα-
λέσας γάρ με ἔνδοθεν, ἐπειδὴ τάχιστα ἐξῆλθον, εὐθύς
με τύπτειν ἐπεχείρησεν· ἐπειδὴ δὲ αὐτὸν ἠμυνάμην,
ἐκστὰς ἔβαλλέ με λίθοις. καὶ ἐμοῦ μὲν ἁμαρτάνει, Ἀρι-
στοκρίτου δέ, ὃς παρ' ἐμὲ ἦλθε μετ' αὐτοῦ, βαλὼν λίθῳ
9 συντρίβει τὸ μέτωπον. ἐγὼ τοίνυν, ὦ βουλή, ἡγούμενος
μὲν δεινὰ πάσχειν, αἰσχυνόμενος δέ, ὅπερ ἤδη καὶ πρό-
τερον εἶπον, τῇ συμφορᾷ, ἠνειχόμην, καὶ μᾶλλον ᾑρού-
μην μὴ λαβεῖν τούτων τῶν ἁμαρτημάτων δίκην ἢ δόξαι
τοῖς πολίταις ἀνόητος εἶναι, εἰδὼς ὅτι τῇ μὲν τούτου
πονηρίᾳ πρέποντα ἔσται τὰ πεπραγμένα, ἐμοῦ δὲ πολλοὶ
καταγελάσονται τοιαῦτα πάσχοντος τῶν φθονεῖν εἰθι-
σμένων, ἐάν τις ἐν τῇ πόλει προθυμῆται χρηστὸς εἶναι.

---

11 καὶ οἱ . . . ἐλθόντες del. Francken 14 ἐδειπνοῦμεν, π et μ ex binis litteris a m. pr. corr. X^s, ἔδει συνουση? pr. X^h 18 ἐκστὰς Tayl: ἐνστὰς X, cf. Eur. Iph. T. 1229, Ar. Ach. 617, ἄποθεν στὰς pp. Rs 19 βαλὼν λίθῳ del. Halb 25 ἔσται sc. apud iudices, ἔστι Dobr

οὕτω δὲ σφόδρα ἠπορούμην ὅ τι χρησαίμην, ὦ βουλή, 10
τῇ τούτου παρανομίᾳ, ὥστε ἔδοξέ μοι κράτιστον εἶναι
ἀποδημῆσαι [ἐκ τῆς πόλεως]. λαβὼν δὴ τὸ μειράκιον
(ἅπαντα γὰρ δεῖ τἀληθῆ λέγειν) ᾠχόμην ἐκ τῆς πόλεως.
ἐπειδὴ δὲ ᾤμην ἱκανὸν εἶναι τὸν χρόνον Σίμωνι ἐπι-
λαθέσθαι μὲν τοῦ νεανίσκου, μεταμελῆσαι δὲ τῶν πρό-
τερον ἡμαρτημένων, ἀφικνοῦμαι πάλιν. κἀγὼ μὲν ᾠχό- 11
μην εἰς Πειραιᾶ, οὗτος δ' αἰσθόμενος εὐθέως ἥκοντα
τὸν Θεόδοτον καὶ διατρίβοντα παρὰ Λυσιμάχῳ, ὃς ᾤκει
πλησίον τῆς οἰκίας ἧς οὗτος ἐμεμίσθωτο, παρεκάλεσέ
τινας τῶν τούτου ἐπιτηδείων. καὶ οὗτοι μὲν ἠρίστων
καὶ ἔπινον, φύλακας δὲ κατέστησαν ἐπὶ τοῦ τέγους, ἵν',
ὁπότε ἐξέλθοι τὸ μειράκιον, εἰσαρπάσειαν αὐτόν. ἐν δὲ 12
τούτῳ τῷ καιρῷ ἀφικνοῦμαι ἐγὼ ἐκ Πειραιῶς, καὶ τρέπο-
μαι παριὼν ὡς τὸν Λυσίμαχον· ὀλίγον δὲ χρόνον δια-
τρίψαντες ἐξερχόμεθα. οὗτοι δ' ἐκπηδῶσιν ἐφ' ἡμᾶς ἤδη
μεθύοντες. καὶ οἱ μέν τινες αὐτῷ τῶν παραγενομένων
οὐκ ἠθέλησαν συνεξαμαρτεῖν, Σίμων δὲ οὑτοσὶ καὶ
Θεόφιλος καὶ Πρώταρχος καὶ Αὐτοκλῆς εἷλκον τὸ μει-
ράκιον. ὁ δὲ ῥίψας τὸ ἱμάτιον ᾤχετο φεύγων. ἐγὼ δὲ 13
ἡγούμενος ἐκεῖνον μὲν ἐκφεύξεσθαι, τούτους δ', ἐπειδὴ
τάχιστα ἐντύχοιεν ἀνθρώποις, αἰσχυνομένους ἀποτρέ-
ψεσθαι — ταῦτα διανοηθεὶς ἑτέραν ὁδὸν ᾠχόμην ἀπιών·

---

2 παρανομίᾳ] παροινίᾳ Cont . 3 sq. ἐκ τῆς πόλεως bis del. Kayser; ἀποδ. certe apud Lys. caret tali explicatione λαβὼν δὲ X, quod defendit Fuhr ad XIX 49, sed cf. XXVI 21, XXXI 33 8 εἰς est in X[w], ἐς X[h] 11 τῶν τούτου cf. 28 XII 84 12 φύλακα Cob φύλ. καταστήσαντες Halb τέγους ex ςέγους corr. a pr. m. X[s] 13 εἰσαρπάσαιεν X 14 πειραιέως X κἀκτρέπομαι Halb 16 ἤδη μεθύοντες, quae leguntur post ἐξερχ. in libris, huc transposuit Rs, οὗτοι δ' ἤδη μεθ. Schott, οἱ δὲ μεθ. ἐκπ. Cob, ἤδη δὲ μεθ. οὗτοι ἐκπ. Halb 23 ταῦτα διαν. cf. XII 16, ταῦτα δὴ διαν. Rs

οὕτω σφόδρ' αὐτοὺς ἐφυλαττόμην, καὶ πάντα τὰ ὑπὸ
τούτων γιγνόμενα μεγάλην ἐμαυτῷ συμφορὰν ἐνόμιζον.
14 κἀνταῦθα μέν, ἵνα φησὶ Σίμων τὴν μάχην γενέσθαι,
οὔτε τούτων οὔτε ἡμῶν οὐδεὶς οὔτε κατεάγη τὴν κε-
φαλὴν οὔτε ἄλλο κακὸν οὐδὲν ἔλαβεν, ὧν ἐγὼ τοὺς παρα-
γενομένους ὑμῖν παρέξομαι μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

15 Ὅτι μὲν τοίνυν οὗτος ἦν ὁ ἀδικήσας, ὦ βουλή, καὶ
ἐπιβουλεύσας ἡμῖν, καὶ οὐκ ἐγὼ τούτῳ, ὑπὸ τῶν παρα-
γενομένων μεμαρτύρηται ὑμῖν. μετὰ δὲ ταῦτα τὸ μὲν
μειράκιον εἰς γναφεῖον κατέφυγεν, οὗτοι δὲ συνεισπε-
σόντες ἦγον αὐτὸν βίᾳ, βοῶντα καὶ κεκραγότα καὶ μαρτυ-
16 ρόμενον. συνδραμόντων δὲ ἀνθρώπων πολλῶν καὶ ἀγα-
νακτούντων τῷ πράγματι καὶ δεινὰ φασκόντων εἶναι τὰ
γιγνόμενα, τῶν μὲν λεγομένων οὐδὲν ἐφρόντιζον, Μό-
λωνα δὲ τὸν γναφέα καὶ ἄλλους τινὰς ἐπαμύνειν ἐπι-
17 χειροῦντας συνέκοψαν. ἤδη δὲ αὐτοῖς οὖσι παρὰ τὴν
Λάμπωνος οἰκίαν ἐγὼ μόνος βαδίζων ἐντυγχάνω, δεινὸν
δὲ ἡγησάμενος εἶναι καὶ αἰσχρὸν περιιδεῖν οὕτως ἀνό-
μως καὶ βιαίως | ὑβρισθέντα τὸν νεανίσκον, ἐπιλαμβά-
νομαι αὐτοῦ. οὗτοι δέ, δι' ὅ τι μὲν τοιαῦτα παρενόμουν
εἰς ἐκεῖνον, οὐκ ἠθέλησαν εἰπεῖν ἐρωτηθέντες, ἀφέμενοι
18 δὲ τοῦ νεανίσκου ἔτυπτον ἐμέ. μάχης ⟨δὲ⟩ γενομένης,
ὦ βουλή, καὶ τοῦ μειρακίου βάλλοντος αὐτοὺς κἀμοῦ

---

1 τὰ Rs: ταῦτα X, ὑπὸ τούτ. γιγν. del. Dobr, ταῦτα τὰ ὑπὸ Hertlein 3 κἀνταῦθα Cont: καὶ ταῦτα X 5 ἔλαβεν C: ἔλ^{α} X, ἔσχεν M corr. ὧν Markl: ὡς X 7 lemma in margine praebet X^{s} 10 μεταξὺ δὲ τούτων malit Rs 12 καὶ διαμαρτ. malit Scheibe, διαμαρτ. P. Müller, sed cf. Ant. I 29 17 κατὰ τὴν Naber 20 βιαίως· οὕτως ὑβρισθέντα X^{st}, οὕτως hic ret., priore loco del. Zaka 21 παρηνόμουν X 23 δὲ add. C 24 κἀμοῦ Francken (καὶ ἐμοῦ): καὶ X

*περὶ τοῦ σώματος ἀμυνομένου καὶ τούτων ἡμᾶς βαλ-
λόντων, ἔτι δὲ τυπτόντων αὐτὸν ὑπὸ τῆς μέθης κἀκείνου
ἀμυνομένου, καὶ τῶν παραγενομένων ὡς ἀδικουμένοις
ἡμῖν ἁπάντων ἐπικουρούντων, ἐν τούτῳ τῷ θορύβῳ συν-
τριβόμεθα τὰς κεφαλὰς ἅπαντες. καὶ οἱ μὲν ἄλλοι οἱ* 19
*μετὰ τούτου παροινήσαντες, ἐπειδὴ τάχιστά με εἶδον
μετὰ ταῦτα, ἐδέοντό μου συγγνώμην ἔχειν, οὐχ ὡς ἀδι-
κούμενοι ἀλλ' ὡς δεινὰ πεποιηκότες· καὶ ἐξ ἐκείνου τοῦ
χρόνου τεττάρων ἐτῶν παρεληλυθότων οὐδέν μοι πώ-
ποτε ἐνεκάλεσεν οὐδείς. Σίμων δ' οὑτοσί, ὁ πάντων τῶν* 20
*κακῶν αἴτιος γενόμενος, τὸν μὲν ἄλλον χρόνον ἡσυχίαν
ἦγε δεδιὼς περὶ αὑτοῦ, ἐπειδὴ δὲ δίκας ἰδίας ᾔσθετο
κακῶς ἀγωνισάμενον ἐξ ἀντιδόσεως, καταφρονήσας μου
οὑτωσὶ τολμηρῶς εἰς τοιοῦτον ἀγῶνά με κατέστησεν. ὡς
οὖν καὶ ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς παραγενο-
μένους μάρτυρας παρέξομαι.*

ΜΑΡΤΥΡΕΣ.

Τὰ μὲν οὖν γεγενημένα καὶ ἐμοῦ καὶ τῶν μαρτύρων 21
*ἀκηκόατε· ἐβουλόμην δ' ἄν, ὦ βουλή, Σίμωνα τὴν αὐτὴν
γνώμην ἐμοὶ ἔχειν, ἵν' ἀμφοτέρων ἡμῶν ἀκούσαντες
τἀληθῆ ῥᾳδίως ἔγνωτε τὰ δίκαια. ἐπειδὴ δὲ αὐτῷ οὐδὲν
μέλει τῶν ὅρκων ὧν διωμόσατο, πειράσομαι καὶ περὶ
ὧν οὗτος ἔψευσται διδάσκειν ὑμᾶς. Ἐτόλμησε γὰρ εἰπεῖν* 22

2 *τυπτόντων*, id quod sobrii non fecissent *κἀκείνου* scripsi: *καὶ ἐμοῦ* X, *καὶ π. τ. σωμ. ἀμ.* del. et postea *καὶ ἐμοῦ περὶ τοῦ σώμ. ἀμ.* Kayser, *καὶ τούτων . . . ἀμυνομένου* del. Francken, *τούτων αὐτὸν βαλλόντων, ἔτι δὲ τυπτόντων ἡμᾶς* Herw, qui *ὑπὸ τῆς μέθης* delet; *ἔτι δὲ πιπτόντων αὐτῶν* Rs, librum tuetur Fuhr, Berl. Phil. Woch. 1901, 1544 7 *ὡς ἠδικημένοι* Halb, *ὡς ἠδ. οἶμαι* Herw 10 *οὑτωσὶ* X^{h} *τῶν* habet X^{w} (*παῦ τ̃*) 12 *δίκας . . .* 13 *ἀντιδόσεως*, cf. Lipsius, Att. Recht 595 13 ⟨*μ'*⟩ *ἐξ* ci. Hude, cf. § 47 *καταφρονήσεώς* X 17 lemma in margine X

ὡς αὐτὸς μὲν τριακοσίας δραχμὰς ἔδωκε Θεοδότῳ, συν-
θήκας πρὸς αὐτὸν ποιησάμενος, ἐγὼ δ' ἐπιβουλεύσας
ἀπέστησα αὐτοῦ τὸ μειράκιον. καίτοι ἐχρῆν αὐτόν, εἴπερ
ἦν ταῦτ' ἀληθῆ, παρακαλέσαντα μάρτυρας ὡς πλείστους
23 κατὰ τοὺς νόμους διαπράττεσθαι περὶ αὐτῶν. οὗτος δὲ
τοιοῦτον οὐδὲν πώποτε φαίνεται ποιήσας, ὑβρίζων δὲ
καὶ τύπτων ἅμ' ἀμφοτέρους ἡμᾶς καὶ κωμάζων καὶ τὰς
θύρας ἐκβάλλων καὶ νύκτωρ εἰσιὼν ἐπὶ γυναῖκας ἐλευ-
θέρας. ἃ χρὴ μάλιστα, ὦ βουλή, τεκμήρια νομίζειν ὅτι
24 ψεύδεται πρὸς ὑμᾶς. σκέψασθε δὲ ὡς ἄπιστα εἴρηκε.
τὴν γὰρ οὐσίαν τὴν ἑαυτοῦ ἅπασαν πεντήκοντα καὶ δια-
κοσίων δραχμῶν ἐτιμήσατο. καίτοι θαυμαστὸν εἰ τὸν
ἑταιρήσοντα πλειόνων ἐμισθώσατο ὧν αὐτὸς τυγχάνει
25 κεκτημένος. εἰς τοῦτο δ' ἥκει τόλμης ὥστε οὐκ ἐξαρκεῖ
περὶ τούτου μόνον αὐτῷ ψεύσασθαι, περὶ τοῦ δεδωκέναι
τὸ ἀργύριον, ἀλλὰ καὶ κεκομίσθαι φησί· καίτοι πῶς
εἰκός ἐστι τότε μὲν ἡμᾶς τοιαῦτα ἐξαμαρτάνειν οἷα κα-
τηγόρηκεν οὗτος, ἀποστερῆσαι βουλομένους τὰς τριακο-
σίας δραχμάς, ἐπειδὴ δὲ ἀπεμαχεσάμεθα, τηνικαῦτα ἀπο-
δοῦναι τὸ ἀργύριον αὐτῷ, μήτε ἀφειμένους τῶν ἐγκλη-
26 μάτων μήτε ἀνάγκης ἡμῖν μηδεμιᾶς γενομένης; ἀλλὰ
γάρ, ὦ βουλή, πάντα αὐτῷ ταῦτα σύγκειται καὶ μεμη-
χάνηται, καὶ δοῦναι μέν φησιν, ἵνα μὴ δοκῇ δεινὰ ποιεῖν,
εἰ μηδενὸς αὐτῷ συμβολαίου γεγενημένου τοιαῦτα ἐτόλμα
ὑβρίζειν τὸ μειράκιον, ἀπειληφέναι δὲ προσποιεῖται, διότι

---

7 ἅμ' post Tayl editores damnaverunt, cf. II 33 (adolescens certe cur vapularet, non erat) 8 ἐκβάλλων cf. fr. 37 9 χρὴ μέγιστα Hamaker 13 πλείονος Cob 15 περὶ altero loco del. Cont 16 ἀλλὰ κἀνακεκομίσθαι Francken, sed cf. XIX 23. 57 17 ἐξαμαρτεῖν Halb, sed cf. I 40. 41 18 βουλομένους C: βουλόμενος X 25 ὑβρ. εἰς τὸ Rs

*φανερός ἐστιν ἐγκαλέσας οὐδέποτ' ἀργύριον οὐδὲ μνείαν
περὶ τούτου οὐδεμίαν ποιησάμενος.*

Φησὶ δ' ἐπὶ ταῖς αὐτοῦ θύραις ὑπ' ἐμοῦ δεινῶς δια- 27
*τεθῆναι τυπτόμενος. φαίνεται δὲ πλεῖν ἢ τέτταρα στάδια
ἀπὸ τῆς οἰκίας διώξας τὸ μειράκιον οὐδὲν κακὸν ἔχων,
καὶ ταῦτα πλεῖν ἢ διακοσίων ἰδόντων ἀνθρώπων ἔξαρ-
νός ἐστι.*

Λέγει δ' ὡς ἡμεῖς ἤλθομεν ἐπὶ τὴν οἰκίαν τὴν τού- 28
*του ὄστρακον ἔχοντες, καὶ ὡς ἠπείλουν αὐτῷ ἐγὼ ἀπο-
κτενεῖν, καὶ ὡς τοῦτό ἐστιν ἡ πρόνοια. ἐγὼ ⟨δ'⟩ ἡγοῦ-
μαι, ὦ βουλή, ῥᾴδιον εἶναι γνῶναι ὅτι ψεύδεται, οὐ
μόνον ὑμῖν τοῖς εἰωθόσι σκοπεῖσθαι περὶ τῶν τοιούτων,
ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι. τῷ γὰρ ἂν δόξειε πιστὸν* 29
*ὡς ἐγὼ προνοηθεὶς καὶ ἐπιβουλεύων ἦλθον ἐπὶ | τὴν
Σίμωνος οἰκίαν μεθ' ἡμέραν, μετὰ τοῦ μειρακίου, το-
σούτων ἀνθρώπων παρ' αὐτῷ συνειλεγμένων, εἰ μὴ εἰς
τοῦτο μανίας ἀφικόμην ὥστε ἐπιθυμεῖν εἷς ὢν πολλοῖς
μάχεσθαι, ἄλλως τε καὶ εἰδὼς ὅτι ἀσμένως ἄν με εἶδεν
ἐπὶ ταῖς θύραις ταῖς αὐτοῦ, ὃς καὶ ἐπὶ τὴν ἐμὴν οἰκίαν
φοιτῶν εἰσῄει βίᾳ, καὶ οὔτε τῆς ἀδελφῆς οὔτε τῶν ἀδελ-
φιδῶν φροντίσας ζητεῖν με ἐτόλμα, καὶ ἐξευρὼν οὗ
δειπνῶν ἐτύγχανον, ἐκκαλέσας ἔτυπτέ με. καὶ τότε μὲν* 30
*ἄρα, ἵνα μὴ περιβόητος εἴην, ἡσυχίαν ἦγον, συμφορὰν
ἐμαυτοῦ νομίζων τὴν τούτου πονηρίαν· ἐπειδὴ δὲ χρόνος
διεγένετο, πάλιν, ὡς οὗτός φησιν, ἐπεθύμησα περιβόητος
γενέσθαι; καὶ εἰ μὲν ἦν παρὰ τούτῳ τὸ μειράκιον, εἶχεν* 31
*ἄν τινα λόγον τὸ ψεῦδος αὐτῷ ⟨ὡς⟩ ἐγὼ διὰ τὴν ἐπι-
θυμίαν ἠναγκαζόμην ἀνοητότερόν τι ποιεῖν τῶν εἰκότων·*

---

3 *ταῖς αὑτοῦ* X 10 *ἡ* ante *προν.* del. Halb, sed est „illud quod mihi crimini vertit, necandi consilium" cf. XIII 85 *δ'* add. C 18 *ἄσμενος* Tayl, sed cf. XIII 11, XXI 18 24 *ἐμαυτῷ* Halb 25 *ἐνεγένετο* Cob, sed cf. I 15. 22 27 *ὡς* add. C

νῦν δὲ τούτῳ μὲν οὐδὲ διελέγετο, ἀλλ' ἐμίσει πάντων
ἀνθρώπων μάλιστα, παρ' ἐμοὶ δ' ἐτύγχανε διαιτώμενον.
32 ὥστε τῷ ὑμῶν πιστὸν ὡς ἐγὼ πρότερον μὲν ἐξέπλευσα
ἐκ τῆς πόλεως ἔχων τὸ μειράκιον, ἵνα μὴ τούτῳ μαχοί-
μην, ἐπειδὴ δὲ ἀφικόμην πάλιν, ἦγον αὐτὸν ἐπὶ τὴν οἰ-
κίαν τὴν Σίμωνος, οὗ πλεῖστα ἔμελλον πράγματα ἕξειν;
33 καὶ ἐπεβούλευον μὲν αὐτῷ, οὕτω δὲ ἦλθον ἀπαράσκευος,
ὥστε μήτε φίλους μήτε οἰκέτας μήτε ἄλλον ἄνθρωπον
παρακαλέσαι μηδένα, εἰ μὴ τουτό γε τὸ παιδίον, ὃ ἐπι-
κουρῆσαι μέν μοι οὐκ ἂν ἐδύνατο, μηνῦσαι δὲ ἱκανὸν
34 ἦν βασανιζόμενον, εἴ τι ἐγὼ ἐξημάρτανον; ἀλλ' εἰς το-
σοῦτον ἀμαθίας ἀφικόμην, ὥστε ἐπιβουλεύων Σίμωνι οὐκ
ἐτήρησα αὐτὸν οὗ μόνον οἷόν τ' ἦν λαβεῖν, ἢ νύκτωρ ἢ
μεθ' ἡμέραν, ἀλλ' ἐνταῦθα ἦλθον οὗ αὐτὸς ἔμελλον ὑπὸ
πλείστων ὀφθήσεσθαί τε καὶ συγκοπήσεσθαι, ὥσπερ κατ'
ἐμαυτοῦ τὴν πρόνοιαν ἐξευρίσκων, ἵν' ὡς μάλιστα ὑπὸ
τῶν ἐχθρῶν ὑβρισθείην;
35 Ἔτι τοίνυν, ὦ βουλή, καὶ ἐκ τῆς μάχης τῆς γενομένης
ῥᾴδιον γνῶναι ὅτι ψεύδεται. τὸ γὰρ μειράκιον ὡς ἔγνω,
ῥῖψαν θοιμάτιον, φεῦγον ᾤχετο, οὗτοι δὲ αὐτὸν ἐπε-
36 δίωκον, ἐγὼ δὲ ἑτέραν ἀπελθὼν ὁδὸν ᾠχόμην. καίτοι
ποτέρους χρὴ αἰτίους τῶν γεγενημένων εἶναι νομίζειν,
τοὺς φεύγοντας ἢ τοὺς ζητοῦντας καταλαβεῖν; ἐγὼ μὲν
γὰρ ἡγοῦμαι πᾶσιν εἶναι δῆλον ὅτι φεύγουσι μὲν οἱ
περὶ αὑτῶν δεδιότες, διώκουσι δὲ οἱ βουλόμενοί τι
37 ποιῆσαι κακόν. οὐ τοίνυν ταῦτα εἰκότα <μέν>, ἄλλως

---

5 ἦγον αὐτὸς Rs 8 ἀνθρώπων Blass 9 παιδίον Theodotum dicit, qui civis non erat, cf. (Demosth) LIX 105 10 ἱκανὸν ἦ X 11 τοσοῦτο X 13 ἢ μεθ' ἡμέραν del. Tayl 18 μάχης τῆς λεγομένης Bake 20 φεῦγον, superscripto ων X 21 ὁδὸν del. Cob, sed cf. § 13 22 χρὴ Bekker: χρῆν X 26 μέν hic add. Sauppe, ταῦτα μὲν εἰκ. Rs

*δὲ περὶ αὐτῶν πέπρακται, ἀλλὰ καταλαβόντες τὸ μειρά-
κιον ἐκ τῆς ὁδοῦ ἦγον βίᾳ, ἐντυχὼν δ' ἐγὼ τούτων μὲν
οὐχ ἡπτόμην, τοῦ μειρακίου δ' ἐπελαμβανόμην· οὗτοι δὲ
ἐκεῖνόν τε ἦγον βίᾳ καὶ ἐμὲ ἔτυπτον. καὶ ταῦθ' ὑμῖν
ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται. ὥστε δεινὸν εἰ
περὶ τούτων ἐγὼ δόξω προνοηθῆναι, περὶ ὧν οὗτοι
τυγχάνουσιν οὕτω δεινὰ καὶ παράνομα πεποιηκότες. τί* **38**
*δ' ἄν ποτε ἔπαθον, εἰ τἀναντία τῶν νῦν γεγενημένων
ἦν, εἰ πολλοὺς ἔχων τῶν ἐπιτηδείων ἐγώ, ἀπαντήσας
Σίμωνι, ἐμαχόμην αὐτῷ καὶ ἔτυπτον αὐτὸν καὶ ἐδίωκον
καὶ καταλαβὼν ἄγειν βίᾳ ἐζήτουν, ὅπου νῦν τούτου ταῦ-
τα πεποιηκότος ἐγὼ εἰς τοιοῦτον ἀγῶνα καθέστηκα, ἐν
ᾧ καὶ περὶ τῆς πατρίδος καὶ τῆς οὐσίας τῆς ἐμαυτοῦ
ἁπάσης κινδυνεύω; Τὸ δὲ μέγιστον καὶ περιφανέστατον* **39**
*πάντων· ὁ γὰρ ἀδικηθεὶς καὶ ἐπιβουλευθεὶς ὑπ' ἐμοῦ,
ὥς φησιν, οὐκ ἐτόλμησε τεττάρων ἐτῶν ἐπισκήψασθαι εἰς
ὑμᾶς. καὶ οἱ μὲν ἄλλοι, ὅταν ἐρῶσι καὶ ἀποστερῶνται
ὧν ἐπιθυμοῦσι καὶ συγκοπῶσιν, ὀργιζόμενοι παραχρῆμα
τιμωρεῖσθαι ζητοῦσιν, οὗτος δὲ χρόνοις ὕστερον.*

Ὅτι μὲν οὖν, ὦ βουλή, οὐδενὸς αἴτιός εἰμι τῶν γε- **40**
*γενημένων, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· οὕτω δὲ διά-
κειμαι πρὸς τὰς ἐκ τῶν τοιούτων πραγμάτων διαφοράς,
ὥστε καὶ ἄλλα πολλὰ ὑβρισμένος ὑπὸ Σίμωνος καὶ κα-
ταγεὶς τὴν κεφαλὴν ὑπ' αὐτοῦ οὐκ ἐτόλμησα αὐτῷ ἐπι-*

---

1 *περὶ αὐτῶν* habet X[s], del. Francken, *τὸ πρᾶγμα αὐτὸ* Dobr **6** *περὶ τούτων* del. Halb, sed cf. § 42 **8** *τῶν νυνὶ* marg. Ald **9** *ἦν εἰ* del. Halb, *γεγενημέν' ἦν καὶ* Cob **10** *αὐτῷ* del. Herw *αὐτὸν* del. Halb *ἐδίωκον ⟨τὸ μειράκιον⟩* Rs **13** *καὶ ⟨περὶ⟩ τῆς* Herw, sed cf. I 2 **16** *⟨εἰσελθὼν⟩ εἰς ὑμᾶς* Halb, *δείσας ὑμᾶς* P. Müller, sed cf. Isaeum ap. Poll. VIII 33 **17** *καί⟨τοι⟩ οἱ* Halb, falso *ἐρῶσι καὶ* del. Halb, *ἐρῶντες* Rauch, *ἀποτυγχάνωσιν ὧν ἐρῶσι καὶ* P. Müller **19** *χρόνοις* cf. Ant. VI 38 **22** *διαφορὰς*] *συμφορὰς* O et marg. Ald

σκήψασθαι, ἡγούμενος δεινὸν εἶναι, εἰ ἄρα περὶ | παί-
δων ἐφιλονικήσαμεν ἡμεῖς πρὸς ἀλλήλους, τούτου ἕνεκα
41 ἐξελάσαι τινὰς ζητῆσαι ἐκ τῆς πατρίδος. ἔπειτα δὲ καὶ
οὐδεμίαν ἡγούμην πρόνοιαν εἶναι τραύματος ὅστις μὴ
ἀποκτεῖναι βουλόμενος ἔτρωσε. τίς γὰρ οὕτως ἐστὶν
εὐήθης, ὅστις ἐκ πολλοῦ προνοεῖται ὅπως ἕλκος τις
42 αὐτοῦ τῶν ἐχθρῶν λήψεται; ἀλλὰ δῆλον ὅτι καὶ οἱ τοὺς
νόμους ἐνθάδε θέντες, οὐκ εἴ τινες μαχεσάμενοι ἔτυχον
ἀλλήλων κατάξαντες τὰς κεφαλάς, ἐπὶ τούτοις ἠξίωσαν
τῆς πατρίδος φυγὴν ποιήσασθαι· ἢ πολλούς γ' ἂν ἐξή-
λασαν· ἀλλ' ὅσοι ἐπιβουλεύσαντες ἀποκτεῖναί τινας
ἔτρωσαν, ἀποκτεῖναι δὲ οὐκ ἐδυνήθησαν, περὶ τῶν τοι-
ούτων τὰς τιμωρίας οὕτω μεγάλας κατεστήσαντο, ἡγού-
μενοι, ὑπὲρ ὧν ἐβούλευσαν καὶ προὐνοήθησαν, ὑπὲρ
τούτων προσήκειν αὐτοῖς δίκην δοῦναι· εἰ δὲ μὴ κα-
43 τέσχον, οὐδὲν ἧττον τό γ' ἐκείνων πεποιῆσθαι. καὶ
ταῦτα ἤδη καὶ πρότερον πολλάκις ὑμεῖς οὕτω διέγνωτε
περὶ τῆς προνοίας. καὶ γὰρ δεινὸν ⟨ἂν⟩ εἴη, εἰ ὅσοι ἐκ
μέθης καὶ φιλονικίας ἢ ἐκ παιδιῶν ἢ ἐκ λοιδορίας ἢ
περὶ ἑταίρας μαχόμενοι ἕλκος ἔλαβον, εἰ ὑπὲρ τούτων
ὧν, ἐπειδὰν βέλτιον φρονήσωσιν, ἅπασι μεταμέλει, οὕ-
τως [καὶ] ὑμεῖς μεγάλας καὶ δεινὰς τὰς τιμωρίας ποιή-

1 *παιδικῶν* M corr., Bekker, sed cf. IV 7 3 *τινὰ* malit Rs, sed cf. XIII 60. 78 *δὲ* abesse malit Rs, sed cf. XIII 73. 52 4 *τραύματος* del. Hirschig, sed *πρ. τρ.* est idem atque *τραῦμα ἐκ προνοίας* 8 *νόμους ⟨τοὺς⟩* malit Rs 9 *κατάξαντες* Dobr: *κατεάξαντες* X 10 *ποιῆσαι* Herw coll. I 31. 33. 34, sed cf. *κατεστήσαντο*, quod sequitur 11 *ἀποκτεῖναι* priore loco del. Herw 12 *ἔτρωσαν ⟨μὲν⟩* Naber 14 *ὧν ἐπεβούλευσαν* Halb *ὑπὲρ τούτ.* del. Herw 16 *τὸ γ' ἐπ' ἐκείνων* X (*ἐπ'* a pr. m. del.), *τό γ' ἐπ' ἐκείνοις* pp. Rs 18 *ἂν* add. C, om. X, *δεινὸν* habet X, *καὶ γὰρ ⟨ἂν⟩* Dobr, sed cf. XXVIII 3 19 *παιδιῶν* C: *παιδικῶν* X, *παιδιᾶς* Dobr *ἢ ἐκ λοιδορίας* Herw post *μέθης* transponit, tum *φιλ. περὶ παιδικῶν* 22 *καὶ* om. C, del. Rs, defendit Auger, sc. ut Simo *ποιήσαισθε*

σεσθε, ὥστε ἐξελαύνειν τινὰς τῶν πολιτῶν ἐκ τῆς πα-
τρίδος.

Θαυμάζω δὲ μάλιστα τούτου τῆς διανοίας. οὐ γὰρ 44
τοῦ αὐτοῦ μοι δοκεῖ εἶναι ἐρᾶν τε καὶ συκοφαντεῖν, ἀλλὰ
τὸ μὲν τῶν εὐηθεστέρων, τὸ δὲ τῶν πανουργοτάτων.
ἐβουλόμην δ᾽ ἂν ἐξεῖναί μοι παρ᾽ ὑμῖν καὶ ἐκ τῶν ἄλλων
ἐπιδεῖξαι τὴν τούτου πονηρίαν, ἵνα ἐπίστησθε ὅτι πολὺ
ἂν δικαιότερον αὐτὸς περὶ θανάτου ἠγωνίζετο ἢ ἑτέρους
ὑπὲρ τῆς πατρίδος εἰς κίνδυνον καθίστη. τὰ μὲν οὖν 45
ἄλλα ἐάσω· ὃ δ᾽ ἡγοῦμαι ὑμῖν προσήκειν ἀκοῦσαι καὶ
τεκμήριον ἔσεσθαι τῆς τούτου θρασύτητος καὶ τόλμης,
περὶ τούτου μνησθήσομαι. ἐν Κορίνθῳ γάρ, ἐπειδὴ
ὕστερον ἦλθε τῆς πρὸς τοὺς πολεμίους μάχης καὶ τῆς
εἰς Κορώνειαν στρατείας, ἐμάχετο τῷ ταξιάρχῳ Λάχητι 394
καὶ ἔτυπτεν αὐτόν, καὶ πανστρατιᾷ τῶν πολιτῶν ἐξελ-
θόντων, δόξας ἀκοσμότατος εἶναι καὶ πονηρότατος, μό-
νος Ἀθηναίων ὑπὸ τῶν στρατηγῶν ἐξεκηρύχθη.

Ἔχοιμι δ᾽ ἂν καὶ ἄλλα πολλὰ εἰπεῖν περὶ τούτου, ἀλλ᾽ 46
ἐπειδὴ παρ᾽ ὑμῖν οὐ νόμιμόν ἐστιν ἔξω τοῦ πράγματος
λέγειν, ἐκεῖνο ἐνθυμεῖσθε· οὗτοί εἰσιν οἱ βίᾳ εἰς τὴν
ἡμετέραν οἰκίαν εἰσιόντες, οὗτοι οἱ διώκοντες, οὗτοι οἱ
βίᾳ ἐκ τῆς ὁδοῦ συναρπάζοντες ἡμᾶς. ὧν ὑμεῖς μεμνη- 47
μένοι τὰ δίκαια ψηφίζεσθε, καὶ μὴ περιίδητε ἐκ τῆς
πατρίδος ἀδίκως ἐκπεσόντα, ὑπὲρ ἧς ἐγὼ πολλοὺς κιν-

Rs, sed cf. VII 41, XIII 94 7 ἠπίστασθε Bernhardy 8 ἂν Tayl: καὶ X, cf. IV 13, XVI 7, XXI 16, XXV 29, XXVIII 14
9 περὶ τῆς Markl καθίστησι Emperius, sed cf. [IX 14]
11 τεκμ. ⟨μέγιστον⟩ Herw, sed cf. XIII 20, XIX 56, XXVI 17
13 ὕστερος Hertlein 14 στρατείας Tayl: στρατιᾶς X
16 ἀκοσμότατος post Taylorum (ἀκοσμιώτ.) Emperius: κοσμιώτατος X, ἀκολαστότατος idem v. d. pp. 22 ἡμᾶς del. Halb
23 με add. Rs post μὴ, sed cf. 20, VII 25, XII 35 Foertsch obs. 65

δύνους κεκινδύνευκα καὶ πολλὰς λητουργίας λελητούργηκα, καὶ κακοῦ μὲν αὐτῇ οὐδενὸς αἴτιος γεγένημαι, οὐδὲ
48 τῶν ἐμῶν προγόνων οὐδείς, ἀγαθῶν δὲ πολλῶν· ὥστε δικαίως ἂν ὑφ' ὑμῶν καὶ ὑπὸ τῶν ἄλλων ἐλεηθείην, οὐ μόνον εἴ τι πάθοιμι ὧν Σίμων βούλεται, ἀλλὰ καὶ ὅτι ἠναγκάσθην ἐκ τοιούτων πραγμάτων εἰς τοιούτους ἀγῶνας καταστῆναι.

4.

ΠΕΡΙ ΤΡΑΥΜΑΤΟΣ ΕΚ ΠΡΟΝΟΙΑΣ, ΥΠΕΡ ΟΥ ΚΑΙ ΠΡΟΣ ΟΝ ⟨ΑΔΗΛΟΝ⟩.

1 *Θαυμαστόν γε, ὦ βουλή, τὸ διαμάχεσθαι περὶ τούτου, ὡς οὐκ ἐγένοντο ἡμῖν διαλλαγαί, καὶ τὸ μὲν ζεῦγος καὶ τὰ ἀνδράποδα, καὶ ὅσα ἐξ ἀγροῦ κατὰ τὴν ἀντίδοσιν ἔλαβον, μὴ ἂν δύνασθαι ἀρνηθῆναι ὡς οὐκ ἀπέδωκε, φανερῶς δὲ περὶ πάντων διαλελυμένον ἀρνεῖσθαι τὰ περὶ τῆς ἀνθρώπου, μὴ κοινῇ ἡμᾶς χρῆσθαι συγχωρῆσαι.*
2 καὶ τὴν μὲν ἀντίδοσιν δι' ἐκείνην φανερός ἐστι ποιησάμενος, τὴν | δ' αἰτίαν δι' ἣν ἀπέδωκεν ἢ ἔλαβεν, οὐκ ἂν ἄλλην ἔχοι εἰπεῖν (βουλόμενος τἀληθῆ λέγειν) ἢ ὅτι
3 οἱ φίλοι περὶ πάντων ἡμᾶς τούτων συνήλλαξαν. ἐβουλόμην δ' ἂν μὴ ἀπολαχεῖν αὐτὸν κριτὴν Διονυσίοις, ἵν' ὑμῖν φανερὸς ἐγένετο ἐμοὶ διηλλαγμένος, κρίνας τὴν ἐμὴν φυλὴν νικᾶν· νῦν δὲ ἔγραψε μὲν ταῦτα εἰς τὸ

---

9 Or. IV. *ΥΠΕΡ* Blass: *περὶ* X 10 *ΑΔΗΛΟΝ* add. Tayl 12 *ἡμῖν περὶ τούτου διαλλ.* verba a pr. m. del. X 14 *ἔλαβε* Scal *ἀπέδωκε* X, *ἀπέδωκα* c. libris quibusdam Rs 17 *δι'* del. Hamaker *φανερός* ex *φανερῶς* a pr. m. corr. X 18 *ἀπέδωκεν* sc res illas, *ἔλαβεν* servam cf. Herm. XIX 90, *ἀπέδωκεν ἃ ἔλαβεν* Tayl cf. Lipsius Att. Recht 595, *ἀπ. καὶ ἔλ.* Zaka, *ἀντ. δι' ἣν ἔλαβεν ἐκείνην . . . αἰτ. δι' ἣν ἀπέδωκεν ἐκεῖνα* Heldmann 19 *γ' ἀληθῆ* Hirschig, sed cf. XII 1 23 *νικᾶν* del. Halb, sed cf. Plat. leg. II p. 657e, Ar. Ran. 1473

γραμματεῖον ἀπέλαχε δέ. καὶ ὅτι ἀληθῆ ταῦτα λέγω, 4
Φιλῖνος καὶ Διοκλῆς ἴσασιν· ἀλλ' οὐκ ἔστ' αὐτοῖς μαρ-
τυρῆσαι μὴ διομοσαμένοις περὶ τῆς αἰτίας ἧς ἐγὼ φεύγω,
ἐπεὶ σαφῶς ἔγνωτ' ἂν ὅτι ἡμεῖς ἦμεν αὐτὸν οἱ κριτὴν
ἐμβαλόντες καὶ ἡμῶν ἕνεκα ἐκαθίζετο. Ἀλλ' ἦν, εἰ βού- 5
λεται, ἐχθρός· δίδωμι γὰρ αὐτῷ τοῦτο· οὐδὲν γὰρ δια-
φέρει. οὐκοῦν ἦλθον αὐτὸς αὐτὸν ἀποκτενῶν, ὡς οὗτός
φησι, καὶ βίᾳ εἰς τὴν οἰκίαν εἰσῆλθον. διὰ τί οὖν οὐκ
ἀπέκτεινα, ὑποχείριον λαβὼν τὸ σῶμα, καὶ τοσοῦτον κρα-
τήσας ὥστε καὶ τὴν ἄνθρωπον λαβεῖν; φρασάτω πρὸς
ὑμᾶς. ἀλλ' οὐκ ἔχει εἰπεῖν. Καὶ μὴν οὐδείς γε ὑμῶν 6
ἀγνοεῖ ὅτι θᾶττον ἂν ἐγχειριδίῳ πληγεὶς ἀπέθανεν ἢ
πὺξ παιόμενος. φαίνεται τοίνυν οὐδ' αὐτὸς αἰτιώμενος
τοιοῦτόν τι ἔχοντας ἡμᾶς ἐλθεῖν, ἀλλ' ὀστράκῳ φησὶ
πληγῆναι. καίτοι φανερὸν ἤδη ἐξ ὧν εἴρηκεν, ὅτι οὐ
πρόνοια γεγένηται. οὐ γὰρ ⟨ἂν⟩ οὕτως ἤλθομεν, ἀδή- 7
λου ὄντος εἰ παρὰ τούτῳ εὑρήσομεν [ὄστρακον ἢ] ὅτῳ
αὐτὸν ἀποκτενοῦμεν, ἀλλ' οἴκοθεν ἔχοντες ἂν ἐβαδίζο-
μεν. νῦν δὲ ὁμολογούμεθα πρὸς παῖδας καὶ αὐλητρίδας
καὶ μετ' οἴνου ἐλθόντες. ὥστε πῶς ταῦτ' ἐστὶ πρόνοια;
ἐγὼ μὲν γὰρ οἶμαι οὐδαμῶς. Ἀλλ' οὗτος ἐναντίως τοῖς 8
ἄλλοις δύσερώς ἐστι, καὶ ἀμφότερα βούλεται, τό τε ἀρ-
γύριον μὴ ἀποδοῦναι καὶ τὴν ἄνθρωπον ἔχειν. εἶτα
ὑπὸ τῆς ἀνθρώπου παρωξυμμένος ὀξύχειρ λίαν καὶ

3 *διομοσαμένοις* cf. Ant. V 12. 15 *ἧς* Scal: *ἣ* X, *ἣν* Rs 4 *οἱ αὐτὸν κριτὴν* Cont 5 *προβαλόμενοι* Halb, sed cf. Isocr. XVII 34 *εἵνεκα* X *ἐκαθίζετο* X: *ἐκαθέζετο* vulg. 7 *αὐτὸς* del. Rs 16 *προνοία* hic et 20 X *ἂν* add. C *ἄδηλον ὂν* Herw, sed cf. Xen. Hipparch 4, 2 17 *ὄστρακον ἢ* del. Rs An 2, 22 *ὅτῳ* Markl: *οὕτως* X, *ὄστρακόν τι ὅτῳ* Cob, *εὑρήσομέν τι ὅτῳ* Herw, *ὄστρακον ἢ πῶς* Rauch 18 *οἴκοθέν ⟨τι⟩* Bartelt 19 *ὡς πρὸς* Halb 20 *μετ' οἴνου* cf. Thuk VI 28, *μεστοὺς οἴνου* Rs, *μεστοὶ οἴν.* Halb 21 *ἐναντίος* X 24 *παρωξυμένος* X

*πάροινός ἐστιν, ἀνάγκη δὲ ἀμύνασθαι. ἡ δὲ τοτὲ μὲν
ἐμὲ περὶ πολλοῦ τοτὲ δὲ τοῦτόν φησι ποιεῖσθαι, βου-*
9 *λομένη ὑπ' ἀμφοτέρων ἐρᾶσθαι. καὶ ἐγὼ μὲν καὶ ἐξ
ἀρχῆς εὐκόλως εἶχον καὶ νῦν ἔτι ἔχω· ὁ δ' εἰς τοῦτο
βαρυδαιμονίας ἥκει, ὥστε οὐκ αἰσχύνεται τραῦμά τε
ὀνομάζων τὰ ὑπώπια καὶ ἐν κλίνῃ περιφερόμενος καὶ
δεινῶς προσποιούμενος διακεῖσθαι ἕνεκα πόρνης ἀνθρώ-
που, ἣν ἔξεστιν αὐτῷ ἀναμφισβητήτως ἔχειν ἐμοὶ ἀπο-*
10 *δόντι τἀργύριον. καὶ φησὶ μὲν δεινῶς ἐπιβουλευθῆναι
καὶ πρὸς ἅπανθ' ἡμῖν ἀμφισβητεῖ, ἐξὸν δ' ἐκ τῆς ἀν-
θρώπου βασανισθείσης τὸν ἔλεγχον ποιήσασθαι οὐκ
ἠθέλησεν· ἢ πρῶτον μὲν τοῦτ' ἂν κατεῖπεν, πότερα κοινὴ
ἡμῖν ἦν ἢ ἰδία τούτου, καὶ πότερα τὸ ἥμισυ τοῦ ἀργυ-
ρίου ἐγὼ συνεβαλόμην ἢ οὗτος ἅπαν ἔδωκε, καὶ εἰ διηλ-*
11 *λαγμένοι ἢ ἔτι ἐχθροὶ ἦμεν, ἔτι δὲ εἰ μεταπεμφθέντες
ἤλθομεν ἢ οὐδενὸς καλέσαντος, καὶ εἰ οὗτος ἦρχε χει-
ρῶν ἀδίκων ἢ ἐγὼ πρότερος τοῦτον ἐπάταξα. τούτων
καθ' ἓν ἕκαστον καὶ τῶν ἄλλων οὐδὲν [ἦν] ὅ τι οὐ ῥᾴ-
διον τοῖς τε ἄλλοις ἐμφανὲς καὶ δι' αὐτῆς ποιῆσαι.*
12 *Ὅτι μὲν οὖν οὔτε πρόνοια ἐγένετο οὔτε ἀδικῶ τοῦ-
τον, ὦ βουλή, ἐκ τοσούτων τεκμηρίων καὶ μαρτυριῶν
ὑμῖν ἐπιδέδεικται· ἀξιῶ δ' ὅσον ἂν ἐγένετο σημεῖον τού-
τῳ πρὸς τὸ δοκεῖν ἀληθῆ λέγειν φυγόντος ἐμοῦ τὴν
βάσανον, τοσοῦτον ἐμοὶ τεκμήριον γενέσθαι ὅτι οὐ ψεύ-*

---

1 lex. Vind. 131 habet: *νῦν δὲ ὀξύχειρ λίαν ἐστὶ καὶ πάροινος* 5 *τραῦμά τε* Rs: *τραῦμά γε* X, *τραύματά γε* marg. Ald, *τραύματ'* Coraes 12 *πότερα* non est apud Lysiam, nisi hoc loco et fr. 42a *κοινὰ* superscripto *ἡ* X 16 *ἦρξε* Cont 17 *πρότερος τοῦτον* coll. § 15 pp. Scheibe 18 *ἦν* del. Halb, *οὐδὲν ὅτι οὐ ῥ. ἦν* Hertlein 19 *αὐτῇ* post *ῥᾴδιον* add. Rs, X praebet *ῥᾴδιον τοῖς* *δι' αὐτῆς* scripsi: *τούτοις* X post *ποιῆσαι* lacunam ind. Schottus 20 *προνοίᾳ* X 23 *φυγόντος* . . . 24 *βάσανον* et p. 51, 1 *διότι* . . . *ἔλεγχον* del. Francken

δομαι, διότι οὗτος οὐκ ἠθέλησεν ἐκ τῆς ἀνθρώπου
ποιήσασθαι τὸν ἔλεγχον. καὶ μὴ τοσοῦτον ἰσχῦσαι τοὺς
τούτου λόγους, ὅτι φησὶν αὐτὴν ἐλευθέραν εἶναι· ὁμοίως
γὰρ προσήκει κἀμοὶ τῆς ἐλευθερίας, τὸ ἴσον καταθέντι
ἀργύριον. ἀλλὰ ψεύδεται καὶ οὐκ ἀληθῆ λέγει. ἦ δεινόν 13
γε, εἰ εἰς μὲν λύσιν τοῦ σώματος [ἔδωκα τὸ ἀργύριον]
ἐκ τῶν πολεμίων ἐξῆν ἄν μοι χρῆσθαι αὐτῇ ὅ τι ἐβουλόμην,
κινδυνεύοντι δέ μοι περὶ τῆς πατρίδος οὐδὲ πυθέσθαι
παρ' αὐτῆς τἀληθῆ ἐκγενήσεται περὶ ὧν εἰς τὴν
κρίσιν καθέστηκα· καὶ μὲν δὴ πολὺ ἂν δικαιότερον ἐπὶ
ταύτῃ τῇ αἰτίᾳ βασανισθείη ἢ ἐπὶ τῇ ἐκ τῶν πολεμίων
λύσει πραθείη, ὅσῳ παρὰ μὲν ἐκείνων βουλομένων ἀπολῦσαι
ἔστι καὶ ἄλλοθεν | εὐπορήσαντι κομισθῆναι, ἐπὶ
δὲ τοῖς ἐχθροῖς γενόμενον οὐ δυνατόν· οὐ γὰρ ἀργύριον
λαβεῖν προθυμοῦνται, ἀλλ' ἐκ τῆς πατρίδος ἐκβαλεῖν
ἔργον ποιοῦνται. ὥσθ' ὑμῖν προσήκει μὴ ἀποδέχεσθαι 14
αὐτοῦ διὰ τοῦτο οὐκ ἀξιοῦντος βασανισθῆναι τὴν ἄνθρωπον,
ὅτι αὐτὴν ἐλευθέραν ἐσκήπτετο εἶναι, ἀλλὰ πολὺ
μᾶλλον συκοφαντίαν καταγιγνώσκειν, ὅτι παραλιπὼν
ἔλεγχον οὕτως ἀκριβῆ ἐξαπατήσειν ὑμᾶς ῥᾳδίως ᾠήθη.
οὐ γὰρ δήπου τήν γε τούτου πρόκλησιν πιστοτέραν ὑμᾶς 15

2 τοσοῦτον del. Herw 3 ὅτε φησιν Francken 4 γὰρ ἂν προσῆκε Francken τῆς ἀπελευθερίας Francken, sed Rs verissime: in arbitrio meo quoque situm est, serva sit an libera 5 ἀλλὰ . . . λέγει ante 3 ὁμοίως collocari vult Hamaker 6 ἔδωκα τὸ ἀργ. del. Cob post Hamakerum, qui vocem εἰ quoque expungit, quamquam interpolationis ansa fuisse videtur. Corrigunt ἔδει μοι τοῦ ἀργυρίου Blass, ἔδει λαβεῖν τὸ ἀργ. ἐκ τῶν ἐμῶν ἐξῆν Heldmann, ἐκ τῶν πολ. del. vel transponit: ἐκ τῶν πολ. εἰ ἔδωκα τὸ ἀργ. ἐξῆν Cont 7 ἂν delebat aliquando Scheibe, defendit Gebauer arg. 249 16 ἔργον Scheibe coll. Plat. Phaedr. 232[a] Isocr. XV 81, XVI 40: αὐτὸν X, περὶ παντὸς vel πλείστου Rs, ἀντιποιοῦνται Sauppe coll. Aesch. II 33, προαιροῦνται post Rs Baiter, πειρῶνται Steph, ἐμὲ αὐτὸν προθυμοῦνται Kirchner deleta, quae antecedit, voce προθ.

*νομίζειν δεῖ τῆς ἡμετέρας, ἐφ' οἷς τοὺς αὐτοῦ οἰκέτας
ἠξίου βασανίζεσθαι. ἃ μὲν γὰρ ἐκεῖνοι ᾔδεσαν, ἐλθόν-
τας ἡμᾶς ὡς τοῦτον, καὶ ἡμεῖς ὁμολογοῦμεν· εἰ δὲ μετα-
πεμφθέντες ἢ μή, καὶ πότερον πρότερος ἐπλήγην ἢ ἐπά-*
16 *ταξα, ἐκείνη μᾶλλον ἂν ᾔδει. ἔτι δὲ τοὺς μὲν τούτου
οἰκέτας ἰδίους ὄντας τούτου εἰ ἐβασανίζομεν, ἀνοήτως
ἄν τι τούτῳ χαριζόμενοι καὶ παρὰ τὴν ἀλήθειαν ἐμοῦ
κατεψεύσαντο· αὕτη δὲ ὑπῆρχε κοινή, ὁμοίως ἀμφοτέ-
ρων ἀργύριον κατατεθηκότων, καὶ [μάλιστα ᾔδει] διὰ
ταύτην ἅπαντα τὰ πραχθέντα ἡμῖν γεγένηται. καὶ εὖ
ᾔδειν ⟨ὅτι⟩ οὐδὲ ἐν ταύτῃ ἔγωγ' ἂν ἴσον εἶχον βασα-*
17 *νισθείσῃ, ἀλλ' ἀπεκινδύνευον τοῦτο· πολὺ γὰρ περὶ
πλείονος τοῦτον ἢ ἐμὲ φαίνεται ποιησαμένη, καὶ μετὰ
μὲν τούτου ἐμὲ ἠδικηκυῖα, μετ' ἐμοῦ δ' οὐδεπώποτε εἰς
τοῦτον ἐξαμαρτοῦσα. ἀλλ' ὅμως ἐγὼ μὲν εἰς ταύτην
κατέφυγον, οὗτος δὲ οὐκ ἐπίστευσεν αὐτῇ.*

18 *Οὔκουν δεῖ ὑμᾶς, ὦ βουλή, τηλικούτου ὄντος τοῦ κιν-
δύνου, ῥᾳδίως ἀποδέχεσθαι τοὺς τούτου λόγους, ἀλλ'*

---

1 *ἐφ' οἷς . . .* 2 *βασαν.* collocat post p. 51, 21 *πρόκλησιν* Kayser 1 *ἐφ' οἷς* sc. de iis rebus, de quibus, *ἐφ' ἧς* Cont 4 *πρότερος* Markl: *πρότερον* X 5 *ἂν* del. Cob *τούτου* del. Herw 6 post *ἀνοήτως ἂν* lacunam dat Cob, *εἰκότως ἄν* Markl, *ἀγαπητῶς ἂν* Dobr, *ἀνοήτως αὐτῷ τοῦτο χαριζ. ἴσως π. τ. ἀλήθ. ἂν ἐμοῦ* Halb 8 *αὐτὴ* X 9 *μάλιστα ᾔδει* delevi post Herw, qui vocem *καὶ* quoque damnat *διὰ ⟨γὰρ⟩ ταύτην* Herw 10 *εὖ ᾔδειν ⟨ὅτι⟩ οὐδὲ* scripsi post Taylorum, (qui prop. *εὖ ᾔδει ὅτι οὐδὲ ἐκ ταύτης*): *οὐ λήσει οὐδὲν* X et in mg: *λέγει ὅλως οὐδέν* 11 *βασανισθείσῃ* Blass: *βασανισθείσης* X, *καὶ οὐκ ἐλελήθει με ὅτι οὐδὲ* Blass, *λήσει οὐδέν. οὐδὲ ταύτης ἔγωγ' ἂν* Sauppe, *ἂν ἧττον εἶχον* Dobr, *οὐ λήσει οὐδὲν ταύτης βασανισθείσης. ἐγὼ δ' οὐκ ἴσον εἶχον* Heldmann, *καὶ οὐ λήσειν ἔμελλ' οὐδ' ἂν ἕν. καίτοι ἔγωγ' οὐκ ἂν ἴσον εἶχον* Francken, *ἔγωγ' οὖν εἰ καὶ ἄνισον εἶχον* vel *καίτοι ἔγωγ' ἄνισον ἔχων ἀπεκινδύνευον* Rauch, *καίτοι οὐ λήσει οὐδέν' ὅτι ταύτης ἔγωγ'* Herw, *καὶ οὐ λήσει οὐδέν' ⟨ὅτι οὐδ'⟩ ἐν τ.* Polak

*ἐνθυμουμένους ὅτι περὶ τῆς πατρίδος μοι καὶ τοῦ βίου
ὁ ἀγών ἐστιν, ἐν ὑπολόγῳ ταύτας τὰς προκλήσεις ποι-
εῖσθαι. καὶ μὴ ζητεῖτε τούτων ἔτι μείζους πίστεις· οὐ
γὰρ ἂν ἔχοιμι εἰπεῖν ἀλλ' ἢ ταύτας, ὡς οὐδὲν εἰς τοῦ-
τον προὐνοήθην. ἀγανακτῶ δ', ὦ βουλή, εἰ διὰ πόρνην* **19**
*καὶ δούλην ἄνθρωπον περὶ τῶν μεγίστων εἰς κίνδυνον
καθέστηκα, τί κακὸν πώποτε τὴν πόλιν ἢ αὐτὸν τοῦτον
εἰργασμένος, ἢ εἰς τίνα τῶν πολιτῶν ὁτιοῦν ἐξαμαρτών;
οὐδὲν γὰρ ἔμοιγέ ἐστι τοιοῦτον πεπραγμένον, ἀλλ' ἀλο-
γώτατον πάντων κινδυνεύω πολὺ μείζω συμφορὰν ἐμαυ-
τῷ διὰ τούτους ἐπαγαγέσθαι. πρὸς οὖν παίδων καὶ* **20**
*γυναικῶν καὶ θεῶν τῶν τόδε τὸ χωρίον ἐχόντων ἱκετεύω
ὑμᾶς καὶ ἀντιβολῶ, ἐλεήσατέ με, καὶ μὴ περιίδητε ἐπὶ
τούτῳ γενόμενον, μηδὲ ἀνηκέστῳ συμφορᾷ περιβάλητε·
οὐ γὰρ ἄξιος οὔτ' ἐγὼ φεύγειν τὴν ἐμαυτοῦ, οὔτε οὗτος
τοσαύτην δίκην παρ' ἐμοῦ λαβεῖν ὑπὲρ ὧν φησιν ἠδι-
κῆσθαι, οὐκ ἠδικημένος.*

5.

ΥΠΕΡ ΚΑΛΛΙΟΥ ΙΕΡΟΣΥΛΙΑΣ ΑΠΟΛΟΓΙΑ.

Εἰ μὲν περὶ ἄλλου τινὸς ἢ τοῦ σώματος, ὦ ἄνδρες **1**
*δικασταί, Καλλίας ἠγωνίζετο, ἐξήρκει ἄν μοι καὶ τὰ παρὰ
τῶν ἄλλων εἰρημένα· νῦν δέ μοι δοκεῖ αἰσχρὸν εἶναι,
κελεύοντος καὶ δεομένου, καὶ φίλου ὄντος καὶ ἐμοὶ καὶ
ἕως ἔζη τῷ πατρί, καὶ πολλῶν συμβολαίων ἡμῖν πρὸς
ἀλλήλους γεγενημένων, μὴ βοηθῆσαι Καλλίᾳ τὰ δίκαια,*

---

2 *ἐστιν ἐν ὑπολόγῳ* Markl: *ἐστι μὲν ὑπὸ λόγῳ* X
5 *προὐνοήθην* Cont: *προνοηθῆναι* X, quod defendit Gebauer arg. 319 9 *ἀλλ' ἀλογώτατον* Sluiter: *ἀλλὰ λόγῳ τὸ τῶν* X
24 *ἱκετεύοντος καὶ* Hirschig, sed cf. fr. 78, 4

2 ὅπως ἂν δύνωμαι. ἐνόμιζον μὲν οὖν οὕτως μετοικεῖν αὐ-
τὸν ἐν ταύτῃ τῇ πόλει, ὥστε πολὺ πρότερον ἀγαθοῦ τινος
τεύξεσθαι παρ' ὑμῶν ἢ ἐπὶ τοιαύταις αἰτίαις εἰς τοσοῦ-
τον κίνδυνον καταστήσεσθαι· νῦν δὲ οἱ ἐπιβουλεύοντες
οὐχ ἧττον ἐπικίνδυνον ποιοῦσι τὸν βίον τοῖς μηδὲν
3 ἀδικοῦσιν ἢ τοῖς πολλῶν κακῶν αἰτίοις οὖσιν. ὑμᾶς δὲ
ἄξιον μὴ τοὺς μὲν τῶν θεραπόντων λόγους πιστοὺς |
νομίζειν, τοὺς δὲ τούτων ἀπίστους, ἐνθυμουμένους ὅτι
Καλλίᾳ μὲν οὐδεὶς πώποτε οὔτ' ἰδιώτης ἐνεκάλεσεν οὔτε
ἄρχων, οἰκῶν δ' ἐν ταύτῃ τῇ πόλει πολλὰ μὲν ἀγαθὰ ὑμᾶς
ἐποίησεν, οὐδεμίαν δὲ σχὼν αἰτίαν εἰς τοῦτο τῆς ἡλι-
κίας ἀφῖκται, οὗτοι δὲ ἐν ἅπαντι τῷ βίῳ μεγάλα ἡμαρτη-
κότες καὶ πολλῶν κακῶν πεπειραμένοι, ὥσπερ ἀγαθοῦ
τινος αἴτιοι γεγενημένοι περὶ ἐλευθερίας νυνὶ ποιοῦνται
4 τοὺς λόγους. καὶ οὐ θαυμάζω· ἴσασι γὰρ ὅτι, ἐὰν ⟨μὲν⟩
ψευδόμενοι ἐλεγχθῶσιν, οὐδὲν μεῖζον τῶν ὑπαρχόντων
πείσονται, ἐὰν δὲ ὑμᾶς ἐξαπατήσωσι, τῶν παρόντων κα-
κῶν ἔσονται ἀπηλλαγμένοι. καίτοι τοὺς τοιούτους οὔτε
κατηγόρους οὔτε μάρτυρας πιστοὺς χρὴ νομίζειν εἶναι,
οἵτινες αὐτοὶ μεγάλα κερδαίνοντες περὶ ἑτέρων ποιοῦν-
ται τοὺς λόγους, ἀλλὰ πολὺ μᾶλλον ὅσοι τῷ δημοσίῳ
5 βοηθοῦντες εἰς κινδύνους σφᾶς αὐτοὺς καθιστᾶσιν. ἄξιον
δέ μοι δοκεῖ εἶναι οὐ τούτων ἴδιον ἡγεῖσθαι τὸν ἀγῶνα,
ἀλλὰ κοινὸν ἁπάντων τῶν ἐν τῇ πόλει· οὐ γὰρ τούτοις
μόνοις εἰσὶ θεράποντες, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, οἳ
πρὸς τὴν τούτων τύχην ἀποβλέποντες οὐκέτι σκέψονται
ὅ τι ἀγαθὸν εἰργασμένοι τοὺς δεσπότας ἐλεύθεροι γέ-
νοιντο ⟨ἂν⟩, ἀλλ' ὅ τι ψεῦδος περὶ αὐτῶν μηνύσαντες ...

9 οὐδεὶς ⟨οὐδὲν⟩ πώπ. Herw, sed cf. XIX 55 15 μὲν add. F. Müller 18 ἔσονται Ald: ἐῶνται X 20 κερδανοῦντες Markl 28 ἂν post Turicenses hic add. Fuhr, post ὅ τι Scheibe Orationem mancam esse ex Sauppii (ep. crit. 7) sen-

6.

ΚΑΤ' ΑΝΔΟΚΙΔΟΥ ΑΣΕΒΕΙΑΣ.

. . . ἔδησε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ ὡς 1
ἀποδιδούς, τῇ δ' ἐπιούσῃ νυκτὶ ὑφείλετο. οὗτος οὖν ὁ ταῦτα ποιήσας θανάτῳ τῷ ἀλγίστῳ ἀπώλετο, λιμῷ· πολλῶν γὰρ καὶ ἀγαθῶν αὐτῷ ἐπὶ τὴν τράπεζαν παρατιθεμένων ὄζειν ἐδόκει τοῦ ἄρτου καὶ τῆς μάζης κάκιστον,
καὶ οὐκ ἐδύνατο ἐσθίειν. καὶ ταῦτα πολλοὶ ἡμῶν ἤκουον 2
τοῦ ἱεροφάντου λέγοντος. δίκαιον οὖν μοι δοκεῖ εἶναι 3
νῦν ἐπὶ τούτῳ τὰ τότε λεχθέντα ἀναμνῆσαι, καὶ μὴ μόνον τοὺς τούτου φίλους ὑπὸ τούτου καὶ τῶν τούτου λόγων ἀπόλλυσθαι, ἀλλὰ καὶ αὐτὸν τοῦτον ὑφ' ἑτέρου.
Ἀδύνατον δὲ καὶ ὑμῖν ἐστι, περὶ τοιούτου πράγματος φέρουσι τὴν ψῆφον, ἢ κατελεῆσαι ἢ καταχαρίσασθαι Ἀνδοκίδῃ, ἐπισταμένοις ὅτι ἐναργῶς τὼ θεὼ τούτω τιμωρεῖτον τοὺς ἀδικοῦντας· ἐλπίσαι οὖν χρὴ πάντα ἄνθρωπον ταὐτὰ καὶ ἑαυτῷ καὶ ἑτέρῳ ἔσεσθαι. φέρε γάρ, 4
ἐὰν νυνὶ Ἀνδοκίδης ἀθῷος ἀπαλλαγῇ ⟨δι'⟩ ὑμᾶς ἐκ τοῦδε τοῦ ἀγῶνος καὶ ἔλθῃ κληρωσόμενος τῶν ἐννέα ἀρχόντων

---

tentia indicavi. Desunt libri X folia duo 2 Or. VI. Titulum Tayl. supplevit ex Harpocratione s. v. καταπλήξ, ῥόπτρον, φαρμακός: titulum eundem X praebet in orationum indice 3 ἔδησε . . . ἱεροῦ Harp. s. ῥόπτρον, X incipit: πον ἐκ 5 λιμῷ del. Roegholt 9 post λέγοντος sequuntur: ὅτι Ἀνδοκίδης μηνύων τοὺς αὐτοῦ (αὑτοῦ X) συγγενεῖς καὶ φίλους ἀπώλλυε (ἀπολλύων X), φάσκων αὐτοὺς συνεργοὺς εἶναι, damnavit Rs 12 ὑφ' ἑαυτοῦ ⟨μηνυθῆναι⟩ Auger 15 τιμωρεῖτον Dobr: τιμωρεῖτε X, τιμωροῦνται Sauppe, τιμωρεῖσθαι deleto ὅτι, quod antecedit, Scheibe 17 ταὐτὰ scripsi: ὄντα X, τιμωρὸν Sauppe, Dobr lacunam post ἔσεσθαι esse vult: ἀγαθὰ ἢ κακὰ τιμωρουμένῳ ἢ ἀμελήσαντι, tamen ἐλπίσαι κτλ. fortasse eidem grammatico debetur, cui § 2 18 δι' add. Scheibe ὑμᾶς scripsi cum libro E: ἡμᾶς X, ἡμῶν Ald, ἡμῖν Halb, ζημίας P. Müller

καὶ λάχῃ βασιλεύς, ἄλλο τι ἢ ὑπὲρ ὑμῶν καὶ θυσίας θύσει καὶ εὐχὰς εὔξεται κατὰ τὰ πάτρια, τὰ μὲν ἐν τῷ ἐνθάδε Ἐλευσινίῳ, τὰ δὲ ἐν τῷ Ἐλευσῖνι ἱερῷ, καὶ τῆς ἑορτῆς ἐπιμελήσεται μυστηρίοις, ὅπως ἂν μηδεὶς ἀδικῇ μηδὲ ἀσεβῇ περὶ τὰ ἱερά; καὶ τίνα γνώμην οἴεσθε ἕξειν
6 τοὺς μύστας τοὺς ἀφικνουμένους, ἐπειδὰν ἴδωσι τὸν βασιλέα ὅστις ἐστὶ καὶ ἀναμνησθῶσι πάντα τὰ ἠσεβημένα αὐτῷ, ἢ τοὺς ἄλλους Ἕλληνας, οἳ ἕνεκα ταύτης τῆς ἑορτῆς ⟨δεῦρο ἔρχονται⟩ ἢ θύειν εἰς ταύτην τὴν πανήγυριν
6 βουλόμενοι ἢ θεωρεῖν; οὐδὲ γὰρ ἀγνὼς ὁ Ἀνδοκίδης οὔτε τοῖς ἔξω οὔτε τοῖς ἐνθάδε διὰ τὰ ἠσεβημένα. ἀναγκαίως γὰρ ἔχει ἀπὸ τῶν πολὺ διαφερόντων ἢ κακῶν ἢ ἀγαθῶν ἔργων τοὺς ποιήσαντας γιγνώσκεσθαι. ἔπειτα δὲ καὶ διώχληκε πόλεις πολλὰς ἐν τῇ ἀποδημίᾳ, Σικελίαν, Ἰταλίαν, Πελοπόννησον, Θετταλίαν, Ἑλλήσποντον, Ἰωνίαν, Κύπρον· βασιλέας πολλοὺς κεκολάκευκεν, ᾧ ἂν
7 ξυγγένηται, πλὴν τοῦ Συρακοσίου Διονυσίου. οὗτος δὲ ἢ πάντων εὐτυχέστατός ἐστιν ἢ πλεῖστον γνώμῃ διαφέρει τῶν ἄλλων, ὃς μόνος τῶν συγγενομένων Ἀνδοκίδῃ οὐκ ἐξηπατήθη ὑπ' ἀνδρὸς τοιούτου, ὃς τέχνην ταύτην ἔχει, τοὺς μὲν ἐχθροὺς μηδὲν ποιεῖν κακόν, τοὺς δὲ φίλους

---

1 ὑμῶν scripsi e X, qui praebet ἡμῶν superscripto ὑ. θυσίας θύσει Cob: θυσιάσουσι X 2 εὔξεται C: εὔχεται X 3 Ἐλευσινίῳ et Ἐλευσῖνι Palmer: ἐλευσῖνι . . . ἐλευσινίῳ X, τὰ μὲν ἐνθάδε, τὰ δ' Ἐλευσῖνι, καὶ τῆς Halb 9 δεῦρο ἔρχονται add. Rs coll. And. I 32, πάρεισι Markl, ἐπιδημοῦσι Cob, pro ἢ θύειν deleto ἢ altero, ἦλθον post Taylorum Baiter, ἥξουσι Dobr, qui ἕν. ταύτ. τ. ἑορτ. ante 6 ἀφικνουμένους transp. malit. 11 διὰ τὰ ἠσεβημένα . . . 13 γιγνώσκεσθαι del. Hirschig, ἔργων del. Francken 14 διηνώχληκε vel ἠνώχληκε Herw, sed cf. Demosth. XIX 329 16 ἐξαπατήσας ante ᾧ ἂν add. Herw ὅσοις συγγεγένηται (sec. Taylorum) Rauch, ὅτῳ οὖν συγγεγέν. Scheibe, sed cf. Isae. IV 27 17 συρακουσίου X 18 πλεῖστον C, Steph: πλείστων X 19 ὃς C: ὡς X, quod prob. Fuhr 21 κακὸν priore loco del. Valckenaer,

ὅ τι ἂν δύνηται κακόν. ὥστε μὰ τὸν Δία οὐ ῥᾴδιόν ἐστιν ὑμῖν αὐτῷ οὐδὲν χαρισαμένοις | παρὰ τὸ δίκαιον λαθεῖν τοὺς Ἕλληνας.

Νῦν οὖν ὑμῖν ἐν ἀνάγκῃ ἐστὶ βουλεύσασθαι περὶ αὐ- 8
τοῦ· εὖ γὰρ ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ οἷόν τε ὑμῖν ἐστιν ἅμα τοῖς τε νόμοις τοῖς πατρίοις καὶ Ἀνδοκίδῃ χρῆσθαι, ἀλλὰ δυοῖν θάτερον, ἢ τοὺς νόμους ἐξαλειπτέον ἐστὶν ἢ ἀπαλλακτέον τοῦ ἀνδρός. εἰς τοσοῦ- 9
τον δὲ τόλμης ἀφῖκται, ὥστε καὶ λέγει περὶ τοῦ νόμου, ὡς καθῄρηται ὁ περὶ αὐτοῦ κείμενος καὶ ἔξεστιν αὐτῷ ἤδη εἰσιέναι εἰς τὴν ἀγορὰν καὶ εἰς τὰ ἱερά. ⟨ἄλλως γὰρ εἶναι⟩ ἂν ἔτι καὶ νῦν Ἀθηναίων ἐν τῷ βουλευτηρίῳ. καίτοι Περικλέα ποτέ φασι παραινέσαι ὑμῖν περὶ τῶν 10
ἀσεβούντων, μὴ μόνον χρῆσθαι τοῖς γεγραμμένοις νόμοις περὶ αὐτῶν, ἀλλὰ καὶ τοῖς ἀγράφοις, καθ' οὓς Εὐμολπίδαι ἐξηγοῦνται, οὓς οὐδείς πω κύριος ἐγένετο καθελεῖν οὐδὲ ἐτόλμησεν ἀντειπεῖν, οὐδὲ αὐτοὶ τὸν θέντα ἴσασιν· ἡγεῖσθαι γὰρ ἂν αὐτοὺς οὕτως οὐ μόνον τοῖς ἀνθρώποις ἀλλὰ καὶ τοῖς θεοῖς διδόναι δίκην. Ἀνδοκίδης δὲ το- 11
σοῦτον καταπεφρόνηκε τῶν θεῶν καὶ ὧν ἐκείνοις δεῖ τιμωρεῖν, ὥστε πρὶν [μᾶλλον ἢ ἧττον] ἢ ἐπιδεδημηκέναι δέκα ἡμέρας ἐν τῇ πόλει προσεκαλέσατο δίκην ἀσεβείας

---

posteriore Tayl, ubi Emperius *δεινότατον* vel *ἄλγιστον* proponit, defendit Gebauer Lys. I 373; tamen malim *μηδὲν κακὸν . . . δύνηται ποιεῖν* 2 *οὐδὲν* abesse malit Rs 4 *ὑμῖν ἐπάναγκές ἐστι* Halb, *ὑμ. ἀνάγκη ἐστι* Cob *περὶ αὐτῶν* Francken 6 *ὑμῖν* ex *ἡμῖν* corr., ut videtur, X 11 *ἄλλως γὰρ εἶναι* addidi cf. And. I 71 sq., . . . *⟨ἑστηκυῖ⟩αν ἔτι* Cobet, *ὢν ἔτι* Emperius coll. And. I 95 et 103, *ἀνατί* Rs 12 *βουλευτηρίῳ* cf. And. II 23 15 *περὶ αὐτῶν* del. Herw 17 *αὐτοὶ* P. Müller: *αὐτὸν* X, *αὐτοὺς* Rs, *αὖ* Roegholt, del. Hartman 18 *ἡγεῖσθε* Sauppe 21 *τιμωρῶν* pp. Westermann *μᾶλλον ἢ ἧττον* del. Taylor

*πρὸς τὸν βασιλέα, καὶ ἔλαχεν Ἀνδοκίδης ⟨ὢν⟩ καὶ πε-
ποιηκὼς ἃ οὗτος πεποίηκε περὶ τοὺς θεοὺς καὶ (ἵνα
μᾶλλον πρόσσχητε τὸν νοῦν) φάσκων τὸν Ἄρχιππον ἀσε-*
12 *βεῖν περὶ τὸν Ἑρμῆν τὸν αὑτοῦ πατρῷον. ὁ δὲ Ἄρχιππος
ἠντεδίκει ἦ μὴν τὸν Ἑρμῆν ὑγιᾶ τε καὶ ὅλον εἶναι, καὶ
μηδὲν παθεῖν ὧνπερ οἱ ἄλλοι Ἑρμαῖ· ὅμως μέντοι ἵνα
μὴ ὑπὸ τούτου τοιούτου ὄντος πράγματ' ἔχοι, δοὺς ἀρ-
γύριον ἀπηλλάγη. καίτοι ὁπότε οὗτος παρ' ἑτέρου ἠξίωσε
δίκην ἀσεβείας λαβεῖν, ἦ που ἑτέρους γε παρὰ τούτου
λαβεῖν δίκαιον καὶ εὐσεβές ἐστιν.*

13 *Ἀλλὰ λέξει δεινὸν εἶναι, εἰ ὁ μὲν μηνυτὴς τὰ ἔσχατα
πείσεται, οἱ δὲ μηνυθέντες τῶν αὐτῶν ὑμῖν ἐπίτιμοι
ὄντες μεθέξουσι. καίτοι οὐχ ὑπὲρ αὑτοῦ ἀπολογήσεται,
ἀλλὰ καὶ τῶν ἄλλων κατηγορήσει. τοὺς μὲν οὖν ἄλλους
οἱ ἐπιτάξαντες καταδέξασθαι ἀδικοῦσι ⟨καὶ⟩ τοῦ αὐτοῦ
ἀσεβήματος αἴτιοί εἰσιν· εἰ δ' ὑμεῖς αὐτοκράτορες ἤδη
ἔσεσθε οἱ ἀφελόντες τὰς τιμωρίας τῶν θεῶν, ἀλλ' ⟨οὐχ⟩
οὗτοι αἴτιοι ἔσονται. ὑμεῖς οὖν μὴ βούλεσθε εἰς ὑμᾶς τὴν
αἰτίαν ταύτην περιτρέψαι, ἐξὸν τὸν ἀδικοῦντα κολάσασιν*

---

1 *Ἀνδοκίδης* del. Scheibe vel pp. *Ἀρχίππῳ* *ὢν* add. Rs cf. Ar. Ran. 363 *καίπερ πεπ.* Bergk apud Scheibium obs. 42 3 *πρόσσχητε* Tur: *πρόσχητε* X *Ἄρχιππον* Palmer: *Ἀρίστιππον* X, dicit Hermam Archippi cf. Kirchhoff Herm I 7 5 *ἠντιδ.* X 7 *πράγματ'* Bekker: *πρᾶγμα* X 12 *ἐπίτιμοι ὄντες* del. Scheibe 13 *μεθέξουσι* cf. Gentsch, de enuntiatorum condic. etc. Diss. Jen. IV 301 *καὶ οὐχ ὑπὲρ* Tayl, *καίτοι πῶς οὐχὶ δεινὸν εἰ οὐ μόνον οὐχ ὑπὲρ* Rs, *καὶ οὐχ ὅπως ὑπὲρ* Sluiter 14 *καὶ* del. Dobr, *ἀλλ' ἤδη τῶν* Scheibe 15 *καὶ* om. X, add. C 16 *ἤδη ἔσεσθε* scripsi cf. § 9: *ἦτε καὶ ἐστὲ* X, *ἦ γε καὶ ἔστε* Emperius Op. 59, *ἔστε, ὑμεῖς οἱ* Sauppe, *αὐτοκρ. ὄντες αὐτοί ἐστε* Rs, *αὐτοκρ. ὄντες . . . νῦν δ' οὐχ ὑμεῖς ἐστε* Dobr, *αὐτοκρ. ὄντες αὐτῷ συγγνώμην ἔχετε, αὐτοί ἐστε* P. Müller, *αὐτοκρ. ἀφήσετε, ὑμεῖς ἔσεσθε* Francken, *αὐτὸν κρατοῦντες ἀφήσετε* Herw 17 *ἀνελόντες* Rs *οὐχ* add. Rs, qui pp. *ὑμεῖς αὐτοί, ἀλλ' οὐχ οὗτοι* 18 *αἴτιοι ἔσονται* del. olim Herw

ἀπηλλάχθαι. ἔπειτα δ' ἐκεῖνοι μὲν ἀρνοῦνται τὰ μεμη- 14
νυμένα, οὗτος δὲ ὁμολογεῖ ποιῆσαι. καίτοι καὶ ἐν Ἀρείῳ πάγῳ, ἐν τῷ σεμνοτάτῳ καὶ δικαιοτάτῳ δικαστηρίῳ, ὁμολογῶν μὲν ἀδικεῖν ἀποθνῄσκει, ἐὰν δὲ ἀμφισβητῇ, ἐλέγχεται, καὶ πολλοὶ οὐδὲν ἔδοξαν ἀδικεῖν. οὔκουν ὁμοίαν χρὴ γνώμην ἔχειν περί τε τῶν ἀρνουμένων καὶ περὶ
τῶν ὁμολογούντων. δεινὸν δέ μοι δοκεῖ εἶναι· ἐὰν μέν 15
τις ἀνδρὸς σῶμα τρώσῃ, κεφαλὴν ἢ πρόσωπον ἢ χεῖρας ἢ πόδας, οὗτος μὲν ⟨κατὰ⟩ τοὺς νόμους τοὺς ἐξ Ἀρείου ⟨πάγου⟩ φεύξεται τὴν τοῦ ἀδικηθέντος πόλιν, καὶ ἐὰν κατίῃ, ἐνδειχθεὶς θανάτῳ ζημιωθήσεται· ἐὰν δέ τις τὰ αὐτὰ ταῦτα ἀδικήσῃ τὰ ἀγάλματα τῶν θεῶν, οὐδ' αὐτῶν κωλύσετε τῶν ἱερῶν ἐπιβαίνειν ἢ εἰσιόντα ⟨οὐ⟩ τιμωρήσεσθε; καὶ μὲν δὴ τούτων καὶ δίκαιον καὶ ἀγαθόν ἐστιν ἐπιμελεῖσθαι, ὑφ' ὧν καὶ εὖ καὶ κακῶς δυνήσεσθε
πάσχειν. φασὶ δὲ καὶ τῶν Ἑλλήνων πολλοὺς διὰ τὰ ἐν- 16
θάδε ἀσεβήματα ἐκ τῶν παρ' αὐτοῖς ἱερῶν ἐξείργειν. ὑμεῖς δὲ αὐτοὶ οἱ ἀδικηθέντες περὶ ἐλάττονος ποιεῖσθε
τὰ παρ' ὑμῖν νόμιμα ἢ ἕτεροι τὰ ὑμέτερα. τοσοῦτο δ' 17
οὗτος Διαγόρου τοῦ Μηλίου ἀσεβέστερος γεγένηται· ἐκεῖνος μὲν γὰρ λόγῳ περὶ τὰ ἀλλότρια ἱερὰ καὶ ἑορτὰς

---

3 *ἐν* ante *τῷ* del. Cob *ὁ μὲν ὁμολ.* Francken, *μέν ⟨τις⟩* Cob 5 *πολλοὶ* C: *πολλοῦ* X *οὐδὲν ἔδοξαν* Markl: *οὐδὲ δόξαν* X, *οὐδ' ἔδοξαν* C, *καὶ ἀπολύεται οὐδὲν δόξας ἀδ.* Tayl, *πολλοὺς ἤδη ἀφῆκαν οὐδὲν δόξαντας* Rs *οὔκοῦν ⟨ὑμᾶς⟩* Valckenaer 7 *ὁμολογούντων* Rs: *ὁμολογουμένων* X 9 *οὗτος* Dobr: *αὐτὸς* X *κατὰ* add. C 10 *πάγου* add. K, *τοὺς ἐξ Ἀρ. π.* del. Dobr post *πόλιν* in libris: *ἢ τραύματος ἐκ προνοίας*, quae del. Tayl 11 ante *κατίῃ* in X est *μὲν*, quod del. C *ζημιώσεται* Cob 12 *οὐδ'*] *οὐκ* Tayl, *οὔτ'* Cob *αὐτὸν* Markl 13 *ἢ*] *οὔτ'* Cob *οὐ* add. Ald 16 *αὐτὸν* inserunt post *πολλοὺς* Rs (*τοῦτον* olim Herw), ante *ἐκ* Halb, post 17 *ἱερῶν* Rs 17 *παρ' αὐτοῖς* Francken 18 *ποιήσεσθε* interrogative Cont 19 *τὰ ὑμέτερα* del. Halb, quae necessaria videntur, ne subaudias *τὰ παρ' αὐτοῖς*

ἠσέβει, οὗτος δὲ ἔργῳ περὶ τὰ ἐν τῇ αὑτοῦ πόλει. ὀργίζεσθαι οὖν χρή, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἀστοῖς ἀδικοῦσι μᾶλλον ἢ τοῖς ξένοις περὶ ταῦτα [τὰ ἱερά]· τὸ μὲν γὰρ
18 ὥσπερ ἀλλότριόν ἐστιν ἁμάρτημα, τὸ δ' οἰκεῖον. καὶ μὴ οὓς μὲν ἔχετε ἀδικοῦντας ἀφίετε, τοὺς δὲ φεύγοντας ζητεῖτε συλλαμβάνειν, ἐπικηρύττοντες τάλαντον ἀργυρίου δώσειν τῷ | ἀπάγοντι ἢ ἀποκτείναντι. εἰ δὲ μή, δόξετε τοῖς Ἕλλησι κομπάζειν μᾶλλον ἢ τιμωρεῖσθαι βούλεσθαι.
19 ἐπεδείξατο δὲ καὶ τοῖς Ἕλλησιν ὅτι θεοὺς οὐ νομίζει. οὐ γὰρ ὡς δεδιὼς τὰ πεποιημένα, ἀλλ' ὡς θαρρῶν, ναυκληρίᾳ ἐπιθέμενος τὴν θάλατταν ἔπλει. ὁ δὲ θεὸς ὑπῆγεν αὐτόν, ἵνα ἀφικόμενος εἰς τὰ ἁμαρτήματα ἐπὶ τῇδε
20 τῇ προφάσει δοίη δίκην. ἐλπίζω μὲν οὖν αὐτὸν καὶ δώσειν δίκην, θαυμάσιον δὲ οὐδὲν ἄν μοι γένοιτο. οὔτε γὰρ ὁ θεὸς παραχρῆμα κολάζει, [ἀλλ' αὕτη μέν ἐστιν ἀνθρωπίνη δίκη] — πολλαχόθεν δὲ ἔχω τεκμαιρόμενος εἰκάζειν, ὁρῶν καὶ ἑτέρους ἠσεβηκότας χρόνῳ δεδωκότας δίκην, καὶ τοὺς ἐξ ἐκείνων διὰ τὰ τῶν προγόνων ἁμαρτήματα — ἐν δὲ τούτῳ τῷ χρόνῳ δέη πολλὰ καὶ κινδύνους ὁ θεὸς ἐπιπέμπει τοῖς ἀδικοῦσιν, ὥστε πολλοὺς ἤδη ἐπιθυμῆσαι τελευτήσαντας τῶν κακῶν ἀπηλλάχθαι. ὁ

---

1 τὰ ἐν Ald: τὰς ἐν X 3 τὰ ἱερὰ del. Valckenaer 5 οὓς ex οὖν a pr. m. corr. X[s] 7 ἀγαγόντι Dobr coll. Thuc. VIII 5, ἀπαγαγόντι E et Francken 12 εἰς τὰ ἁμ. sc. in scelerum suorum theatrum, διὰ τὰ ἁμ. coll. And. I 113. 137 Emperius, verba del. Dobr, εἰς . . . τὰ ἁμ. Westermann, εἰς ἃ ἡμάρτητο αὐτῶν Kayser τῇδε τῇ scripsi: τῇ ἐμῇ X, τιμῆς coll. And. II 13 Markl 13 προφάσει] προσκλήσει Kayser, προστασίᾳ Zutt coll. And. I 139 δώη X καὶ] αὐτίκα vel ἤδη Dobr 14 δίκην del. Dobr θαυμαστὸν Valckenaer, sed cf. Isae. I 28, [Demosth] LVIII 63 ἄν μοι] εἰ μὴ de Reiskii sententia Herw, ἂν εἴη εἰ μὴ P. Müller post γένοιτο Cob addere malit εἰ νῦν ἀποφύγοι οὔτε] οὐδὲ Rs 15 ἀλλ' . . . 16 δίκη del. Halb 18 καὶ ⟨αὐτοὺς καὶ⟩ τοὺς Francken, καὶ τοὺς . . . ἁμαρτ. del. Kayser

*δὲ θεὸς τέλος τούτῳ λυμηνάμενος τῷ βίῳ θάνατον ἐπέ-
θηκε.*

Σκέψασθε δὲ καὶ αὐτοῦ Ἀνδοκίδου τὸν βίον, ἀφ' οὗ 21
*ἠσέβηκε, καὶ εἴ τις τοιοῦτος ἕτερός ἐστιν. Ἀνδοκίδης
γὰρ ἐπειδὴ ἥμαρτεν, ἐξ ἐπιβολῆς εἰσαχθεὶς εἰς τὸ δικα-
στήριον, ἔδησεν ἑαυτὸν τιμησάμενος δεσμοῦ, εἰ μὴ παρα-
δοίη τὸν ἀκόλουθον· εὖ δ' ᾔδει οὐ δυνησόμενος παρα-* 22
*δοῦναι, ὃς διὰ τοῦτον καὶ τὰ τούτου ἁμαρτήματα ἀπέ-
θανεν, ἵνα ⟨μὴ⟩ μηνυτὴς γένοιτο. καίτοι πῶς οὐ θεῶν
τις τὴν τούτου γνώμην διέφθειρεν, ὃς ῥᾷον ἡγήσατο
δεσμοῦ τιμήσασθαι ἢ ἀργυρίου ἐπ' ἐλπίδι τῇ αὐτῇ; ἐκ* 23
*δ' οὖν τούτου τοῦ τιμήματος ἐδέδετο ἐγγὺς ἐνιαυτόν,
καὶ ἐμήνυσε δεδεμένος κατὰ τῶν αὑτοῦ συγγενῶν καὶ
φίλων, ἀδείας δοθείσης αὐτῷ, εἰ δόξειε τἀληθῆ μηνῦσαι.
καὶ τίνα αὐτὸν δοκεῖτε ψυχὴν ἔχειν, ὁπότε τὰ μὲν ἔσχατα
καὶ τὰ αἴσχιστα ἐποίει μηνύων κατὰ τῶν ἑαυτοῦ φίλων,
ἡ δὲ σωτηρία ἀφανὴς αὐτῷ; μετὰ δὲ ταῦτα, ἐπειδὴ ἀπ-* 24
*εκτονὼς ἦν οὓς αὐτὸς ἔφη περὶ πλείστου ποιεῖσθαι,
ἔδοξε τἀληθῆ μηνῦσαι καὶ ἐλύθη, καὶ προσεψηφίσασθε
ὑμεῖς αὐτὸν εἴργεσθαι τῆς ἀγορᾶς καὶ τῶν ἱερῶν, ὥστε
μηδ' ἀδικούμενον ὑπὸ τῶν ἐχθρῶν δύνασθαι δίκην λα-*

---

1 ⟨*οὐδὲ*⟩ *τέλος* Rs, *διὰ τέλους* Francken *τούτων* Scal *θάνατον*] *ἐλεινὸν* malim, *βίαιον θάν.* Francken 4 *καὶ* del. Rs 5 *ἐπιβολῆς* Tayl: *ἐπιβουλῆς* X cf. Siegfried, de multa quae *ἐπιβ.* dicitur 52 6 *ἔδησεν* Steph: *ἐδέησεν* X, *λέληθεν* Valckenaer, *ἀπώλεσεν* Dobr 8 *ἀπέθανεν*] *ἀπέδρα* Zaka 9 *μὴ* add. Steph 11 *ἢ ἀργυρίου* Tayl: *μαρτυρίου* X 14 *ἀδείας* cf. And. II 23 15 *καίτοι τίνα* Dobr *ἔχειν* C: *ἐμὴν* X 16 *καὶ τὰ αἴσχιστα* del. Rs, *ἔσχατα καὶ τὰ* del. Cob 17 ⟨*ἦν*⟩ *αὐτῷ* Tayl 18 *ἦν* et 19 *καὶ* (ante *προσεψ.*) del. Dobr 19 *προσεψηφ.* cf. And. II 24 20 *ἱερῶν* a m. sec. in margine X: *γερῶν* X 21 *μηδ'* Rs: *μὴ* X *ἀδικούμενον* Cont: *ἀδικουμένῳ* X, quo servato *ἐκγενέσθαι* pro *δύνασθαι* proponit Dobr

25 *βεῖν. οὐδεὶς γάρ πω, ἐξ ὅσου Ἀθῆναι ἀείμνηστοί εἰσιν,*
ἐπὶ τοιαύτῃ αἰτίᾳ ἠτιμώθη. δικαίως· οὐδὲ γὰρ ἔργα
τοιαῦτα οὐδείς πω ἠργάσατο. καὶ τούτων πότερα τοὺς
26 *θεοὺς χρὴ ἢ τὸ αὐτόματον αἰτιᾶσθαι; μετὰ δὲ ταῦτα*
ἔπλευσεν ὡς τὸν Κιτιῶν βασιλέα, καὶ προδιδοὺς ληφθεὶς
ὑπ᾽ αὐτοῦ ἐδέθη, καὶ οὐ μόνον τὸν θάνατον ἐφοβεῖτο
ἀλλὰ καὶ τὰ καθ᾽ ἡμέραν αἰκίσματα, οἰόμενος τὰ ἀκρω-
27 *τήρια ζῶντος ἀποτμηθήσεσθαι. ἀποδρὰς δὲ ἐκ τούτου*
τοῦ κινδύνου κατέπλευσεν εἰς τὴν ἑαυτοῦ πόλιν ἐπὶ τῶν
τετρακοσίων· ⟨τοσαύτην γὰρ ὁ⟩ θεὸς λήθην ἔδωκεν,
ὥστε εἰς τοὺς ἠδικημένους αὐτοὺς ἐπεθύμησεν ἀφικέσθαι.
ἀφικόμενος δὲ ἐδέθη καὶ ᾐκίσθη, ἀπώλετο δὲ οὐχί, ἀλλ᾽
28 *ἐλύθη. ἔνθεν δὲ ἔπλευσεν ὡς Εὐαγόραν τὸν Κύπρου*
βασιλεύοντα, καὶ ἀδικήσας εἵρχθη. ἀποδρὰς δὲ καὶ τοῦ-
τον ἔφευγε μὲν τοὺς ἐνθάδε θεούς, ἔφευγε δὲ τὴν ἑαυ-
τοῦ πόλιν, ἔφευγε δὲ εἰς οὓς τὸ πρῶτον ἀφίκοιτο τόπους.
καίτοι τίς χάρις τῷ βίῳ, κακοπαθεῖν μὲν πολλάκις, ἀνα-
29 *παύσασθαι δὲ μηδέποτε; καταπλεύσας δὲ ἐκεῖθεν δεῦρο*
εἰς δημοκρατίαν [εἰς τὴν αὐτοῦ πόλιν] τοῖς μὲν πρυ-
τάνεσιν ἔδωκε χρήματα, ἵνα αὐτὸν προσαγάγοιεν ἐνθάδε,
ὑμεῖς δ᾽ αὐτὸν ἐξηλάσατε ἐκ τῆς πόλεως, τοῖς θεοῖς βε-

---

1 *πω* Rs: *που* X   *ὅτου* Cob   *Ἀθῆναι* Bekker: *Ἀθηναίων* X, *Ἀθῆναι αἱ* Halb   2 *δικαίως* malim transponi ante 1 *οὐδεὶς γὰρ*   5 *κιττιέων* X   *προδιδούς*, obiectum desiderat Rs   8 *ζῶν* Cob   9 *ἐπὶ* Tayl: *ἐπεὶ* X   10 *γὰρ* add. Tayl, *τοσαύτην* et *ὁ* Markl, qui prop. *ὁ δὲ θεὸς τοσαύτην τούτῳ, τοσαύτην δὲ αὐτῷ τῶν ἀσεβημάτων* Scheibe   11 *αὐτὸς ἐπεθ.* Tayl   12 *ἐδέθη* cf. And. II 15   13 *ἐνθένδε δὲ* Dobr   14 *εἵρχθη* Scheibe: *εἵρχθη* X   *ἀποδρὰς δὲ καὶ* Rs: *ἀποδράσας* X   16 *τὸ πρῶτον*] *πορευόμενος* Herw   *ἀφίκετο* Tayl, *ἀφῖκτο* Kayser   18 *δ᾽ ἔπειτα δεύτερον εἰς* Sluiter   19 *ἐπὶ δημοκρατίας* Dobr, *οὔσης δημ.* Emperius   *εἰς . . . πόλιν* del. Dobr, *εἰς δημοκρατουμένην τὴν αὐτοῦ πόλιν* Tayl cf. And. I 88   *πρυτάνεσιν* Dobr: *πρυτανεῦσιν* X   20 *ἐνθάδε* C, Scal: *ἐνθένδε* X   21 *τοῖς θεοῖς*] *τοῖς ἔργοις* Markl,

βαιοῦντες τοὺς νόμους οὓς ἐψηφίσασθε. καὶ τὸν ἄνδρα 30
οὐ δῆμος, οὐκ ὀλιγαρχία, οὐ τύραννος, οὐ πόλις ἐθέλει
δέξασθαι διὰ τέλους, ἀλλὰ πάντα τὸν χρόνον, ἐξ ὅσου
ἠσέβησεν, ἀλώμενος διάγει, πιστεύων ἀεὶ μᾶλλον τοῖς
ἀγνῶσι τῶν γνωρίμων διὰ τὸ ἠδικηκέναι οὓς γιγνώσκει.
τὸ δὲ τελευταῖον νῦν ἀφικόμενος εἰς τὴν πόλιν δὶς ἐν
τῷ αὐτῷ ἐνδέδεικται. καὶ τὸ μὲν σῶμα ἀεὶ ἐν δεσμοῖς 31
ἔχει, ἡ δὲ οὐσία αὐτοῦ ἐλάττων ἐκ τῶν κινδύνων γίγνε-
ται. καίτοι ὅταν τις τὸν αὑτοῦ βίον τοῖς ἐχθροῖς καὶ
τοῖς συκοφάνταις διανέμῃ, τοῦτ' ἔστι τὸ ζῆν βίον ἀβίω-
τον. ἃ τούτῳ | ὁ θεὸς οὐκ ἐπὶ σωτηρίᾳ ἐπινοεῖν δίδωσιν,
ἀλλὰ τιμωρούμενος τῶν γεγενημένων ἀσεβημάτων. τὸ 32
δὲ τελευταῖον νυνὶ παραδέδωκεν αὐτὸν ὑμῖν χρῆσθαι ὅ
τι ἂν βούλησθε, οὐ τῷ μὴ ἀδικεῖν πιστεύων, ἀλλ' ὑπὸ
δαιμονίου τινὸς ἀγόμενος ἀνάγκης. οὔκουν χρὴ μὰ τὸν
Δία οὔτε πρεσβύτερον ὄντα οὔτε νεώτερον, ὁρῶντας Ἀν-
δοκίδην ἐκ τῶν κινδύνων σῳζόμενον, συνειδότας αὐτῷ
ἔργα ἀνόσια εἰργασμένῳ, ἀθεωτέρους γίγνεσθαι, ἐνθυ-
μουμένους ὅτι ἥμισυς ὁ βίος βιῶναι κρείττων ἀλύπως
ἐστὶν ⟨ἢ⟩ διπλάσιος λυπουμένῳ, ὥσπερ οὗτος.

Εἰς τοσοῦτον δὲ ἀναισχυντίας ἀφῖκται, ὥστε καὶ πα- 33
ρασκευάζεται τὰ πολιτικὰ πράττειν καὶ ἤδη δημηγορεῖ

χαριζόμενοι τοῖς θεοῖς καὶ βεβ. Scheibe, τοῖς θεοῖς κεχαρισμένα ποιοῦντες καὶ P. Müller 1 ⟨τοῦτον⟩ τὸν ci. Hude 2 οὐ πόλις del. Herw 3 ὅσου a pr. m. ex ὅτου corr. X, ὅτου Cob 4 ἠσέβηκεν Scheibe, coll. § 21 7 αὐτῷ ⟨ἐνιαυτῷ⟩ Rs, sed cf. [XX 35] 9 καίτοι Markl: καὶ X αὑτοῦ a pr. m. ex αὐτὸν X 10 ζῆν Cob: τὸν X, ⟨βιοῦν⟩ τὸν Steph, τὸν βίον ⟨βιοῦν⟩ Scheibe 11 ἐπινοῶν vir doctus apud Tayl 15 δαιμονίας P. Müller, coll. Isocr. XII 169 ἀνάγκῃ Cob 16 ὁρῶντα X 19 ἥμισυς a m. sec. corr. in ἥμισος X κρείττων C: κρεῖττον X ἀλύπῳ Steph 20 ἢ add. C 21 τὰ πολιτικὰ πράττειν Valckenaer: τῇ πόλει καὶ πράττει X, τὰ τῆς πόλεως πράττειν Tayl

*καὶ ἐπιτιμᾷ καὶ ἀποδοκιμάζει τῶν ἀρχόντων τισί, καὶ
συμβουλεύει εἰς τὴν βουλὴν εἰσιὼν περὶ θυσιῶν καὶ
προσόδων καὶ εὐχῶν καὶ μαντειῶν. καίτοι τούτῳ πει-
θόμενοι ποίοις θεοῖς ἡγήσεσθε κεχαρισμένα ποιεῖν; μὴ
γὰρ οἴεσθε, ὦ ἄνδρες δικασταί, εἰ ὑμεῖς βούλεσθε τὰ
τούτῳ πεποιημένα ἐπιλαθέσθαι, καὶ τοὺς θεοὺς ἐπιλή-*
34 *σεσθαι. ἀξιοῖ δὲ οὐχ ὡς ἠδικηκὼς ἡσυχίαν ἔχων πολι-
τεύεσθαι, ἀλλ' ὥσπερ αὐτὸς ἐξευρὼν τοὺς τὴν πόλιν
ἀδικήσαντας, οὕτω διανοεῖται, καὶ παρασκευάζεται ὅπως
ἑτέρων μεῖζον δυνήσεται, ὥσπερ οὐ διὰ πρᾳότητα καὶ
ἀσχολίαν τὴν ὑμετέραν οὐ δεδωκὼς ὑμῖν δίκην, εἰς οὓς
νῦν ἁμαρτάνων οὐ λανθάνει, ἀλλ' ἅμα ἐξελεγχθήσεταί
τε καὶ δώσει δίκην.*

35 *Ἰσχυριεῖται δὲ καὶ τούτῳ τῷ λόγῳ· ἀναγκαίως γὰρ
ἔχει ὑμᾶς διδάσκειν ἃ οὗτος ἀπολογήσεται, ἵν' ἀκούσαν-
τες παρ' ἀμφοτέρων ἄμεινον διαγνῶτε. φησὶ γὰρ ἀγαθὰ
μεγάλα ποιῆσαι τὴν πόλιν μηνύσας καὶ ἀπαλλάξας δέους
καὶ ταραχῆς τῆς τότε. τίς δὲ τῶν μεγάλων κακῶν αἴτιος*
36 *ἐγένετο; οὐκ αὐτὸς οὗτος, ποιήσας ἃ ἐποίησεν; εἶτα τῶν
μὲν ἀγαθῶν δεῖ τούτῳ χάριν εἰδέναι, ὅτι ἐμήνυσε, μι-
σθὸν ὑμῶν αὐτῷ διδόντων τὴν ἄδειαν, τῆς δὲ ταραχῆς
καὶ τῶν κακῶν ὑμεῖς αἴτιοί ἐστε, ὅτι ἐζητεῖτε τοὺς ἠσε-
βηκότας; οὐ δήπουθεν, ἀλλ' αὐτὸ τούτου τοὐναντίον
ἐτάραξε μὲν οὗτος τὴν πόλιν, κατεστήσατε δ' ὑμεῖς.*

---

1 *καὶ ἀποδ.* post *τισὶ* transponit Rs, del. Halb *τισί* del. Dobr, *τινάς* Cont 3 *προσόδων* sc. de deorum supplicationibus 7 *ἔχειν*, voce *πολιτεύεσθαι* post *διανοεῖται* transposita Tayl 10 *ἑτέρων* Cont: *ἑτέρους* vel *ἑτέρως* X[s] 15 *ἔχει* Franz cf. § 6 Ant. I 1 And. III 13. 36: *ἔχω* X 16 *φήσει* Rs, sed cf. Demosth. XXII 8 17 *ἀπαλλάξας* cf. And. I 66 sq. 21 *δὲ ταραχῆς* Schott: *δ' ἀρχῆς* X 23 *τούτου* Emperius: *τοῦτο* X, cf. XIII 51, *τοῦτο* del. Rs 24 *μὲν γὰρ οὗτος* Rs

Πυνθάνομαι δ' αὐτὸν μέλλειν ἀπολογήσεσθαι ὡς αἱ 37
συνθῆκαι καὶ αὐτῷ εἰσι, καθάπερ καὶ τοῖς ἄλλοις Ἀθη-
ναίοις. καὶ τοῦτο πρόσχημα ποιούμενος οἴεται πολλοὺς
ὑμῶν, δεδιότας μὴ λύσητε τὰς συνθήκας, αὐτοῦ ἀποψη-
φιεῖσθαι. ὡς οὖν οὐδὲν προσήκει Ἀνδοκίδῃ τῶν συν- 38
θηκῶν, περὶ τούτου λέξω, οὔτε μὰ τὸν Δία τῶν πρὸς
Λακεδαιμονίους, ἃς ὑμεῖς συνέθεσθε, οὔτε ὧν πρὸς τοὺς
ἐν [τῷ] ἄστει οἱ ἐκ Πειραιῶς. οὐδενὶ γὰρ ἡμῶν τοσού-
των ὄντων τὰ αὐτὰ ἁμαρτήματα οὐδ' ὅμοια ἦν τοῖς Ἀν-
δοκίδου, ὥστε καὶ τοῦτον ἡμῶν ἀπολαῦσαι. ἀλλ' οὐ μὲν 39
δὴ ἕνεκά γε τούτου διαφερόμενοι, ἐπειδὴ καὶ τούτῳ
μετέδομεν τῶν συνθηκῶν, τότε διηλλάγημεν. οὐ γὰρ
ἕνεκα ἑνὸς ἀνδρὸς ἀλλ' ἕνεκα ἡμῶν τῶν ἐξ ἄστεως καὶ
ἐκ Πειραιῶς αἱ συνθῆκαι ἐγένοντο καὶ οἱ ὅρκοι, ἐπεί
τοι δεινὸν ἂν εἴη, εἰ περὶ Ἀνδοκίδου ἀποδημοῦντος αὐτοὶ
ἐνδεεῖς ὄντες ἐπεμελήθημεν, ὅπως ἐξαλειφθείη αὐτῷ τὰ
ἁμαρτήματα. ἀλλὰ Λακεδαιμόνιοι γὰρ ἐν ταῖς πρὸς αὐ- 40
τοὺς συνθήκαις ἐπεμελήθησαν Ἀνδοκίδου, ὅτι ἔπαθον
ἀγαθόν τι ὑπ' αὐτοῦ· ἀλλ' ὑμεῖς ἐπεμελήθητέ γε αὐτοῦ;

---

1 *ἀπολογήσεσθαι* C, Tayl: *ἀπολογήσασθαι* X 2 *καὶ αὐτῷ*] *κύριαι αὐτῷ* Francken, *κύριαι καὶ αὐτῷ* Herw, cf. § 45 6 *ὧν πρὸς Λ. ὑμεῖς* Cob 7 *ὧν* Rs: *τῶν* X 8 *τῷ* del. Pertz *γὰρ ἡμῶν* X, *γὰρ ὑμῶν* vulg. 10 *καὶ τοῦτον ἡμῶν*] *τῶν αὐτῶν ὑμῖν* Markl, *τοῦτον ἡμῖν συναπολαῦσαι* Dobr, *καὶ τοῦτον τῶν αὐτῶν ἡμῖν* vel *τῶν ἡμετέρων* Scheibe, *καὶ τοῦτον τῶν αὐτῶν ἢ ὁμοίων* P. Müller, *καὶ τοῦτον ὧν ἡμεῖς* Sauppe, (*ἡμᾶς* Baiter), *καὶ τοῦτον τῶν συνθηκῶν* Rs, *ἴσα τοῦτον ἡμῖν* Roegholt. Nihil mutandum videtur: ut vel iste ex nobis utilitatem capturus esset *ἄλλου* X *μὲν δὴ*] *μὰ Δί'* Rs, sed cf. XIII 27 XIV 44 XXVI 22 „non propter hunc tum dissidebamus, neque foedera tunc demum sanximus, posteaquam hunc quoque nominatim illis pactis comprehendi stipulati essemus" Rs 13 *ἄστεος* X *καὶ* <*τῶν*> *ἐκ* Cob 15 *ἀποδημοῦντος* C: *ἀποδημοῦντες* X 16 *ἐν δέει ὄντες* Emperius, *ἐν δεινοῖς ὄντες* Franz, *ἐνδημοῦντες* Markl 19 *ὑπ' αὐτοῦ;* fere omnes, post *αὐτοῦ* Rs add. *οὐ.* *γε ἐπεμελήθητε* Sluiter, for-

ἀντὶ ποίας εὐεργεσίας; ὅτι πολλάκις δι' ὑμᾶς ὑπὲρ τῆς
41 πόλεως ἐκινδύνευσεν; οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι,
τούτῳ ἀληθὴς αὕτη ἡ ἀπολογία, μηδ' ὑμεῖς ἐξαπατᾶσθε.
οὐ γὰρ τοῦτο λύειν ἐστὶ τὰ συγκείμενα, εἰ Ἀνδοκίδης
ἕνεκα τῶν ἰδίων ἁμαρτημάτων δίδωσι δίκην, ἀλλ' ἐάν
τις ἕνεκα τῶν δημοσίων συμφορῶν ἰδίᾳ τινὰ τιμωρῆται.
42 Ἴσως οὖν καὶ Κηφισίου ἀντικατηγορήσει, καὶ ἕξει ὅ
τι λέγῃ· τὰ γὰρ ἀληθῆ χρὴ λέγειν. ἀλλ' ὑμεῖς οὐκ ἂν
δύναισθε τῇ αὐτῇ ψήφῳ τόν τε ἀπολογούμενον καὶ τὸν
κατηγοροῦντα κολάσαι. ἀλλὰ νῦν μὲν περὶ τούτου καιρός ἐστι γνῶναι τὰ δίκαια, ἕτερος δὲ ἥξει Κηφισίῳ καὶ
ἡμῶν ἑκάστῳ, ὧν οὗτος νῦν | μεμνήσεται. μὴ οὖν καὶ
δι' ἑτέραν ὀργὴν τούτου ἀδικοῦντος νῦν ἀποψηφίσησθε.
43 Ἀλλὰ λέξει ὅτι μηνυτὴς ἐγένετο καὶ ἕτερος οὐδεὶς
ὑμῖν ἐθελήσει μηνύειν, ἐὰν κολάζητε. Ἀνδοκίδης δὲ ἔχει
τὰ μήνυτρα παρ' ὑμῶν, σώσας τὴν αὑτοῦ ψυχὴν ἑτέρων
διὰ ταῦτα ἀποθανόντων. τῆς μὲν οὖν σωτηρίας ὑμεῖς
τούτῳ αἴτιοί ἐστε, τῶν δὲ κακῶν τῶνδε καὶ τῶν κινδύνων αὐτὸς ἑαυτῷ, παραβὰς τὰ δόγματα καὶ τὴν ἄδειαν
44 ἐφ' ᾗ μηνυτὴς ἐγένετο. οὔκουν ἐξουσίαν χρὴ ποιεῖν τοῖς
μηνυταῖς ἀδικεῖν (ἀρκεῖ γὰρ τὰ πεποιημένα), ἀλλὰ παραβαίνοντας κολάζειν. καὶ οἱ μὲν ἄλλοι μηνυταί, ὁπόσοι ἐπ' αἰσχραῖς αἰτίαις ἐξεληλεγμένοι σφᾶς αὐτοὺς ἐξήτησαν, ἓν γοῦν ἐπίστανται, μὴ ἐνοχλεῖν τοῖς ἠδικημένοις, ἡγούμενοι ἀποδημοῦντες μὲν Ἀθηναῖοι καὶ ἐπίτιμοι

---

tasse errore, quod placuit Roegholtio 7 κηφισσίου ex κηφισίου a pr. m. corr. X, similiter paullo post 8 λέγῃ Bekker: λέγει X, λέγειν G. Hermann οὐκ ἂν X, οὐδ' ἂν vulg. 9 αὐτῇ C, Cont: αὐτοῦ X 12 καὶ post οὖν del. Auger 13 δι' ἑτέρων Tayl 14 καὶ ⟨ὅτι⟩ ἕτερος Cont, καὶ ὕστερον οὐδεὶς Naber 15 ἐὰν ⟨αὐτὸν⟩ Rs κολάζητε C: κομίζητε X 17 διὰ ταὐτὰ Tayl 20 οὐκ οὖν X 23 ἐξηλεγμένοι X ἐξήτησαν scripsi: ἐμήνυσαν X, ἐξέλυσαν Polak 25 Ἀθηναῖοι]

[δόξειν εἶναι], ἐπιδημοῦντες δὲ παρὰ τοῖς πολίταις τοῖς
ἠδικημένοις πονηροὶ δόξειν καὶ ἀσεβεῖς εἶναι. ὁ γοῦν 45
πάντων πονηρότατος Βάτραχος πλὴν τούτου, γενόμενος ἐπὶ τῶν τριάκοντα μηνυτὴς καὶ οὐσῶν αὐτῷ συνθηκῶν καὶ ὅρκων καθάπερ τοῖς Ἐλευσινόθεν, δείσας ὑμῶν οὓς ἠδίκησεν, ἐν ἑτέρᾳ πόλει ᾤκει. Ἀνδοκίδης δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἀδικήσας περὶ ἐλάττονος αὐτοὺς ἔθετο, εἰσιὼν εἰς τὰ ἱερά, ἢ Βάτραχος τοὺς ἀνθρώπους. ὅστις οὖν καὶ πονηρότερος καὶ ἀμαθέστερος Βατράχου ἐστί, πάνυ δεῖ ἀγαπητῶς ὑφ' ὑμῶν αὐτὸν σωθῆναι.

Φέρε δή, εἰς τί σκεψαμένους χρὴ ὑμᾶς Ἀνδοκίδου ἀπο- 46
ψηφίσασθαι; πότερον ὡς στρατιώτης ἀγαθός; ἀλλ' οὐδεπώποτ' ἐκ τῆς πόλεως ἐστρατεύσατο, οὔτε ἱππεὺς οὔτε ὁπλίτης, οὔτε τριήραρχος οὔτ' ἐπιβάτης, οὔτε πρὸ τῆς συμφορᾶς οὔτε μετὰ τὴν συμφοράν, πλέον ἢ τετταρά-
κοντα ἔτη γεγονώς. καίτοι ἕτεροι φεύγοντες ἐν Ἑλλησ- 47
πόντῳ συνετριηράρχουν ὑμῖν. ἀναμνήσθητε δὲ καὶ αὐτοὶ ἐξ ὅσων κακῶν καὶ πολέμου ὑμᾶς αὐτοὺς περιεποιήσατε καὶ τὴν πόλιν, πολλὰ μὲν τοῖς σώμασι πονήσαντες, πολλὰ δὲ ἀναλώσαντες χρήματα καὶ ἰδίᾳ καὶ δημοσίᾳ, πολλοὺς δὲ καὶ ἀγαθοὺς τῶν πολιτῶν καταθά-
ψαντες διὰ τὸν γενόμενον πόλεμον. Ἀνδοκίδης δὲ ἀπα- 48

ἀθῷοι vulgo, ἀζήμιοι Emperius; neutrum verum, quia poena liberati erant; ἀγαθοὶ Roegholt 1 δόξειν εἶναι delevi, δόξειεν εἶναι X 2 δόξειν et εἶναι altero loco del. Halb 3 πλὴν E: πρὶν a man. sec. in πλὶν corr. X πλὴν τούτου Βάτρ. Cob 5 Ἐλευσινόθεν Rs et sic X[h] corr. a pr. m.: Ἐλευσινιόθεν X pr. 6 οἰκεῖ Naber καὶ αὐτὸς Rs 9 καὶ αὐθαδέστερος Tayl, sed cf. Wolf. Lept. 339 10 ἀγαπ. cf. Dem. XX 112 αὐτὸν] τοῦτον Halb 11 εἰς τί Markl: εἴ τι X, cf. Plat. Polit. 305[b] 12 στρατιώτου ἀγαθοῦ ci. Hude 13 ἐκ] ὑπὲρ Emperius 16 καίτοι Auger: καὶ X 17 καὶ αὐτοὶ ante ὑμᾶς transponit Gebauer 18 καὶ πολέμου del. Halb

θὴς τούτων τῶν κακῶν γενόμενος .... εἰς τὴν σωτηρίαν τῇ πατρίδι, ἀξιοῖ νυνὶ μετέχειν τῆς πόλεως, ἀσεβῶν ἐν αὐτῇ. ἀλλὰ πλουτῶν γὰρ καὶ δυνάμενος τοῖς χρήμασι καὶ βασιλεῦσιν ἐξενωμένος καὶ τυράννοις — ἃ νυνὶ κομπάσει, ἐπιστάμενος τοὺς ὑμετέρους τρόπους — ποίαν
49 εἰσφορὰν ..... τούτῳ ἀγαθὸν γένοιντο, καὶ ἐπιστάμενος ἐν πολλῷ σάλῳ καὶ κινδύνῳ τὴν πόλιν γενομένην, ναυκληρῶν οὐκ ἐτόλμησεν ἐπαρθεὶς σῖτον εἰσάγων ὠφελῆσαι τὴν πατρίδα. ἀλλὰ μέτοικοι μὲν καὶ ξένοι ἕνεκα τῆς μετοικίας ὠφέλουν τὴν πόλιν εἰσάγοντες· σὺ δὲ τί καὶ ἀγαθὸν ποιήσας, ὦ Ἀνδοκίδη, ποῖα ἁμαρτήματα ἀνακαλεσάμενος, ποῖα τροφεῖα ἀνταποδούς ....

50 Ἀθηναῖοι, μνήσθητε τὰ πεποιημένα Ἀνδοκίδῃ, ἐνθυμήθητε δὲ καὶ τῆς ἑορτῆς, δι' ἣν ὑπὸ τῶν πολλῶν προὐτιμήθητε. ἀλλ' ἐστὲ γὰρ ὑπὸ τῶν τούτου ἁμαρτημάτων

---

1 lacunam Rs indicavit, cuius suspicio confirmatur signo quodam in codicis X margine; verba tradita defendit Emperius Op. 61. Addunt *οὐδὲν εἰσενεγκὼν* aut *οὐδὲν τολμήσας συμπονεῖν* aut *ἀσύμβολος ὢν* Rs, *καὶ οὐδὲν συμβαλλόμενος* Franz (*συμβαλόμενος* Cob cf. Lyc. 43) *καὶ οὐδὲν συμβαλὼν* Francken   *τὴν* del. Francken   3 *γὰρ ⟨ὠφελήσει⟩* Francken   6 *γένοιντο* est in X   Locum corruptum constituerunt: *εἰσέφερε — ποίαν εἰσφοράν; ἐφ' ᾗ τί ἂν τούτῳ ἀγαθὸν γένοιτο, ὃς ἐπ.* Rs, *ποίαν δ' εἰσφορὰν ⟨εἰσέφερεν ἐφ' ᾗ⟩ τούτῳ ἀγαθὸν ⟨ἄν τι⟩ γίγνοιθ' ὃς καὶ* Francken, *τυράννοις — ἃ νυνί . . . τρόπους — ποίαν εἰσφορὰν ⟨εἰσήνεγκεν ἀνθ' ἧς⟩ αὐτῷ ἀγαθόν τι γένοιτο* Halb. Equidem non de pristinis sed de futuris tributis quaeri ratus temptavi: *ποίαν εἰσφορὰν πώποτ' ἂν εἰσενέγκοι, ὅστις καὶ ἐπ.* 7 *καὶ κινδύνῳ* del. Halb   *γενομένην* est in X   8 *ἐπαρθεὶς*] addunt *κέρδει* Rs (*οὐδὲ κέρδει ἐπ.* Herw), *τοῖς ὑμετέροις* vel *τῆς πόλεως κακοῖς* Kayser coll. And. I 37, *τῇ ἐλπίδι τῆς ἀδείας* Francken; mutant *ἐπήρθη* deleta voce *ἐτόλμησεν* Sluiter, *ἀποροῦσι* Westermann, *ἐπὶ πράσει* Scheibe, *ἀπάρας* Markl   *εἰσαγαγὼν* C   9 *ἕνεκα τῆς μετ.* del. Herw   10 *εἰσαγαγόντες* X   11 *ἐποίησας* Scheibe   *ἀναλυσάμενος* Frb coll. Demosth. XIV 34 XXI 218; Xen. Hell. VII 5 18   12 Hoc loco libri X folium unum interiit, decem fere paragraphos continens

ἤδη καταπλῆγες διὰ τὸ πολλάκις ἰδεῖν καὶ ἀκοῦσαι, ὥστε
οὐδὲ τὰ δεινὰ ἔτι δεινὰ δοκεῖ ὑμῖν εἶναι. ἀλλὰ προσ-
έχετε τὸν νοῦν, δοκείτω δ' ὑμῖν ἡ γνώμη ὁρᾶν ἃ οὗτος
ἐποίει, καὶ διαγνώσεσθε ἄμεινον. οὗτος γὰρ ἐνδὺς στο- 51
λήν, μιμούμενος τὰ ἱερὰ ἐπεδείκνυ τοῖς ἀμυήτοις καὶ
εἶπε τῇ φωνῇ τὰ ἀπόρρητα, τῶν δὲ θεῶν, οὓς ἡμεῖς
[θεοὺς] νομίζομεν καὶ θεραπεύοντες καὶ ἁγνεύοντες
θύομεν καὶ προσευχόμεθα, τούτους περιέκοψε. καὶ ἐπὶ
τούτοις ἱέρειαι καὶ ἱερεῖς στάντες κατηράσαντο πρὸς
ἑσπέραν καὶ φοινικίδας ἀνέσεισαν, κατὰ τὸ νόμιμον τὸ
παλαιὸν καὶ ἀρχαῖον. ὡμολόγησε δὲ οὗτος ποιῆσαι. ἔτι 52
δὲ παρελθὼν τὸν νόμον ὃν ὑμεῖς ἔθεσθε, εἴργεσθαι τῶν
ἱερῶν αὐτὸν ὡς ἀλιτήριον ὄντα, ταῦτα πάντα βιασάμενος
εἰσελήλυθεν ἡμῶν εἰς τὴν πόλιν, καὶ ἔθυσεν ἐπὶ τῶν
βωμῶν ὧν οὐκ ἐξῆν αὐτῷ καὶ ἀπήντα τοῖς ἱεροῖς περὶ
ἃ ἠσέβησεν, εἰσῆλθεν εἰς τὸ Ἐλευσίνιον, ἐχερνίψατο ἐκ |
τῆς ἱερᾶς χέρνιβος. τίνα χρὴ ταῦτα ἀνασχέσθαι; ποῖον 53
φίλον, ποῖον συγγενῆ, ποῖον δημότην χρὴ τούτῳ χαρι-
σάμενον κρύβδην φανερῶς τοῖς θεοῖς ἀπεχθέσθαι; νῦν
οὖν χρὴ νομίζειν τιμωρουμένους καὶ ἀπαλλαττομένους
Ἀνδοκίδου τὴν πόλιν καθαίρειν καὶ ἀποδιοπομπεῖσθαι
καὶ φαρμακὸν ἀποπέμπειν καὶ ἀλιτηρίου ἀπαλλάττεσθαι,
ὡς ἓν τούτων οὗτός ἐστι.

---

1 καταπλῆγες cf. Harp. s. v. 4 ἐποίει Tayl: ποιεῖ X 5 ἐπεδείκνυε X 6 ⟨λαμπρᾷ⟩ τῇ Rs 7 θεοὺς del. Rs, τοὺς δὲ θεούς, οὓς ἡμεῖς νομ. Roegholt θεραπεύομεν Rs 8 καὶ ἐπὶ . . . 11 ἀρχαῖον del. Roegholt 9 ἱέρειαι C et Cont: ἱερεῖα X πρὸς ἑσπέραν κατηράσαντ' ⟨αὐτῷ⟩ Herw 12 παρελθὼν cf. Demosth. XXXVII 37 13 αὐτὸν C et Tayl: αὐτῶν X, ἁπάντων Rs 15 ⟨ἐφ'⟩ ὧν Auger 18 δημότην Blass: δικαστὴν X 21 post καθαίρειν in libris sequuntur ἀρὰν ἀπάγεσθαι, quae del. Tayl 22 φαρμακὸν cf. Harp. s. v. 23 malim ὡς ἐν τούτων ⟨μέρει⟩

54 *Βούλομαι τοίνυν εἰπεῖν ἃ Διοκλῆς ὁ Ζακόρου τοῦ ἱεροφάντου, πάππος δὲ ἡμέτερος, συνεβούλευσε βουλευομένοις ὑμῖν ὅ τι δεῖ χρῆσθαι Μεγαρεῖ ἀνδρὶ ἠσεβηκότι. κελευόντων γὰρ ἑτέρων ἄκριτον παραχρῆμα ἀποκτεῖναι, παρῄνεσε κρῖναι τῶν ἀνθρώπων ἕνεκα, ἵνα ἀκούσαντες καὶ ἰδόντες σωφρονέστεροι οἱ ἄλλοι ὦσι, τῶν δὲ θεῶν ἕνεκα οἴκοθεν ἕκαστον, ἃ δεῖ τὸν ἀσεβοῦντα παθεῖν, αὐτὸν παρ' ἑαυτῷ κεκρικότα εἰς τὸ δικαστήριον εἰσιέναι.*
55 *καὶ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, (ἐπίστασθε γὰρ ἃ δεῖ ποιῆσαι) μὴ ἀναπεισθῆτε ὑπὸ τούτου. φανερῶς ἔχετε αὐτὸν ἀσεβοῦντα· εἴδετε, ἠκούσατε τὰ τούτου ἁμαρτήματα. ἀντιβολήσει καὶ ἱκετεύσει ὑμᾶς· μὴ ἐλεεῖτε. οὐ γὰρ οἱ δικαίως ἀποθνῄσκοντες ἀλλ' οἱ ἀδίκως ἄξιοί εἰσιν ἐλεεῖσθαι.*

7.

ΑΡΕΟΠΑΓΙΤΙΚΟΣ ΠΕΡΙ ΤΟΥ ΣΗΚΟΥ ΑΠΟΛΟΓΙΑ.

1 *Πρότερον μέν, ὦ βουλή, ἐνόμιζον ἐξεῖναι τῷ βουλομένῳ, ἡσυχίαν ἄγοντι, μήτε δίκας ἔχειν μήτε πράγματα· νυνὶ δὲ οὕτως ἀπροσδοκήτως αἰτίαις καὶ πονηροῖς συκοφάνταις περιπέπτωκα, ὥστ' εἴ πως οἷόν τε, δοκεῖ μοι δεῖν καὶ τοὺς μὴ γεγονότας ἤδη δεδιέναι περὶ τῶν μελλόντων ἔσεσθαι· διὰ γὰρ τοὺς τοιούτους οἱ κίνδυνοι κοινοὶ γίγνονται καὶ τοῖς μηδὲν ἀδικοῦσι καὶ τοῖς πολλὰ*
2 *ἡμαρτηκόσιν. οὕτω δ' ἄπορος ὁ ἀγών μοι καθέστηκεν,*

---

1 τοίνυν ⟨ἔτι⟩ Cob Ζακόρου cf. Toepffer, Att. Geneal. 55 5 τῶν ⟨μὲν⟩ ἀνθρ. Scheibe 7 τὸν a pr. m. add. X 16 Or. VII, περὶ Harpocr: ὑπὲρ X 20 ἀπροσδοκήτοις Tayl -ραῖς συκοφαντίαις Auger 22 τοὺς μήπω Rs, τοὺς μηδέπω Wdn, τοὺς ἄρτι Vollgraff 24 οἱ ante κοινοὶ add. X: del. Steph 25 δ' ἄτοπος Dobr

*ὥστε ἀπεγράφην τὸ μὲν πρῶτον ἐλάαν ἐκ τῆς γῆς ἀφα-
νίζειν, καὶ πρὸς τοὺς ἐωνημένους τοὺς καρποὺς τῶν
μορίων πυνθανόμενοι προσῆσαν· ἐπειδὴ δ' ἐκ τούτου
τοῦ τρόπου ἀδικοῦντά με οὐδὲν εὑρεῖν ἐδυνήθησαν, νυνί
με σηκόν ⟨φασιν⟩ ἀφανίζειν, ἡγούμενοι ἐμοὶ μὲν ταύτην
τὴν αἰτίαν ἀπορωτάτην εἶναι ἀπελέγξαι, αὐτοῖς δὲ ἐξεῖ-
ναι μᾶλλον ὅ τι ἂν βούλωνται λέγειν. καὶ δεῖ με, περὶ* 3
*ὧν οὗτος ἐπιβεβουλευκὼς ἥκει, ἅμ' ὑμῖν τοῖς διαγνωσο-
μένοις περὶ τοῦ πράγματος ἀκούσαντα καὶ περὶ τῆς πα-
τρίδος καὶ περὶ τῆς οὐσίας ἀγωνίσασθαι. ὅμως δὲ πει-
ράσομαι ἐξ ἀρχῆς ὑμᾶς διδάξαι.*

Ἦν μὲν γὰρ τοῦτο Πεισάνδρου τὸ χωρίον, δημευθέν- 4
*των δ' ἐκείνου τῶν ὄντων Ἀπολλόδωρος ὁ Μεγαρεὺς
δωρειὰν παρὰ τοῦ δήμου λαβὼν τὸν μὲν ἄλλον χρόνον
ἐγεώργει, ὀλίγῳ δὲ πρὸ τῶν τριάκοντα Ἀντικλῆς παρ'
αὐτοῦ πριάμενος ἐξεμίσθωσεν· ἐγὼ δὲ παρ' Ἀντικλέους
εἰρήνης οὔσης ἐωνούμην. ἡγοῦμαι τοίνυν, ὦ βουλή,* 5
*ἐμὸν ἔργον ἀποδεῖξαι, ὡς, ἐπειδὴ τὸ χωρίον ἐκτησάμην,
οὔτ' ἐλάα οὔτε σηκὸς ἐνῆν ἐν αὐτῷ. νομίζω γὰρ τοῦ*

---

3 *πυνθανόμενοι*] *πειρώμενοι* Dobr *προσήεσαν* X 4 *νυνί γε* Emperius 5 *φασιν* add. Rs, *αἰτιῶνται* Steph, *λέγουσιν* Sauppe, *σκήπτονται* P. Müller, coll. IV 4 XXIII 2, *ἀπογράφουσιν* Zaka, *ἀφαν. ἀπέδειξαν* deleto quod sequitur *ἀποδεῖξαι* Heldmann *οἰόμενοι* superscripto *ἡγού* X 6 *ἀπορωτέραν* Tournier *ἀπελέγξαι* Westermann: *ἀποδεῖξαι* X, ⟨*ψευδῆ*⟩ *ἀποδεῖξαι* Rs, *ἀπολύσασθαι* vel *ἐλέγξαι* vel *ἀπολογήσασθαι* vel del. Dobr *αὐτοῖς* Sauppe 7 *καὶ δὴ δεῖ μέν με* Rs, *καὶ μὲν δὴ δεῖ περὶ* Wdn, *καὶ δεινὸν μὲν περὶ* Bake 8 *ἥκει*] *εἰκῇ ἔπλασ'* Francken, *ἥδεται* Hundeck, sed cf. XII 22. 84 XXIV 14 XXVI 1 *ἅμ'* et 9 *ἀκούσαντα* Sauppe: *ἀλλ' . . . ἀκούσαντας* X *περὶ τοῦ πράγματος* del. Hartman, *πραγμ.* ⟨*νῦν πρῶτον*⟩ Francken 13 *δ' ἐκείνου τῶν ὄντων* Meutzner: *τῶν ὄντων δ' ἐκείνου* X, *δὲ τῶν ὄντων ἐκ.* Bekker, *δὲ τῶν ἐκείνου* Rauch, *τῶν ὄντ. δ' ἐκ. δημ.* Scheibe 14 *δωρεὰν* X 17 *ἐωνούμην* Scheibe: *ὠνούμην* X, *ὠνοῦμαι* Emperius, *ἐώνημαι* Cob 19 *γὰρ ἐμὲ διὰ τὸν πρότ. χρόνον* Hamaker

μὲν προτέρου χρόνου, οὐδ' εἰ πάλαι ἐνῆσαν μυρίαι, οὐκ
ἂν δικαίως ζημιοῦσθαι· εἰ γὰρ μὴ δι' ἡμᾶς εἰσιν ἠφα-
νισμέναι, οὐδὲν προσήκει περὶ τῶν ἀλλοτρίων ἁμαρτη-
6 μάτων ὡς ἀδικοῦντας κινδυνεύειν. πάντες γὰρ ἐπί-
στασθε ὅτι ⟨ὁ⟩ πόλεμος καὶ ἄλλων πολλῶν αἴτιος κακῶν
γεγένηται, καὶ τὰ μὲν πόρρω ὑπὸ Λακεδαιμονίων ἐτέμ-
νετο, τὰ δ' ἐγγὺς ὑπὸ τῶν φίλων διηρπάζετο· ὥστε πῶς
ἂν δικαίως ὑπὲρ τῶν ⟨τότε⟩ τῇ πόλει γεγενημένων συμ-
φορῶν ἐγὼ νυνὶ δίκην διδοίην; ἀλλ' ὅτι καὶ τοῦτο τὸ
χωρίον ἐν τῷ πολέμῳ δημευθὲν ἄπρατον ἦν πλεῖν ἢ
τρία ἔτη, οὐ θαυμαστὸν εἰ τότε τὰς | μορίας ἐξέκοπτον,
7 ἐν ᾧ οὐδὲ τὰ ἡμέτερ' αὐτῶν φυλάττειν ἐδυνάμεθα. ἐπί-
στασθε δέ, ὦ βουλή, ὅσοι μάλιστα τῶν τοιούτων ἐπιμε-
λεῖσθε, πολλὰ ἐν ἐκείνῳ τῷ χρόνῳ δασέα ὄντα ἰδίαις καὶ
μορίαις ἐλάαις, ὧν νῦν τὰ πολλὰ ἐκκέκοπται καὶ ἡ γῆ
ψιλὴ γεγένηται· καὶ τῶν αὐτῶν καὶ ἐν τῇ εἰρήνῃ καὶ ἐν
τῷ πολέμῳ κεκτημένων οὐκ ἀξιοῦτε παρ' αὐτῶν, ἑτέρων
8 ἐκκοψάντων, δίκην λαμβάνειν. καίτοι εἰ τοὺς διὰ παν-
τὸς τοῦ χρόνου γεωργοῦντας τῆς αἰτίας ἀφίετε, ἦ που
χρὴ τούς γ' ἐν τῇ εἰρήνῃ πριαμένους ἀφ' ὑμῶν ἀζημίους
γενέσθαι.

9 Ἀλλὰ γάρ, ὦ βουλή, περὶ μὲν τῶν πρότερον γεγενη-

---

1 χρόνου ⟨ἕνεκα⟩ Frb μυρίαι O: μορίαι X, πολλαὶ ἐν. μορ. Rs, πάνυ ἐν. μυρ. Dobr, ἐλάαι ἐν. μυρίαι Vollgraff 3 ὑπὲρ τῶν Hamaker 5 ὁ add. Dobr 7 φίλων] ψιλῶν Hamaker, φιλίων Naber 8 τότε add. Rs 9 ἀλλ' ὅτι scripsi: ἄλλως τε X, ἄλλως τ' εἰ Wdn τοῦτο] ὅτι Frb, ὅτι τοῦτο Roehl, ὅπου Rs 10 ἄπρατον X, ἄπρακτον O, ἀνέργαστον Frb, ἀργὸν vel ἄσκαπτον Francken πλεῖον superscripto ω X 11 δ' ante εἰ add. C, οὐ δὴ θαυμ. Cont, οὐκ οὖν (sic) θαυμ. εἰ Wdn 13 ὅσοι] ὅσῳ Meutzner, οἳ Kayser, μάλιστα ὅσοι Tayl 15 πολλὰ] πάντα Scheibe 16 τῶν αὐτῶν ⟨ταῦτα⟩ Francken 17 ἑτέρων ἐκκ. del. Halb 20 ἀφ' ὑμῶν del. Tayl, ὑφ' ὑμῶν Markl

μένων πολλὰ ἔχων εἰπεῖν ἱκανὰ νομίζω τὰ εἰρημένα· ἐπειδὴ δ' ἐγὼ παρέλαβον τὸ χωρίον, πρὶν ἡμέρας πέντε γενέσθαι, ἀπεμίσθωσα Καλλιστράτῳ, ἐπὶ Πυθοδώρου 404/3 *ἄρχοντος· ὃς δύο ἔτη ἐγεώργησεν, οὔτε ἰδίαν ἐλάαν οὔτε* **10** *μορίαν οὔτε σηκὸν παραλαβών. τρίτῳ δὲ [ἔτει] Δημήτριος οὑτοσὶ ἠργάσατο ἐνιαυτόν· τῷ δὲ τετάρτῳ Ἀλκίᾳ Ἀντισθένους ἀπελευθέρῳ ἐμίσθωσα, ὃς τέθνηκε· κᾆτα τρία ἔτη ὁμοίως καὶ Πρωτέας ἐμισθώσατο. Καί μοι δεῦρ' ἴτε.*

ΜΑΡΤΥΡΕΣ.

Ἐπειδὴ τοίνυν ὁ χρόνος οὗτος ἐξήκει, αὐτὸς γεωργῶ. **11** *φησὶ δὲ ὁ κατήγορος ἐπὶ Σουνιάδου ἄρχοντος σηκὸν* 397/6 *ὑπ' ἐμοῦ ἐκκεκόφθαι, ὑμῖν δὲ μεμαρτυρήκασιν οἱ πρότερον ἐργαζόμενοι καὶ πολλὰ ἔτη παρ' ἐμοῦ μεμισθωμένοι μὴ εἶναι σηκὸν ἐν τῷ χωρίῳ. καίτοι πῶς ἄν τις φανερώτερον ἐξελέγξειε ψευδόμενον τὸν κατήγορον; οὐ γὰρ οἷόν τε, ἃ πρότερον μὴ ἦν, ταῦτα τὸν ὕστερον ἐργαζόμενον ἀφανίζειν.*

Ἐγὼ τοίνυν, ὦ βουλή, ἐν μὲν τῷ τέως χρόνῳ, ὅσοι με **12** *φάσκοιεν δεινὸν εἶναι καὶ ἀκριβῆ καὶ οὐδὲν ἂν εἰκῇ καὶ ἀλογίστως ποιῆσαι, ἠγανάκτουν ἄν, ἡγούμενος μ' ἄλλον λέγεσθαι ⟨ἢ⟩ ὥς μοι προσῆκε· νῦν δὲ πάντας ἂν ὑμᾶς βουλοί-*

---

3 *γενέσθαι*] Rs malit *διαγενέσθαι* vel *ἐπιγενέσθαι*, sed cf. Xen. Hell. II 4, 25 4 *ὃς δύο* Harp, qui s. v. *σηκὸς* habet inde usque ad vocem *παραλαβών*: *δύο δ'* X 5 *τρίτω δὲ ἔτει* X, *ἔτει* delevi 6 *ἐνιαυτὸν* del. Sauppe, sed cf. [Demosth.] LIX 36, *ταὐτὸν* Weidner 7 *κᾆτα* post Meutznerum Sauppe: *ταῦτα* X, *μετὰ ταῦτα* Frb, *καὶ ταῦτα τὰ* Meutzner 8 *πρωτέως* X *ἐμεμίσθωτο* Frb 9 *δεῦρ' ἴτε* X, *δεῦρο ἴτε μάρτυρες* Markl 10 tit. in mg. X 12 *ἄρχοντος . . .* 13 *ἐκκεκόφθαι* laudat Suid. *μορίαι* 12 *σηκὸν* Suid.: *οἶκον* X 16 *φανερώτερον* Cont: *φανερῶς* X, *φανερωτέρως* Markl, *μᾶλλον φανερῶς* Vanderheid 21 *ἡγούμενος*] *αἱρούμενος* Sauppe *μ' ἄλλον* Meutzner: *μᾶλλον* X *ἢ* add. Tayl, *μᾶλλ. εὐλογεῖσθαι ἢ ὡς* Herw, *μᾶλλον ἐπαινεῖσθαι ἢ ὡς* Halb, *μᾶλλ. λέγ. ὧν* Scal,

μην περὶ ἐμοῦ ταύτην τὴν γνώμην ἔχειν. ἵνα ἡγῆσθέ με σκοπεῖν ⟨ἂν⟩, εἴπερ τοιούτοις ἔργοις ἐπεχείρουν, καὶ ὅ τι κέρδος ἐγίγνετό μοι ἀφανίσαντι καὶ ἥτις ζημία περιποιήσαντι, καὶ τί ἂν λαθὼν διεπραξάμην καὶ τί ἂν φανερὸς γενόμενος ὑφ' ὑμῶν ἔπασχον.
13 πάντες γὰρ ἄνθρωποι τὰ τοιαῦτα οὐχ ὕβρεως ἀλλὰ κέρδους ἕνεκα ποιοῦσι, καὶ ὑμᾶς ⟨τ'⟩ εἰκὸς οὕτω σκοπεῖν, καὶ τοὺς ἀντιδίκους ἐκ τούτων τὰς κατηγορίας ποιεῖσθαι, ἀποφαίνοντας ἥτις ὠφέλεια τοῖς ἀδικήσασιν ἐγίγνετο.
14 οὗτος μέντοι οὐκ ἂν ἔχοι ἀποδεῖξαι οὔθ' ὡς ὑπὸ πενίας ἠναγκάσθην τοιούτοις ἔργοις ἐπιχειρεῖν, οὔθ' ὡς τὸ χωρίον μοι διεφθείρετο τοῦ σηκοῦ ὄντος, οὔθ' ὡς ἀμπέλοις ἐμποδὼν ἦν, οὔθ' ὡς οἰκίας ἐγγύς, οὔθ' ὡς ἐγὼ ἄπειρος τῶν παρ' ὑμῖν κινδύνων. ⟨Ἐγὼ δὲ⟩ εἴ τι τοιοῦτον ἔπραττον, πολλὰς ἂν
15 καὶ μεγάλας ἐμαυτῷ ζημίας γενομένας ἀποφήναιμι· ὃς πρῶτον μὲν μεθ' ἡμέραν ἐξέκοπτον τὸν σηκόν, ὥσπερ οὐ πάντας λαθεῖν δέον, ἀλλὰ πάντας Ἀθηναίους εἰδέναι. καὶ εἰ μὲν αἰσχρὸν ἦν μόνον τὸ πρᾶγμα, ἴσως ἄν τις τῶν παριόντων ἠμέλησε· νῦν δ' οὐ περὶ αἰσχύνης ἀλλὰ
16 τῆς μεγίστης ζημίας ἐκινδύνευον. πῶς δ' οὐκ ἂν ἦν ἀθλιώτατος ἀνθρώπων ἁπάντων, εἰ τοὺς ἐμαυτοῦ θερά-

μᾶλλον λέγ. ⟨κακῶς ᾖ⟩ ὡς Wdn, verba tradita defendit Fuhr 2 ἂν add. Frb 3 ἐγίνετο X μοι Rauch: τῷ X, del. Dobr περιποιήσαντι Kayser: τῷ ποιήσαντι X, μὴ ποιήσαντι Markl, σώσαντι vel ἐάσαντι Frb, del. Pertz 6 ἡμᾶς superscripto υ X[s] 7 τ' add. Frb, δὲ Rauch; ὃ καὶ Weidner, ὥστε καὶ Fuhr 9 ἐγίνετο X οὗτος μὲν τοίνυν Dobr 11 διεφθείρετο Herw: διαφθείρεται X, διέφθαρται Markl 12 ἐνόντος Cob ὡς οὗτος ἀμπ. Herw 13 παρ' ὑμῶν Meutzner 14 ἐγὼ δ' add. Frei post Rs, (qui ἐγὼ γάρ), ἔπειτ' Francken, εἶτ' Frb τοιοῦτον Hertlein: τούτων X πολλὰς γὰρ ἂν Tur, πολλὰς δ' ἂν Emperius, ἐγὼ δὲ τοὐναντίον πολλὰς Hamaker, ἐγὼ δὲ πολλὰς Kayser, ὃς πολλὰς Bartelt, ὧν πολλὰς ἂν αὐτὸς Scheibe 15 γενομένας ἂν vel γινομένας Kayser 17 οὐ πάντως Halb

*πoντας μηκέτι δούλους ἔμελλον ἕξειν ἀλλὰ δεσπότας τὸν
λοιπὸν βίον, τοιοῦτον ἔργον συνειδότας; ὥστε εἰ καὶ
τὰ μέγιστα εἰς ἐμὲ ἐξημάρτανον, οὐκ ἂν οἷόν τ᾽ ἦν δίκην
με παρ᾽ αὐτῶν λαμβάνειν· εὖ γὰρ ἂν ᾔδειν, ὅτι ἐπ᾽ ἐκεί-
νοις ἦν καὶ ἐμὲ τιμωρήσασθαι καὶ αὐτοῖς μηνύσασιν
ἐλευθέροις γενέσθαι. ἔτι τοίνυν, εἰ τῶν οἰκετῶν παρέστη* **17**
*μοι μηδὲν φροντίζειν, πῶς ἂν ἐτόλμησα τοσούτων μεμι-
σθωμένων καὶ ἁπάντων συνειδότων ἀφανίσαι τὸν σηκὸν
βραχέος μὲν κέρδους ἕνεκα, προθεσμίας δὲ οὐδεμιᾶς
οὔσης τῷ κινδύνῳ τοῖς εἰργασμένοις ἅπασι τὸ χωρίον
ὁμοίως προσῆκον εἶναι σῶν τὸν σηκόν; [ἵν᾽ εἴ τις αὐτοὺς
ᾐτιᾶτο, εἶχον ἀνενεγκεῖν ὅτῳ παρέδοσαν] νῦν δὲ καὶ ἐμὲ
ἀπολύσαντες φαίνονται, καὶ σφᾶς αὐτούς, εἴπερ ψεύδον-
ται, μετόχους τῆς αἰτίας καθιστάντες. εἰ τοίνυν καὶ* **18**
*ταῦτα | παρεσκευασάμην, πῶς ἂν οἷός τ᾽ ἦν πάντας πεῖ-
σαι τοὺς παριόντας, ἢ τοὺς γείτονας, οἳ οὐ μόνον ἀλ-
λήλων ταῦτ᾽ ἴσασιν ἃ πᾶσιν ὁρᾶν ἔξεστιν, ἀλλὰ καὶ περὶ
ὧν ἀποκρυπτόμεθα μηδένα εἰδέναι, καὶ περὶ ἐκείνων
πυνθάνονται; ἐμοὶ τοίνυν τούτων οἱ μὲν φίλοι οἱ δὲ
διάφοροι περὶ τῶν ἐμῶν τυγχάνουσιν ὄντες· οὓς ἐχρῆν* **19**
*τοῦτον παρασχέσθαι μάρτυρας, καὶ μὴ μόνον οὕτως τολ-
μηρὰς κατηγορίας ποιεῖσθαι· ὅς φησιν ὡς ἐγὼ μὲν πα-
ρειστήκειν, οἱ δ᾽ οἰκέται ἐξέτεμνον τὰ πρέμνα, ἀναθέ-
μενος δὲ ὁ βοηλάτης ᾤχετο ἀπάγων τὰ ξύλα.*

3 *οἷός τ᾽ ἦν δίκην παρ᾽* Cob 4 *ᾔδειν* Emperius: *εἰδείην* X 6 *οἰκετῶν* Scal: *εἰκότων* X 10 *τοῖς δ᾽ εἰργ.* Rauch 11 *σῶον* X *ἵν᾽ . . .* 12 *παρέδοσαν* del. Emperius 12 *εἶχον ἀπελέγχειν ὅτι* Meutzner 15 *ταῦτα*] *τούτους* Rs 16 *τοὺς παριόντας ἢ* del. Dobr, sed cf. § 20 18 ⟨*ὥστε*⟩ *μηδένα* Frb, *ἀποκρ.* ⟨*καὶ οἰόμεθα*⟩ Hirschig, *ἀποκρ.* ⟨*καὶ βουλόμεθα*⟩ Wdn, *ἀποκρυπτόμενοι οἰόμεθα* Scheibe, *ἀποκρυπτόμενοι περὶ πολλοῦ ποιούμεθα* Fuhr *μηδένα . . . ἐκείνων* del. Herw 20 *περὶ τῶν ἐμῶν* olim del. Herw, *περὶ τὸ ὅμορον* Weidner 21 *τοῦτον* est in X 22 *ὅς φησιν* del. Wdn 24 *ὀνηλάτης* Cob

20 *Καίτοι, ὦ Νικόμαχε, χρῆν σε τότε καὶ παρακαλεῖν τοὺς
παριόντας μάρτυρας, καὶ φανερὸν ποιεῖν τὸ πρᾶγμα·
καὶ ἐμοὶ μὲν οὐδεμίαν ἂν ἀπολογίαν ὑπέλιπες, αὐτὸς δέ,
εἰ μέν σοι ἐχθρὸς ἦν, ἐν τούτῳ τῷ τρόπῳ ἦσθα ἄν με
τετιμωρημένος, εἰ δὲ τῆς πόλεως ἕνεκα ἔπραττες, οὕτως
21 ἐξελέγξας οὐκ ἂν ἐδόκεις εἶναι συκοφάντης, εἰ δὲ κερ-
δαίνειν ἐβούλου, τότ' ἂν πλεῖστον ἔλαβες· φανεροῦ γὰρ
ὄντος τοῦ πράγματος οὐδεμίαν ἄλλην ἡγούμην ἂν εἶναί
μοι σωτηρίαν ἢ σὲ πεῖσαι. τούτων τοίνυν οὐδὲν ποιήσας
διὰ τοὺς σοὺς λόγους ἀξιοῖς με ἀπολέσθαι, καὶ κατ-
ηγορεῖς ὡς ὑπὸ τῆς ἐμῆς δυνάμεως καὶ τῶν ἐμῶν χρημά-
22 των οὐδεὶς ἐθέλει σοι μαρτυρεῖν. καίτοι εἰ ⟨ὅτε⟩ φῄς μ'
ἰδεῖν τὴν μορίαν ἀφανίζοντα τοὺς ἐννέα ἄρχοντας ἐπ-
ήγαγες ἢ ἄλλους τινὰς τῶν ἐξ Ἀρείου πάγου, οὐκ ἂν ἑτέ-
ρων ἔδει σοι μαρτύρων· οὕτω γὰρ ἄν σοι συνῄδεσαν
ἀληθῆ λέγοντι, οἵπερ καὶ διαγιγνώσκειν ἔμελλον περὶ
τοῦ πράγματος.*

23 *Δεινότατα οὖν πάσχω, ὅτ' εἰ μὲν παρέσχετο μάρτυρας,
τούτοις ἂν ἠξίου πιστεύειν, ἐπειδὴ δὲ οὐκ εἰσὶν αὐτῷ,
ἐμοὶ καὶ ταύτην [τὴν] ζημίαν οἴεται χρῆναι γενέσθαι.*

---

2 *παρόντας* C et Kocks, *πάντας τοὺς παρόντας* Hundeck 3 *ὑπέλιπες* Franz: *ἀπέλιπες* X 4 *τρόπῳ ⟨μάλιστ' ἂν⟩ ἦσθα* Dobr deleto *ἐν*, quod praecedit 8 *ἡγήμην* Cob 9 *πείσας* Scheibe 12 *σοι*] *μοι* X *ὅτε* add. Markl (*ὅτ' ἔφης*) *φῄς μ' ἰδεῖν* marg. Ald: *φὴσ· μὴ δεῖν* X, *φήσας μ' ἰδεῖν* Rs, *φήνας μ' ἰδεῖν* Meutzner, *φήνας μ' ἰδὼν* Rauch, *φήνας με δὴ τὴν μορίαν* Bake, *ὡς φῄς μ' ἰδεῖν* aliquando suspicatus sum, *ὡς φῄς μ' ἰδὼν* Blass, *εὐθέως μ' ἰδὼν* Albrecht, *εὐθὺς μ' ἰδὼν* Fuhr, *φῂς μὴ δεῖν ⟨με διὰ τοῦτο ὠφεληθῆναι, διὰ τί οὐκ ἔφηνάς με; εἰ γὰρ ἰδών με⟩ τὴν* Roehl, *φῂς μέν μ' ἰδεῖν . . . τοὺς δ' ἄρχοντας* Wdn 13 *ἐννέα* del. Roehl, *δ'* Wdn 15 *οὗτοι γὰρ* marg. Ald 18 *ὅτ'* Rauch: *ὃς* X, *ὅσῳ* Scheibe, del. Westermann, *οὗτος* Fuhr, *ὑπὸ τούτου* (*τουτουί* Frb) *ὃς* Hamaker 19 *ἂν ⟨ὑμᾶς⟩ ἠξίου* Rs 20 *τὴν* del. Bekker, *δὴ* Wdn, *ταύτῃ τὴν* Markl

καὶ τούτου μὲν οὐ θαυμάζω· οὐ γὰρ δήπου συκοφαντῶν
ἅμα τοιούτων τε λόγων ἀπορήσει καὶ μαρτύρων· ὑμᾶς
δ' οὐκ ἀξιῶ τὴν αὐτὴν τούτῳ γνώμην ἔχειν. ἐπίστασθε 24
γὰρ ἐν τῷ πεδίῳ πολλὰς μορίας οὔσας καὶ πυρκαϊὰς ἐν
τοῖς ἄλλοις τοῖς ἐμοῖς χωρίοις, ἅς, εἴπερ ἐπεθύμουν, πολὺ
ἦν ἀσφαλέστερον καὶ ἀφανίσαι καὶ ἐκκόψαι καὶ ἐπεργάσασθαι, ὅσῳπερ ἧττον τὸ ἀδίκημα πολλῶν οὐσῶν ἔμελλε
δῆλον ἔσεσθαι. νῦν δ' οὕτως αὐτὰς περὶ πολλοῦ ποιοῦ- 25
μαι ὥσπερ ⟨καὶ τὴν πατρίδα⟩ καὶ τὴν ἄλλην οὐσίαν, ἡγούμενος περὶ ἀμφοτέρων τούτων εἶναί μοι τὸν κίνδυνον. αὐτοὺς τοίνυν ὑμᾶς τούτων μάρτυρας παρέξομαι, ἐπιμελουμένους μὲν ἑκάστου μηνός, ἐπιγνώμονας δὲ πέμποντας καθ' ἕκαστον ἐνιαυτόν· ὧν οὐδεὶς πώποτ' ἐξημίωσέ μ' ὡς ἐργαζόμενον τὰ περὶ τὰς μορίας χωρία.
καίτοι οὐ δήπου τὰς μὲν μικρὰς ζημίας οὕτω περὶ πολ- 26
λοῦ ποιοῦμαι, τοὺς δὲ περὶ τοῦ σώματος κινδύνους οὕτω περὶ οὐδενὸς ἡγοῦμαι· καὶ τὰς μὲν πολλὰς ἐλάας, εἰς ἃς ἐξῆν μᾶλλον ἐξαμαρτάνειν, οὕτω θεραπεύων φαίνομαι, τὴν δὲ μίαν, ἣν οὐχ οἷόν τ' ἦν λαθεῖν ἐξορύξαντα, ὡς ἀφανίζων νυνὶ κρίνομαι.

1 τούτου Auger: τοῦτο X 2 ἅμα Bekker: ἄλλα X τε Bekker cf. XXVIII 17: γε X, quod Gebauer ante ἅμα transponere malit εὐπορήσει Cob 4 πυρκαϊὰς] πυκνὰς Sandys, μυρίας ἐλάας Francken, λιπομορίας coll. Hes. s. v. Dragumis, Περγασῆσι Dobr 6 καὶ ἐκκόψαι del. Halb, καὶ περικόψαι Wdn 9 καὶ add. Westermann, τὴν πατρίδα add. Kayser cf. III 38 11 παρέχομαι Wdn, sed cf. XII 74 12 ἐπιγνώμονας Harp. s. v.: γνώμονας X, quod defendit Wilamowitz Arist. u. Athen I 241, sed cf. Plat. leg. VIII 843[d] 846[b] Bull. corr. hell. III 245 v. 44 14 ἐξημίωσέ μ' post Contium Meutzner: ἐξημίωσεν X ἐργαζόμενον C: ἐργαζομένους X, ἐπεργαζόμενον Scheibe, ἐργαζόμενόν που Wdn, ἡμᾶς ὡς ἐργαζομένους Ks τὰ . . . χωρία del. Herw 16 οὕτω del. Dobr 17 καὶ οὐ τὰς Funkhänel, οὐδὲ τὰς Rauchenstein, καίτοι τὰς Heldmann, ὥστε τὰς Meutzner 19 μίαν Blass: μορίαν X, μίαν μορίαν Herw, μόνην ἄρ' Wdn 20 κρίνομαι; West, εἰκό-

27 *Πότερον δέ μοι κρεῖττον ἦν, ὦ βουλή, δημοκρατίας
οὔσης παρανομεῖν ἢ ἐπὶ τῶν τριάκοντα; καὶ οὐ λέγω ὡς
τότε δυνάμενος ἢ ὡς νῦν διαβεβλημένος, ἀλλὰ τῷ βου-
λομένῳ τότε μᾶλλον ἐξῆν ἀδικεῖν ἢ νυνί. ἐγὼ τοίνυν
οὐδ' ἐν ἐκείνῳ τῷ χρόνῳ οὔτε τοιοῦτον οὔτε ἄλλο οὐδὲν
28 κακὸν ποιήσας φανήσομαι. Πῶς δ' ἄν, εἰ μὴ πάντων
ἀνθρώπων ἐμαυτῷ κακονούστατος ἦν, ὑμῶν οὕτως ἐπι-
μελουμένων ἐκ τούτου τὴν μορίαν ἀφανίζειν ἐπεχείρησα
τοῦ χωρίου, ἐν ᾧ δένδρον μὲν οὐδὲ ἕν ἐστι, μιᾶς δὲ
ἐλάας σηκός, ὡς οὗτός φησιν, ἦν, κυκλόθεν δὲ ὁδὸς
περιέχει, ἀμφοτέρωθεν δὲ γείτονες περιοικοῦσιν, ἄερ-
κτον δὲ καὶ πανταχόθεν κάτοπτόν ἐστιν; ὥστε τίς ἂν
ἀπετόλμησε, τούτων οὕτως ἐχόντων, ἐπιχειρῆσαι τοιούτῳ
29 πράγματι; Δεινὸν δέ μοι δοκεῖ εἶναι ὑμᾶς μέν, οἷς ὑπὸ
τῆς πόλεως τὸν ἅπαντα χρόνον προστέτακται τῶν μορίων
ἐλαῶν ἐπιμελεῖσθαι, μήθ' ὡς ἐπεργαζόμενον πώποτε ζη-
μιῶσαί ⟨με⟩ μήθ' ὡς ἀφανίσαντα εἰς κίνδυνον καταστῆ-
σαι, | τοῦτον δ' ὃς οὔτε γεωργῶν ἐγγὺς τυγχάνει οὔτ'
ἐπιμελητὴς ᾑρημένος οὔθ' ἡλικίαν ἔχων εἰδέναι περὶ τῶν
τοιούτων, ἀπογράψαι με ἐκ τῆς γῆς μορίαν ἀφανίζειν.*

τως ὡς ἀφ. Kayser, *εἰκότως ἀφ.* Frb, *ἠφάνιζον ὡς νυνὶ* Hamaker, *ἀφανίζων ὡς νυνὶ* Kayser, *ἀφανίζω ὡς νυνὶ* Rauch, *οἷός τ' ἦν λαθεῖν ἐξορύξας, οὕτως ἀφανίζω ὡς νυνὶ κρίνομαι* Kirchner; mihi verba *καὶ τὰς μὲν . . . κρίνομαι* ante *καίτοι οὐ* collocanda videntur 3 *τότε μὲν μέγα δυν. ὑμῖν δὲ διαβ.* vel *τότε δυν. ἢ καὶ νῦν ὑμῖν διαβ.* Francken, *τότε διανοούμενός τι ὢν νῦν διαβέβλημαι* olim Herw *ἀλλὰ* Gebauer: *ἀλλ' ὡς* X, *ἀλλ' ὡς ἴστε* Fuhr 4 *ἐξὸν* Auger 5 *τοιοῦτο* X 10 *ἦν* Meutzner: *εἶναι* X, del. Francken, *οἷον οὗτός φησιν εἶναι* Wdn 11 *ἄερκτον ἀντὶ τοῦ ἄφρακτον καὶ πανταχόθεν καθορώμενον Λυσίας* Harp s. v. 16 *ἐπεργαζόμενον* Steph: *ἀπεργαζόμενον* X 17 *με* add. Meutzner post Reiskium, qui ante *πώποτε* inserebat 20 *ἀπέγραψέ* X, *ἀπογράψασθαι* Meutzner *ἐκ τῆς γῆς* scripsi post Fr. Jacobsium, qui volebat *ἐκ γῆς*, cf. § 2: *ἐγγὺς* X, del. Tayl, *εὐθὺς* Markl

Ἐγὼ τοίνυν δέομαι ὑμῶν μὴ τοὺς τοιούτους λόγους 30
πιστοτέρους ἡγήσασθαι τῶν ἔργων, μηδὲ περὶ ὧν αὐτοὶ
σύνιστε, τὰ τοιαῦτ' ἀνασχέσθαι τῶν ἐμῶν ἐχθρῶν λεγόν-
των, ἐνθυμουμένους καὶ ἐκ τῶν εἰρημένων καὶ ἐκ τῆς
ἄλλης πολιτείας. ἐγὼ γὰρ τὰ ἐμοὶ προστεταγμένα ἅπαντα 31
προθυμότερον πεποίηκα, ⟨ἢ⟩ ὡς ὑπὸ τῆς πόλεως ἠναγ-
καζόμην, καὶ τριηραρχῶν καὶ εἰσφορὰς εἰσφέρων καὶ
χορηγῶν καὶ τἆλλα λῃτουργῶν οὐδενὸς ἧττον πολυτε-
λῶς τῶν πολιτῶν. καίτοι ταῦτα μὲν μετρίως ποιῶν ἀλλὰ 32
μὴ προθύμως οὔτ' ἂν περὶ φυγῆς οὔτ' ἂν περὶ τῆς ἄλ-
λης οὐσίας ἠγωνιζόμην, πλείω δ' ἂν ἐκεκτήμην, οὐδὲν
ἀδικῶν οὐδ' ἐπικίνδυνον ἐμαυτῷ καταστήσας τὸν βίον·
ταῦτα δὲ πράξας, ἃ οὗτός μου κατηγορεῖ, ἐκέρδαινον μὲν
οὐδέν, ἐμαυτὸν δ' εἰς κίνδυνον καθίστην. καίτοι πάν- 33
τες ἂν ὁμολογήσαιτε δικαιότερον εἶναι τοῖς μεγάλοις
χρῆσθαι τεκμηρίοις περὶ τῶν μεγάλων, καὶ πιστότερα
ἡγεῖσθαι περὶ ὧν ἅπασα ἡ πόλις μαρτυρεῖ, μᾶλλον ἢ
περὶ ὧν μόνος οὗτος κατηγορεῖ.

Ἔτι τοίνυν, ὦ βουλή, ἐκ τῶν ἄλλων σκέψασθε. μάρ- 34
τυρας γὰρ ἔχων αὐτῷ προσῆλθον, λέγων ὅτι μοι πάν-
τες ⟨ἔτι⟩ εἰσὶν οἱ θεράποντες, οὓς ἐκεκτήμην ἐπειδὴ παρ-
έλαβον τὸ χωρίον, καὶ ἕτοιμός εἰμι, εἴ τινα βούλοιτο,
παραδοῦναι βασανίζειν, ἡγούμενος οὕτως ἂν τὸν ἔλεγ-

---

2 ἡγήσασθαι Rs: ἡγήσεσθαι X[h] αὐτοὶ οὐδὲν ἐμοὶ σύν. Kayser, αὐτ. οὐδὲν σύνιστε ἐμαυτῷ Scheibe 3 τὰ τοιαῦτ' Hamaker: ταῦτ' X, τοιαῦτ' Lipsius, τἀναντί' Wdn ⟨ψευδῆ⟩ λεγόντων Rs 6 ἢ add. Tayl, ὧν Rs 9 ἀλλὰ μὴ προθύμως del. Roehl 10 οὔτε περὶ τῆς ἄλλ. Halb ἄλλης del. Hirschig 13 μὲν ⟨ἂν⟩ οὐδὲν Herw 16 περὶ τῶν μικρῶν Dobr 20 γὰρ ἔχων Rs: παρέχων X 21 ἔτι add. West, περίεισιν Emperius, εἶεν Dobr 22 εἰμὶ Scheibe: ἤμην X, ἦν Hertlein, εἴην Dobr, ἦ μὴν West, delere malit Morgan εἴ τινας Wdn

χον ἰσχυρότερον γενέσθαι τῶν τούτου λόγων καὶ τῶν
35 ἔργων τῶν ἐμῶν. οὗτος δ' οὐκ ἤθελεν, οὐδὲν φάσκων
πιστὸν εἶναι τοῖς θεράπουσιν. ἐμοὶ δὲ δοκεῖ ⟨θαυμα-
στὸν⟩ εἶναι, εἰ περὶ αὑτῶν μὲν οἱ βασανιζόμενοι κατ-
ηγοροῦσιν, εὖ εἰδότες ὅτι ἀποθανοῦνται, περὶ δὲ τῶν
δεσποτῶν, οἷς πεφύκασι κακονούστατοι, μᾶλλον ἂν ἕλοιντο
ἀνέχεσθαι βασανιζόμενοι ἢ κατειπόντες ἀπηλλάχθαι τῶν
36 παρόντων κακῶν. καὶ μὲν δή, ὦ βουλή, φανερὸν εἶναι
⟨πᾶσιν⟩ ἡγοῦμαι ὅτι, εἰ Νικομάχου ἐξαιτοῦντος τοὺς
ἀνθρώπους μὴ παρεδίδουν, ἐδόκουν ἂν ἐμαυτῷ συνει-
δέναι· ἐπειδὴ τοίνυν ἐμοῦ παραδιδόντος οὗτος παραλα-
βεῖν οὐκ ἤθελε, δίκαιον καὶ περὶ τούτου τὴν αὐτὴν
γνώμην σχεῖν, ἄλλως τε καὶ τοῦ κινδύνου οὐκ ἴσου ἀμ-
37 φοτέροις ὄντος. περὶ ἐμοῦ μὲν γὰρ εἰ ἔλεγον ἃ οὗτος
ἐβούλετο, οὐδ' ἂν ἀπολογήσασθαί μοι ἐξεγένετο· τούτῳ
δ' εἰ μὴ ὡμολόγουν, οὐδεμιᾷ ζημίᾳ ἔνοχος ἦν. ὥστε
πολὺ μᾶλλον τοῦτον παραλαμβάνειν ἐχρῆν ἢ ἐμὲ παρα-
δοῦναι προσῆκεν. ἐγὼ τοίνυν εἰς τοῦτο προθυμίας ἀφι-
κόμην, ἡγούμενος μετ' ἐμοῦ εἶναι καὶ ἐκ βασάνων καὶ

---

1 *ἰσχυρότατον* Bekker *λόγων ἐκ τῶν ἔργων* Rs, *καὶ τῶν ἐχθρῶν τῶν* post Scheibium Wdn, *καί . . . ἐμῶν* del. Roehl 3 *τοῖς* del. Herw *δοκεῖ θαυμαστὸν* Steph: *δοκεῖν* X, *δοκεῖ δεινὸν* marg. Ald, *δοκ. ἄτοπον* Dobr, *ἐμοὶ δὲ δοκεῖν ἐστὶν* (sc. *πιστόν*)· *ἢ περὶ . . . κακῶν*; Gebauer 4 *οἱ* del. Dobr *καταγορεύουσι* Cob 6 *ἕλοιντο* Rauch: *εἵλοντο* X 9 *πᾶσιν* addidi post Marklandum *ἡγοῦμαι* Fuhr coll. XXII 19 III 36 XIV 34: *εἰπεῖν* X, *οἶμαι* Pertz post vulgatam, quae erat *φαν. οἶμαι εἶναι. φαν. οἶμαι πᾶσιν εἶναι* Wdn 10 *ξυνειδέναι* X 12 *τούτου ⟨ὑμᾶς⟩* Rs 13 *γνώμην ἔχειν* C et ft. pr. Xh 14 *ἃ οὗτος ἐβούλετο* huc transposuit Bekker: in X leguntur post *ὡμολόγουν*. *εἴ τι ἔλεγον* Rs, *εἰ ἔλεγον ταῦτα* vel *καὶ παρὰ τὴν ἀλήθειάν τι* Kayser, *εἰ ἔλεγον ἃ οὐδὲν ἐμοὶ προσῆκεν* P. Müller, *εἰ ἤλεγχον* Scheibe coll. Lyc. 33, *εἰ ἐψεύδοντο* Halb 18 *προσῆκεν* Markl: *προσήκει* X, del. Meutzner 19 *μετ'* Steph cf. Isocr. IV 53: *μήτ'* X, *μὴ κατ' ἐμοῦ* Kayser, *ἡγ. προσήκειν μοι καὶ* Meutzner, *πρὸς ἐμοῦ* C

ἐκ μαρτύρων καὶ ἐκ τεκμηρίων ὑμᾶς περὶ τοῦ πράγμα-
τος τἀληθῆ πυθέσθαι. ἐνθυμεῖσθαι δὲ χρή, ὦ βουλή, 38
ποτέροις χρὴ πιστεύειν μᾶλλον, οἷς πολλοὶ μεμαρτυρή-
κασιν ἢ ᾧ μηδεὶς τετόλμηκε, καὶ πότερον εἰκὸς μᾶλλον
τοῦτον ἀκινδύνως ψεύδεσθαι ἢ μετὰ τοσούτου κινδύνου
τοιοῦτον ἐμὲ ἔργον ἐργάσασθαι, καὶ πότερον οἴεσθε
αὐτὸν ὑπὲρ τῆς πόλεως βοηθεῖν ἢ συκοφαντοῦντα αἰτι-
άσασθαι; ἐγὼ μὲν ⟨γὰρ ἐγνωκέναι⟩ ὑμᾶς ἡγοῦμαι ὅτι 39
Νικόμαχος ὑπὸ τῶν ⟨ἐχθρῶν⟩ πεισθεὶς τῶν ἐμῶν τοῦτον
τὸν ἀγῶνα ἀγωνίζεται, οὐχ ὡς ἀδικοῦντα ἐλπίζων ἀπο-
δείξειν, ἀλλ' ὡς ἀργύριον παρ' ἐμοῦ λήψεσθαι προσδοκῶν.
ὅσῳ γὰρ ⟨οἵ⟩ τοιοῦτοί εἰσιν ἐπαιτιώτατοι καὶ ἀπορώτατοι
τῶν κινδύνων, τοσούτῳ πάντες αὐτοὺς φεύγουσι μάλιστα.
ἐγὼ δέ, ὦ βουλή, οὐκ ἠξίουν, ἀλλ' ἐπειδήπερ με ᾐτιά- 40
σατο, παρέσχον ἐμαυτὸν ὅ τι βούλεσθε χρῆσθαι, καὶ τού-
του ἕνεκα τοῦ κινδύνου οὐδενὶ ἐγὼ τῶν ἐχθρῶν διηλ-
λάγην, οἳ ἐμὲ ἥδιον κακῶς λέγουσιν ἢ σφᾶς αὐτοὺς
ἐπαινοῦσι, καὶ φανερῶς μὲν οὐδεὶς πώποτε ἐμὲ αὐτῶν
ἐπεχείρησε ποιῆσαι κακὸν οὐδέν, τοιούτους δὲ ἐπιπέμ-
πουσί μοι, οἷς ὑμεῖς οὐκ ἂν δικαίως πιστεύοιτε. πάν- 41
των γὰρ ἀθλιώτατος ἂν γενοίμην, εἰ φυγὰς ἀδίκως κατα-
στήσομαι, ἄπαις μὲν ὢν καὶ μόνος, ἐρήμου δὲ τοῦ οἴκου
γενομένου, | μητρὸς δὲ πάντων ἐνδεοῦς ⟨οὔσης⟩, πατρί-

---

1 *μαρτυριῶν* Francken 3 *πότερον χρὴ* Heldmann *οἷς*] *ᾧ καὶ* Wdn 5 *τοῦτον* marg. Ald: *τούτῳ* X 6 *οἴεσθε*] *ἐλαίας σηκῷ* Kayser, *εἰκὸς* Rauch, *πιστότερον οἴεσθε* P. Müller 7 *βοηθοῦντα* Zaka *αἰτιᾶσθαι* Kayser 8 *γὰρ* add. Fuhr cf. P. Müller Beiträge 1862, 5, *οὖν* Albrecht *ἐγνωκέναι* add. Hamaker, *εἰδέναι* post Schottum Bartelt, *ὑποπτεύειν* vel *ᾐσθῆσθαι* Kayser, *ἐγνωκέναι* loco verborum *ἐγὼ μὲν* Meutzner, *ἐγνωκέναι μὲν ὑμᾶς* Wdn 9 *ἐχθρῶν* add. C, *ὑπ' ἐχθρῶν* Wdn 12 *οἱ* add. Rs. 15 *ἐβούλεσθε* Scheibe 16 *ἕνεκα* C: *οὕνεκα* X 17 *ἥδιον* Tayl: *ἤδη* X 18 *αὐτῶν* Schott: *αὐτὸν* X, *αὐτὸς* Rs, *αὐτὸς αὐτὸν* Wdn 20 *μοι ⟨συκοφάντας⟩* Blass 23 *οὔσης*

δος δὲ τοιαύτης ἐπ' αἰσχίσταις στερηθεὶς αἰτίαις, πολλὰς μὲν ναυμαχίας ὑπὲρ αὐτῆς νεναυμαχηκώς, πολλὰς δὲ μάχας μεμαχημένος, κόσμιον δ' ἐμαυτὸν καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ παρασχών.

42 Ἀλλὰ γάρ, ὦ βουλή, ταῦτα μὲν ἐνθάδε οὐκ οἶδ' ὅ τι
δεῖ λέγειν· ἀπέδειξα δ' ὑμῖν ὡς οὐκ ἐνῆν σηκὸς ἐν τῷ
χωρίῳ, καὶ μάρτυρας παρεσχόμην καὶ τεκμήρια. ἃ χρὴ
μεμνημένους διαγιγνώσκειν περὶ τοῦ πράγματος, καὶ
ἀξιοῦν παρὰ τούτου πυθέσθαι ὅτου ἕνεκα, ἐξὸν ἐπ'
αὐτοφώρῳ ἐλέγξαι, τοσούτῳ χρόνῳ ὕστερον εἰς τοσοῦ-
43 τόν με κατέστησεν ἀγῶνα, καὶ μάρτυρα οὐδένα παρα-
σχόμενος ἐκ τῶν λόγων ζητεῖ πιστὸς γενέσθαι, ἐξὸν
αὐτοῖς τοῖς ἔργοις ἀδικοῦντα ἀποδεῖξαι, καὶ ἐμοῦ ἅπαν-
τας διδόντος τοὺς θεράποντας, οὕς φησι παραγενέσθαι,
παραλαβεῖν οὐκ ἤθελεν.

8.

ΚΑΤΗΓΟΡΙΑ
ΠΡΟΣ ΤΟΥΣ ΣΥΝΟΥΣΙΑΣΤΑΣ ΚΑΚΟΛΟΓΙΩΝ.

1 Ἐπιτήδειόν μοι δοκῶ καιρὸν εἰληφέναι περὶ ὧν εἰπεῖν ἐβουλόμην πάλαι· πάρεισι μὲν γὰρ οἷς ἐπεγκαλῶ, πάρεισι δὲ ὧν ἐναντίον ἐπιθυμῶ μέμψασθαι τοῖς ἀδικοῦσιν ἐμέ. καίτοι πολλῷ πλείων ἐστὶ σπουδὴ πρὸς τοὺς ἀκροατάς· τοὺς μὲν γὰρ ⟨παρ'⟩ οὐδὲν οἶμαι τιμήσειν,

---

add. Frb 9 παρὰ C, Cont: ἢ ἄρα X 10 malim τοιοῦτον coll. § 39 14 παραδιδόντος Frb Or. VIII. 20 ἄπεισι μὲν Rs, sed cf. § 3 ἐγκαλῶ Scheibe 22 καίτοι] καί μοι Kirchner, καὶ Fritzsche πολλῷ πλείων] πολυπείρων Buermann τοὺς ἀκροατάς scripsi, cf. Thuc. II 35, Plat. ap. 25ᵃ; τοὺς παρόντας X, τούτους Francken, τούτους τοὺς παρόντας Heldmann, τοὺς δικάζοντας Gleiniger, τοὺς τοῦ κρίνειν ἕνεκα παρόντας Herw, τοὺς παρ. φίλους ἢ πρὸς τοὺς συνουσιαστάς Fritzsche, συμπαρόντας amicus Fritzschii 23 παρ' add. Em-

εἰ τοῖς ἐπιτηδείοις ἀνεπιτήδειοι δόξουσιν εἶναι (τὴν γὰρ
ἀρχὴν οὐδ' ἂν ἐπεχείρουν ἐξαμαρτάνειν εἰς ἐμὲ), τοῖς 2
δὲ βουλοίμην ἂν δόξαι μηδὲν ἀδικῶν τούτους ὑπὸ τού-
των ἀδικεῖσθαι πρότερον. ἀνιαρὸν μὲν οὖν ἀναγκάζεσθαι
λέγειν περὶ τούτων, ἀδύνατον δὲ μὴ λέγειν, ὅταν ἐναν-
τίον τῆς ἐλπίδος κακῶς πάσχω καὶ τοὺς δοκοῦντας εἶναι
φίλους ἀδικοῦντας εὑρίσκω.

Πρῶτον μὲν οὖν, ἵνα μή τις ὑμῶν τάχα δὴ βοηθῶν 3
οἷς ἐξημάρτηκε πρόφασιν πορίσηται τῆς ἁμαρτίας, εἰ-
πάτω οὖν τίς ὑμῶν ὑπ' ἐμοῦ κακῶς ἀκήκοεν ἢ πέπον-
θεν, ἢ τίς ἐμοῦ δεηθεὶς οὐκ ἔτυχεν ὧν ἐγώ τε δυνατὸς
ἦν κἀκεῖνος ἐπήγγειλε. — τί δῆτά με κακῶς τὰ μὲν λέ-
γειν τὰ δὲ ποιεῖν ἐπιχειρεῖτε, καὶ ταῦτα πρὸς τούτους
ἡμᾶς διαβάλλειν, οὓς πρὸς ἡμᾶς αὐτοὺς διεβάλλετε;
καίτοι οὕτως ἠνωχλεῖτε, ὥστε περὶ πλείονος ἐποιήσατό 4
⟨τις⟩ δοκεῖν ἐμοῦ κήδεσθαι, καὶ μᾶλλον ⟨εἵλετο⟩ ἐμοὶ
κατειπεῖν. ἃ δ' ἔλεγε, πάντα μὲν οὐκ ἂν εἴποιμι (καὶ

---

perius, *οὐδὲν οἶμαι προτιμήσειν* Rs, *τοῖς μ. γ. οὐδ. οἰμ. μελήσειν* Scheibe (*διοίσειν* West), *τοὺς μ. γ. οὐδεμία αἰτία λήσει* Kirchner 1 *ἐπιτηδείοις* Cont: *ἀνεπιτηδείοις* X 4 *πρότερος* Markl 5 *τοὐναντίον* Dobr 6 *κακῶς* del. Francken 8 *τάχα δὴ βοηθῶν* del. Cob, *δὴ* deleverit Hude, ut vid., *βοηθῶν τούτοις* (incusatis) *οἷς* (quibus rebus) Scheibe 9 *τῆς ἁμαρτίας* del. Kirchner *εἴπατε* Cob 10 *οὖν* om. C, *νῦν* Rs, *ὁ βουλόμενος* Gebauer 12 *ἐπήγγειλε* est in X 13 aut *καὶ τολμᾶτε πρὸς* aut *καὶ ταῦτα . . . διαβάλλοντες* Herw 14 *ἡμᾶς αὐτοὶ* Dobr 15 *ἠνωχλεῖτε* Kayser post Contium qui prop. ⟨*τούτους*⟩ *οὕτως ἐνοχλεῖτε*: *ἐνοχλεῖ* X, Kayser addebat *τῳ* 16 *τις* et *εἵλετο* addidi *ἐμοὶ* Emperius (deinde *κατεῖπεν*): *ἐμοῦ* X, *καὶ τί οὕτως ἐνοχλεῖτε, ὥστε περὶ πλείονος ἐποιήσατο ὁ δεῖνα ἐμοῦ κήδεσθαι ἢ καὶ μᾶλλον ἐμοῦ κατειπεῖν;* Foertsch, *καίτοι οὗτος, ὃν ἠνωχλεῖτε, περὶ πλείονος ἐποιήσατο δοκεῖν ἐμοῦ κήδεσθαι καὶ δι' ἄλλων ἐμοὶ κατεῖπεν.* Emperius, *καὶ τοιούτως ἐνοχλεῖν ὥστε [περὶ πλεί. ἐποι.] δοκεῖν* Buermann, *καί μοι οὕτως ἐνοχλεῖτε, ὥστε περὶ πλείονος ἐποιήσασθε δοκεῖν ἐμοῦ κήδεσθαι ἢ κήδεσθαι, καὶ μᾶλλον ἐμοῦ κατείπετε* Hallensleben, *τὸ δοκεῖν* Cob 17 *ἃ δ' ἐλέγετε* Schott

γὰρ ἀκούων ἠχθόμην) οὐδ' ἂν ὑμῖν ἐπικαλῶν, ὅτι ἐλέ-
γετε κατ' ἐμοῦ ταῦτα, λέξαιμι· καὶ γὰρ ἂν ἀπολύοιμι
τῆς αἰτίας ὑμᾶς, εἴπερ ὑμῖν ταὐτὰ λέγοιμι περὶ ἐμαυτοῦ·
5 ἃ δὲ ὑβρίζειν οἰόμενοι ἐμὲ καταγελάστους ὑμᾶς αὐτοὺς
ἐποιεῖτε, ταῦτα λέξω. βίᾳ γὰρ ὑμῖν ἐφάσκετέ με ξυνεῖ-
ναι καὶ διαλέγεσθαι, καὶ πάντα ποιοῦντες οὐκ ἔχειν
ὅπως ἀπαλλαγῆτέ μου, καὶ τὸ τελευταῖον ἀκόντων ὑμῶν
Ἐλευσῖνάδε ξυνθεωρεῖν. καὶ ταῦτα λέγοντες οἴεσθε μὲν
ἐμὲ κακολογεῖν, ἀποφαίνετε δὲ σκαιοτάτους ἑαυτούς,
οἵτινες μὲν ὑπὸ τὸν αὐτὸν χρόνον τὸν αὐτὸν ἄνδρα
λάθρα μὲν ἐλοιδορεῖτε, φανερῶς δὲ φίλον ἐνομίζετε.
6 χρῆν γὰρ ὑμᾶς ἢ μὴ κακῶς λέγειν ἢ μὴ ξυνεῖναι, καὶ
ταῦτα φανερῶς ἀπειπόντας ὁμιλίαν. εἰ δὲ αἰσχρὸν ἡγεῖσθε
τοῦτο, πῶς αἰσχρὸν ἦν ὑμῖν ξυνεῖναι, πρὸς ὃν οὐδὲ
7 ἀπειπεῖν καλὸν ἡγεῖσθε; καὶ μὴν οὐδὲν αὐτὸς ἐξηῦρον
ὁπόθεν ἂν εἰκότως ὑπερείδετε τὴν ἐμὴν ὁμιλίαν. οὔτε
γὰρ ὑμᾶς σοφωτάτους ⟨μὲν⟩ ἑώρων ὄντας, ἐμαυτὸν δ'
ἀμαθέστατον, οὐ μὴν οὐδὲ πολυφίλους ὑμᾶς, ἐμαυτὸν
δ' ἔρημον φίλων, οὐδ' αὖ πλουτοῦντας, ἐμὲ δὲ πενό-
μενον, οὐδ' αὖ ὑμᾶς μὲν ὑπερευδοκιμοῦντας, ἐμαυτὸν

1 οὐδ' αὖ ὑμῖν . . . διέξειμι Dobr ὅ τι ἐλέγετε κατ' ἐμοῦ, ταὐτὰ Markl 2 λέξαιμι Markl: δόξαιμι X 3 ταὐτὰ C et Tayl: ταῦτα X ὑπὲρ ἐμαυτοῦ Markl 6 ἔχειν ὅπως Salmas.: ἐκεῖνο πως X 7 ἀπαλλαγεῖτε Francken ἀκόντων ἡμῶν X 8 ⟨με⟩ ξυνθεωρεῖν Herw ᾤεσθε et 9 ἀπεφαίνετε Markl 10 μὲν ante ὑπὸ del. Bekker, με Cob deletis, quae sequuntur τὸν αὐτὸν ἄνδρα ἄνδρα λάθρα Coislinianus Taylori: λάθρα ἄνδρα X 11 μὲν alterum del. Gebauer φίλον ὠνομάζετε Markl 13 ἀπειπόντας Tayl: ἀπειπόντα X 15 μὴν οὐδὲν a pr. m. corr. ex μηδὲν X αὐτὸς ἐξηῦρον Schott: οὗτος ἐξεῦρεν X, τοιοῦτον ἐξεῦρον Rs, οἷός τ' ἢ ἐξευρεῖν amicus Fritzschii 16 ὑπερείδετε Schott: ὑπερεῖδε X οὐδὲ γὰρ ὑμᾶς μὲν Cob 17 μὲν addidi post Reiskium ἑώρων Rs: θεωρῶν X 19 ὑμᾶς μὲν ante πλουτοῦντας add. Scheibe 20 αὖ alterum del. Blass

δὲ διαβεβλημένον, οὐδὲ τὰ μὲν ἐμὰ πράγματα κινδυ-
νεύοντα, | τὰ δ' ὑμέτερα ἀσφαλῶς ἔχοντα. πόθεν ἂν
οὖν εἰκότως ὑπώπτευον ἄχθεσθαί μοι συνόντι; καὶ ταῦτα 8
δ' ὅτε πρὸς τοὺς τελευταίους ἐλέγετ' οὐκ ᾤεσθε ἀπαγ-
γελεῖν ἡμῖν, κἀνταῦθα σόφισμα καλὸν ἡγούμενοι περιήλ-
θετε πάντας ὑμῶν αὐτῶν κατηγοροῦντες ὅτι πονηροῖς
ἑκόντες ὁμιλεῖτε.

Περὶ μὲν οὖν τοῦ λέγοντος οὐδὲν ἂν περαίνοιτε πυν-
θανόμενοι. πρῶτον μὲν γὰρ εἰδότες ἐρήσεσθε τὸν εἰ-
πόντα μοι· πῶς γὰρ οὐκ ἴστε πρὸς ὃν ἐλέγετε τὸν λόγον;
ἔπειτα κακὸς ἂν εἴην, εἰ ταὐτὰ ποιήσαιμι αὐτὸν ἅπερ 9
ἐκεῖνος ὑμᾶς. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἐκεῖνος ἡμῖν
ἀπήγγελλεν, ἐφ' οἷσπερ ὑμεῖς ἐλέγετε πρὸς ἐκεῖνον.
ἐκεῖνος μὲν γὰρ ἐμοὶ χαριζόμενος ἀπήγγειλε τοῖς ἐμοῖς
ἀναγκαίοις, ὑμεῖς δὲ βλάπτειν ἐμὲ βουλόμενοι πρὸς
ἐκεῖνον ἐλέγετε. καὶ ταῦτα εἰ μὲν ἠπίστουν, ἐξελέγχειν
ἂν ἐζήτουν· νῦν δὲ (ξυμβαίνει γὰρ καὶ ταῦτα τοῖς πρὸ
τοῦ καὶ ἐμοὶ σημεῖα ταῦτα μὲν ἐκείνων ἐστίν, ἐκεῖνα δὲ 10
τούτων ἱκανά) πρῶτον μὲν ἅπαντα δι' ὑμῶν πράξαντά
με περὶ τῆς θέσεως τοῦ ἵππου πρὸς Ἡγέμαχον, κάμνοντα
τὸν ἵππον ἀνάγειν με βουλόμενον Διόδωρος οὗτος ἀπο-

3 ὑμᾶς post ὑπώπτ. add. Rs, post εἰκότως Scheibe, qui prop. συνόντας 4 ὅτε . . . ἐλέγετ' οὐκ Sauppe: ὅτι . . . ἔλεγεν οὓς X, διὰ τί . . . ἐλέγετε οὓς Emperius, καὶ ταῦτ' οἶδ' ὅτι πρὸς τούτους τελευταίους ἐλέγετε, οὓς Dobr τελευταίους] ἐπιτηδείους Franz, ἀναγκαίους ἐμοὺς Cont ἀπαγγελεῖν C: ἀπαγγέλλειν X 5 κἀντεῦθεν Buermann, καὶ τοῦτο Cont, καὶ ταῦτα Sauppe ἡγούμενοι Dobr: εἶναι εἰ X 6 πάντας Sauppe: πάντες X 7 ὁμιλεῖτε; Sauppe 9 εἰδότες Rs: εἰπόντες X 11 ταὐτὰ Scal: τὰ X 14 ἐμοῖς Steph: ἐμοὶ X 17 ἐζήτουν habet X 19 πρῶτον μὲν ⟨γὰρ⟩ Buermann 20 πρὸς Ἡγέμαχον Dobr: προσῆγε μαχόμενον X, πράξαντί μοι . . . προσῆγεν Ἡγέμαχος Buermann pone ἵππου lacunam statuit Rs et Scheibe, qui malit προσῆγε μαραινόμενον καὶ κάμν. 21 ἀνάγει^ν X^s, ἀνάγειν δὲ β. Buermann, καὶ ἀνάγειν με β. Fritzsche οὑτοσὶ Cob

τρέπειν ἐπειρᾶτο, φάσκων οὐδὲν ἀντιλέξειν περὶ τῶν
δώδεκα μνῶν Πολυκλέα, ἀλλ' ἀποδώσειν. τότε λέγων
ταῦτα, μετὰ τὸν θάνατον τοῦ ἵππου κατέστη τελευτῶν
ἀντίδικος μετὰ τούτων, λέγων ὡς οὐ δίκαιόν με εἴη κο-
11 μίσασθαι τὸ ἀργύριον. καίτοιγε σφῶν γε αὐτῶν κατη-
γόρουν. εἰ γὰρ ἃ μετὰ τούτων ⟨ἔπραττον⟩ ἀδικουμένῳ
μοι μηδὲν ἦν δίκαιον εἰπεῖν, ἦ που καλῶς συνέπραττον.
καὶ ἐγὼ μὲν ᾤμην φιλοσοφοῦντας αὐτοὺς περὶ τοῦ πράγ-
ματος ἀντιλέγειν τὸν ἐναντίον λόγον· οἱ δ' ἄρα οὐκ
12 ἀντέλεγον ἀλλ' ἀντέπραττον, καὶ διὰ τοῦτο ἀντέλεγον,
ἵνα τὸν ἐμὸν λόγον εἰδείη Πολυκλῆς· ἐδηλώθη γὰρ
ταῦτα. παρόντων τῶν διαιτητῶν ὀργιζόμενος ὁ Πολυ-
κλῆς εἶπεν ὅτι καὶ τοῖς ἐμοῖς ἐπιτηδείοις ἀδικεῖν δο-
κοίην, ὡς πρὸς ἐκεῖνον λέγοιεν. ἆρά γε ταῦτα ξυμβαί-
νει τοῖς ἀπαγγελλομένοις; ὁ γὰρ αὐτὸς ἀπήγγειλεν ὡς
τοὺς ὑπὲρ ἐμοῦ μέλλοντας λέγειν ἀποτρέπειν φάσκοιτε,
τοὺς δέ τινας ἤδη κωλύσαιτε. καὶ ταῦτα τί με δεῖ φα-
13 νερώτερον ἐξελέγχειν ἔτι; φέρε γάρ, ἤδη ποτ' ἐκεῖνος
ὅτι Κλειτοδίκου δεηθεὶς ἐπιλέγειν οὐκ ἔτυχον; οὐ γὰρ
δὴ παρῆν τούτοις· ἢ τί κέρδος ἦν αὐτῷ διαβάλλειν ἐμὲ

5 *σφῶν* Dobr: ἐφ' ὧν X αὐτῶν a pr. m. corr. ex αὐτὸν X[s] 6 *ἔπραττον* add. amicus Fritzschii, τὰ μετὰ τούτων Kirchner, ἃ μετὰ τούτων διωκούμην περὶ τούτων ἐμοὶ μηδὲν Dobr, γὰρ μὴ ὑπὸ τούτων ἀδ. Westermann, γὰρ ἄρα παρὰ τούτων ἀδ. Hallensleben 9 ἀντιλέξειν Scheibe 10 *διὰ* del. Dobr *ἀντέλεγον* Emperius: ἀντέπραττον X, αὐτὸ ἔπραττον Römer 12 *παρόντων* ⟨γὰρ⟩ Rs, ⟨οὖν⟩ Scheibe *ὀργιζόμενος* Markl: ὁριζόμενος X 13 *δοκοίην* C: δοκοίη X 16 ἀπο-τρέψειν Cont, sed praesens tempus de conatu usurpatur 17 *κωλύσαιτε* Rs: κωλύσετε X 18 *ἔτι* Rs: ὅτι X ᾔδει πότ' Bekker, ⟨πόθεν⟩ ἤδη ποτ' Dobr ἐκεῖνος sc. nuntius ille 19 *ἐπιλέγειν* Emperius: ἐκλέγειν X 20 *ἢ τί* Emperius: ἐπεὶ X, ἔπειτα τί Baiter, ἐπεὶ τί Polak, ἔπειτα Scheibe, εἰ μὴ amicus Fritzschii ὑμᾶς πρὸς ἐμὲ Kirchner

πρὸς ὑμᾶς οὕτω προθύμως, ὥστε σπουδάσαι πρὸς τοὺς ἐμοὺς ἀναγκαίους πλάσασθαι ταῦτα;

Γιγνώσκω δὲ νῦν ἤδη καὶ πάλαι ζητοῦντας πρόφασιν 14
ἡνίκα Θρασύμαχον ὑμᾶς ἐφάσκετε κακῶς λέγειν δι' ἐμέ. καὶ ἐγὼ μὲν ἠρώτων αὐτὸν εἰ δι' ἐμὲ κακῶς λέγοι Διόδωρον· ὁ δὲ τοσοῦντον ὑπερεῖδε τὸ δι' ἐμέ· πολλοῦ γὰρ δεῖν ἔφη δι' ὁντινοῦν εἰρηκέναι Διόδωρον κακῶς. καὶ ταῦτα προσάγοντος ἐμοῦ πρόθυμος ὁ Θρασύμαχος ἦν
ἐξελέγχεσθαι, περὶ ὧν οὗτος ἔλεγεν· οὗτος δὲ πάντ' ἂν 15
μᾶλλον διεπράττετο. μετὰ τοῦτο Αὐτοκράτης ἐμοῦ παρόντος Θρασυμάχῳ ἔλεγεν Εὐρυπτόλεμον αὐτῷ μέμφεσθαι, φάσκοντα κακῶς ἀκούειν ὑπ' αὐτοῦ· τὸν ἀπαγγέλλοντα δὲ εἶναι Μηνόφιλον. εὐθὺς δ' ἐκεῖνος ἐπὶ τὸν Μηνόφιλον ἐβάδιζε μετ' ἐμοῦ· κἀκεῖνος οὔτε ἀκοῦσαι πώποτε ἔφασκεν οὔτε ἀπαγγεῖλαι πρὸς Εὐρυπτόλεμον, καὶ οὐ ταῦτα μόνον, ἀλλ' οὐδὲ διειλέχθαι πολλοῦ χρό-
νου. τοιαύτας προφάσεις προφασιζόμενοι τότε μὲν ἐκ 16
τῆς ἐμῆς καὶ Θρασυμάχου συνουσίας ἐστὲ φανεροί, νῦν δὲ ἐπειδὴ ἐκλελοίπασιν ὑμᾶς αἱ προφάσεις, ἐλευθεριώτερόν με κακῶσαι λείπετε ἤδη οὐδέν. χρῆν μὲν οὖν τότε με γιγνώσκειν ὀφειλόμενόν μοι ταῦτα παθεῖν, ὅτε καὶ πρὸς ἐμὲ περὶ ὑμῶν αὐτῶν ἐλέγετε κακῶς· ἔπειτα καὶ

---

3 *νῦν τε καὶ πάλαι* Lobeck, *νῦν τε δὴ καὶ πάλαι* Emperius, sed *καὶ πάλαι* est „iam dudum" [Demosth.] LIII 4 Plat. resp. VI 506^b 6 *πολλοῦ γε δεῖν* Buermann 8 *προθύμως* superscripto *ος* X^s 9 *πάντ' ἂν* Markl: *πάντων* X, *πάντα* superscriptum in C 10 *τοῦτο* Auger: *τοῦτον* X 19 *ἐλευθερώτερον* Cob, *ἀνελευθερώτατον* Kayser 20 *κακῶσαι λείπετε* C: *κακώσας λέπτιδι* X, ex quibus vestigiis Scheibe add. *ἤδη*, *ἐλλείπετε* Franz, *κακῶς ἀεὶ λέγετε δι' οὐδὲν* Bartelt *χρὴ* X 21 *μοι* C: *με* X *ὅτε* habet X 22 *ἐλέγετε* Cont: *ἔλεγε* X *καλῶς* X *ἔπειτα* i. e. attamen cf. Plat. resp. I 336^b Prot. 310^c, *ἐπεὶ καὶ τὰ π.* Francken, *ἔπειτα . . . ὑμᾶς* del. Buermann

περὶ Πολυκλέους, ᾧ νυνὶ βοηθεῖτε, πάντ' εἴρηκα πρὸς
17 *ὑμᾶς. κατὰ τί δῆτα ταῦτα ⟨οὐκ⟩ ἐφυλαττόμην; εὔηθές*
τι ἔπαθον. ᾤμην γὰρ ἀπόθετος ὑμῖν εἶναι φίλος τοῦ μηδὲν ἀκοῦσαι κακὸν δι' αὐτὸ τοῦτο, διότι πρὸς ἐμὲ τοὺς ἄλλους ἐλέγετε κακῶς, παρακαταθήκην ἔχων ὑμῶν | παρ' ἑκάστου λόγους πονηροὺς περὶ ἀλλήλων.

18 *Ἐγὼ τοίνυν ἑκὼν ὑμῖν ἐξίσταμαι τῆς φιλίας, ἐπεί τοι μὰ τοὺς θεοὺς οὐκ οἶδ' ὅ τι ζημιωθήσομαι μὴ ξυνὼν ὑμῖν· οὐδὲ γὰρ ὠφελούμην ξυνών. πότερον γάρ, ὅταν ᾖ τί μοι πρᾶγμα, τότε ποθέσομαι τὸν ἐροῦντα καὶ τοὺς μαρτυρήσοντας; καὶ νῦν ⟨δ'⟩ ἀντὶ μὲν τοῦ λέγειν ὑπὲρ ἐμοῦ τὸν λέγοντα πειρᾶσθε κωλύειν, ἀντὶ δὲ τοῦ βοηθεῖν ἐμοὶ καὶ μαρτυρεῖν τὰ δίκαια ξύνεστε τοῖς ἐμοῖς*
19 *ἀντιδίκοις καὶ μαρτυρεῖτε. ⟨ἀλλ'⟩ ὡς εὐνοοῦντες ἐμοὶ*
τὰ βέλτιστα ἐρεῖτε περὶ ἐμοῦ; ἀλλὰ καὶ νῦν ὑμεῖς με μόνοι κακῶς λέγετε. τὸ μὲν οὖν ἐμὸν οὐκ ἐμποδὼν ὑμῖν ἔσται. τοιοῦτον δ' ἄρα πρὸς ὑμᾶς αὐτοὺς πείσεσθε, ἐπειδή περ ὑμῖν ἔθος ἐστὶν ἕνα τῶν ξυνόντων ἀεὶ κακῶς λέγειν καὶ ποιεῖν· ἐπειδὰν ὑμῖν ἐγὼ μὴ ξυνῶ, πρὸς ὑμᾶς αὐτοὺς τρέψεσθε, κἄπειτα καθ' ἕνα ἕκαστον ὑμῖν αὐτοῖς ἀπεχθήσεσθε, τὸ δὲ τελευταῖον εἷς ὁ λειπόμενος

---

1 *πάντ'* habet X[s] 2 *δῆτα* scripsi: *δή τι* X cf. § 3, *κᾆτα τί δὴ* Rs *οὐκ* add. Rs 3 *τὸ μηδὲν* Dobr 5 *κακῶς* Foertsch: *καὶ* X, ⟨*κακῶς*⟩ *καὶ* Rs, *καὶ π. ἔχειν* Dobr 8 *ὅ τι καὶ ζ.* Cob 10 *ποθήσομαι* cum libris quibusdam Scheibe *συνεροῦντα* Rs 11 *δ'* addidi, ⟨*ἀλλὰ*⟩ *καὶ* Markl, *οἳ νῦν* vel *οἳ καὶ νῦν* Rs 14 *μαρτυρεῖτε* habet X *ἀλλ'* add. C, *ἢ* Dobr *εὐνοοῦντες* Koen ad Greg. Cor.: *εὔνους ὄντες* X, quod defendit Roehl, Jahresb. d. phil. Vereins V, 41 cf. Meisterhans Gram.[2] 117, *εὖνοι ὄντες* Rs 16 *μόνοι* Bekker: *μόνον* X 17 *δ' ἄρα* scripsi coll. § 11: *γὰρ* X 19 *μὴ ξυνῶ* Markl: *μηνύσω* X 20 *τρέψεσθε* Markl: *τρέπεσθε* X 21 *ἀπαχθήσεσθε* X ante *εἷς* C addit *ὁ*, quod quamquam omnibus fere editoribus placuit, non necessarium est cf. XIII 67

αὐτὸς αὑτὸν κακῶς ἐρεῖ. κερδανῶ δὲ τοσοῦτον, ὅτι πρῶτος νῦν ὑμῶν ἀπαλλαγεὶς ἐλάχιστα κακῶς ὑφ' ὑμῶν πείσομαι· τοὺς μὲν γὰρ χρωμένους ὑμῖν κακῶς καὶ λέγετε καὶ ποιεῖτε, τῶν δὲ μὴ χρωμένων οὐδένα πώποτε.

9.

ΥΠΕΡ ΤΟΥ ΣΤΡΑΤΙΩΤΟΥ.

Τί ποτε διανοηθέντες οἱ ἀντίδικοι τοῦ μὲν πράγ- 1
ματος παρημελήκασι, τὸν δὲ τρόπον μου ἐπεχείρησαν
διαβάλλειν; πότερον ἀγνοοῦντες ὅτι περὶ τοῦ πράγματος
προσήκει λέγειν; ἢ τόδε μὲν ἐπίστανται, ἡγούμενοι δὲ
λήσειν περὶ [τοῦ] παντὸς πλείω λόγον ἢ τοῦ προσήκον-
τος ποιοῦνται; ὅτι μὲν οὐκ ἐμοῦ καταφρονήσαντες ἀλλὰ 2
τοῦ πράγματος τοὺς λόγους ποιοῦνται, σαφῶς ἐπίστα-
μαι· εἰ μέντοι ὑμᾶς οἴονται δι' ἄγνοιαν ὑπὸ τῶν δια-
βολῶν πεισθέντας καταψηφιεῖσθαί μου, τοῦτ' ἂν θαυ-
μάσαιμι. ᾤμην μὲν οὖν, ὦ ἄνδρες δικασταί, περὶ τοῦ 3
ἐγκλήματος, οὐ περὶ τοῦ τρόπου τὸν ἀγῶνά μοι προ-
κεῖσθαι· διαβαλλόντων δέ με τῶν ἀντιδίκων ἀναγκαῖόν
ἐστι περὶ πάντων ⟨τὴν⟩ ἀπολογίαν ποιήσασθαι. πρῶτον
μὲν οὖν περὶ τῆς ἀπογραφῆς ὑμᾶς διδάξω.
Ἀφικόμενος προπέρυσιν εἰς τὴν πόλιν, οὔπω δύο μῆ- 4
νας ἐπιδεδημηκὼς κατελέγην στρατιώτης. αἰσθόμενος δὲ
τὸ πραχθὲν ὑπετοπούμην εὐθέως ἐπὶ μηδενὶ ὑγιεῖ κατ-

---

1 *πρῶτος νῦν* scripsi: *πρῶτον μὲν* X, *πρῶτος* Kirchner, *πρώτιστος* Rs 6 Or. IX *περὶ τοῦ* Harp. s. *δικαίωσις* 11 *λήσειν τι* Cob, *λήσ. ἀδικοῦντες* Francken *τοῦ* del. Markl, *τοῦ ἐπιόντος* Rs 12 *μὲν ⟨οὖν⟩ οὐκ* vulg., *οὐκ* et *ἀλλὰ τοῦ πράγμ.* del. Francken 14 *ἄγνοιαν* Rauch: *εὔνοιαν* X, *ἄνοιαν* Rs, *ἀνίαν* Bergk, *εὐήθειαν* Jacobs, *δύσνοιαν* vel *εὐχέρειαν* Emperius 15 *τοῦτ'* Markl: *οὐκ* X, *οὐκ ἂν θαυμ.*; Foertsch 19 *τὴν* add. Franz 21 *προπέρυσιν* Rs: *πρότερον* X 23 *ὑπετοπούμην* Scal: *ὑπετυπούμην* X

ειλέχθαι. προσελθὼν οὖν τῷ στρατηγῷ ἐδήλωσα ὅτι
ἐστρατευμένος εἴην, ἔτυχον δὲ οὐδενὸς τῶν μετρίων.
προπηλακιζόμενος δὲ ἠγανάκτουν μέν, ἡσυχίαν δ' εἶχον.
5 ἀπορούμενος δὲ καὶ συμβουλευόμενός τινι τῶν πολι-
τῶν τί χρήσωμαι τῷ πράγματι, ἐπυθόμην ὡς καὶ δήσειν
με ἀπειλοῖεν, λέγοντες ὅτι οὐδὲν ἐλάττω χρόνον Καλλι-
κράτους Πολύαινος ἐνδημοίη. κἀμοὶ μὲν τὰ προειρημένα
6 διείλεκτο ἐπὶ τῇ Φιλίου τραπέζῃ· οἱ δὲ μετὰ Κτησικλέ-
ους τοῦ ἄρχοντος, ἀπαγγείλαντός τινος ὡς ἐγὼ λοιδο-
ροῖμι, τοῦ νόμου ἀπαγορεύοντος ἐάν τις ἀρχὴν ἐν συν-
εδρίῳ λοιδορῇ, παρὰ τὸν νόμον ζημιῶσαι ἠξίωσαν. ἐπι-
βαλόντες δὲ τὸ ἀργύριον πράξασθαι μὲν οὐκ ἐπεχείρη-
σαν, ἐξιούσης δὲ τῆς ἀρχῆς γράψαντες εἰς λεύκωμα τοῖς
7 ταμίαις παρέδοσαν. οἵδε μὲν τάδε διεπράξαντο· οἱ δὲ
ταμίαι οὐδὲν ὅμοιον τοῖσδε διανοηθέντες, ἀνακαλεσά-
μενοι [δὲ] τοὺς παραδόντας τὴν γραφήν, ἐσκοποῦντο
τῆς αἰτίας τὴν πρόφασιν. ἀκούσαντες δὲ τὸ γεγενημένον,
ἐννοούμενοι οἷα πεπονθὼς ἦν, τὸ μὲν πρῶτον ἔπειθον
αὐτοὺς ἀφεῖναι, διδάσκοντες ὡς οὐκ ἐπιεικὲς εἴη τῶν |
πολιτῶν τινας διὰ τὰς ἔχθρας ἀναγράφεσθαι, ἀποροῦν-

---

5 χρήσωμαι C: χρήσομαι X 7 ἐπιδημοίη Hertlein, post hanc vocem lacunam iniuria Tayl volebat esse 8 Φιλέου Bekker, Φιλίνου Dobr μετὰ Κτ. cf. XXI 7 9 τοῦ ἄρχοντος del. Bake, fort. ἄρχοντες, praetor certe K. fuit ἐπαγγείλαντος X λοιδοροίην Cob 10 ἀγορεύοντος Rs, διαρρήδην ἀγ. Rauch, sed cf. X 6. „ἐὰν . . . λοιδορῇ dele et forsan τοῦ νόμου ἀπαγ. ex § 9 huc tracta" Dobr 12 πράξασθαι cf. Meier Att. Proz.² 49 a. 23 14 ταμίαις sc. τῆς θεοῦ cf. Harp. s. ψευδεγγραφή 16 δὲ del. Rs παραδόντας Rs: παρόντας καὶ X, παρόντας κατὰ Bartelt, προσήκοντας τῇ ἐγγραφῇ Bake γραφὴν cf. Lipsius Att. Recht 263] ἀπογραφὴν Rs, ἀναγραφὴν Dobr, ἐγγραφὴν West 18 ἐννοοῦντες superscripto ούμενοι X 20 διὰ τὰς] δι' ἰδίας Bake, διὰ τὰς ἰδίας Scheibe ἀπογράφεσθαι Tayl, ἐγγράφεσθαι Halb

τες δὲ μεταπεῖσαι αὐτούς, τὸν παρ' ὑμῶν κίνδυνον ὑποστάντες ἄκυρον τὴν ζημίαν ἔκριναν . . . . .

Ὅτι μὲν οὖν ἀφείθην ὑπὸ τῶν ταμιῶν, ἐπίστασθε· 8
προσήκειν δὲ ἡγούμενος καὶ διὰ ταύτην τὴν ἀπόδειξιν ἀπηλλάχθαι τοῦ ἐγκλήματος, ἔτι πλείονας καὶ νόμους καὶ ἄλλας δικαιώσεις παρασχήσομαι. Καί μοι λαβὲ τὸν νόμον.

ΝΟΜΟΣ.

Τοῦ μὲν νόμου διαρρήδην ἀγορεύοντος τοὺς ἐν τῷ συν- 9
εδρίῳ λοιδοροῦντας ζημιοῦν ἀκηκόατε· ἐγὼ δ' ὅτι μὲν οὐκ εἰσῆλθον εἰς τὸ ἀρχεῖον, μάρτυρας παρεσχόμην, ἀδίκως δὲ ζημιωθεὶς οὔτ' ὀφείλω οὔτ' ἐκτεῖσαι δίκαιός εἰμι. εἰ γὰρ 10
φανερός εἰμι μὴ ἐλθὼν εἰς τὸ συνέδριον, ὁ δὲ νόμος τοὺς ἐντὸς πλημμελοῦντας ἀγορεύει τὴν ζημίαν ὀφείλειν, ἠδικηκὼς μὲν οὐδὲν φαίνομαι, ἔχθρᾳ δὲ ἄνευ τούτου παραλόγως ζημιωθείς. συνέγνωσαν δὲ καὶ αὐτοὶ σφίσιν 11
ὡς ἠδικηκότες· οὔτε γὰρ εὐθύνας ὑπέσχον, οὔτε εἰς δικαστήριον εἰσελθόντες τὰ πραχθέντα ψήφῳ κύρια κατέστησαν. εἰ δ' οὖν ἐζημίωσαν μὲν οἵδε προσηκόντως, ἐκύρωσαν δ' ἐν ὑμῖν τὴν ἐπιβολήν, τῶν ταμιῶν ἀφέντων εἰκότως ἂν τοῦ ἐγκλήματος ἀπηλλαγμένος εἴην. εἰ 12
μὲν γὰρ ⟨μὴ⟩ κύριοι ἦσαν πράξασθαι ἢ ἀφεῖναι, ἐννόμως ζημιωθεὶς εὐλόγως ἂν ὤφειλον· εἰ δ' ἔξεστι μὲν αὐτοῖς ἀφεῖναι, διδόασι δὲ λόγους ὑπὲρ ὧν ἂν

---

2 post *ἔκριναν* testium citationem deesse vidit Baiter 4 *ταύτην* sc. *ὅτι ἀφείθην* 5 *καὶ νόμους καὶ* del. Halb 6 *δικαιώσεις* cf. Harp. s. v. 8 *Νόμος. Μάρτυρες* Rs 11 *παρεσχόμην*] *παρασχήσομαι. Μάρτυρες* Markl 14 *ἐντὸς*] *ἔνδον* vel *ἐν τῷ συνεδρίῳ* Herw 15 *ἀντὶ τούτου παρανόμως* Tayl 16 *σφίσιν αὐτοῖς ἠδ.* Herw 17 *ὑπέσχον*] *ὑποσχόντες* Rauch, *ὑπέσχον τούτων* Scheibe 20 *τὴν ἐπιβουλὴν* X 21 *ἀπηλλαγμένος εἴην* Schott: *ἀπηλλαγμένοι εἶεν* X 22 *μὴ* addidi, *οὐδ'* ante *ἐννόμως* addit Emperius, et hoc et *μηδὲν* ante *αὐτοῖς* add. Francken 24 *λόγους* scripsi post Dobraeum, qui volebat *αὐτοὶ λόγον*: *αὐτοῖς* X, *εὐθύνας*

διαχειρίζωσιν, εἴ τι ἠδικήκασι, τῆς προσηκούσης ῥᾳδίως
δίκης τεύξονται.
13 Ὧι μὲν τρόπῳ παρεδόθην καὶ ἐζημιώθην, ἐπίστασθε·
δεῖ δ' ὑμᾶς μὴ μόνον τοῦ ἐγκλήματος τὴν αἰτίαν ἀλλὰ
καὶ τῆς ἔχθρας τὴν πρόφασιν εἰδέναι. Σωστράτῳ γὰρ
φίλος ἐγενόμην πρότερον μὲν τῆς τούτων ἔχθρας, εἰδὼς
14 δὲ περὶ τὴν πόλιν ἄξιον λόγου γεγενημένον. γνώριμος
δὲ γενόμενος διὰ τῆς ἐκείνου δυναστείας οὔτ' ἐχθρὸν
ἐτιμωρησάμην οὔτε φίλον εὐεργέτησα· ζῶντος μὲν γὰρ
καὶ ἀνάγκῃ διὰ τὴν ἡλικίαν ἐσχόλαζον, ἐκλιπόντος δὲ
τὸν βίον οὔτε λόγῳ οὔτε ἔργῳ ἔβλαψα οὐδένα τῶν κατη-
γορούντων, ἔχω δὲ καὶ τοιαῦτα εἰπεῖν, ἐξ ὧν ὠφελοίμην
ἂν πολὺ δικαιότερον ὑπὸ τῶν ἀντιδίκων ἢ κακῶς πάσχοι-
15 μι. τὴν μὲν οὖν ὀργὴν διὰ τὰ προειρημένα συνεστήσαντο,
προφάσεως οὐδεμιᾶς πρὸς ἔχθραν ὑπαρχούσης. ὀμόσαν-
τες μὲν οὖν τοὺς ἀστρατεύτους καταλέξειν παρέβησαν
τοὺς ὅρκους, προὔθεσαν δὲ τῷ πλήθει βουλεύσασθαι
16 περὶ τοῦ σώματος, ζημιώσαντες μὲν ὡς τὴν ἀρχὴν λοιδο-
ροῦντα, κατολιγωρήσαντες δὲ τοῦ δικαίου, βιαζόμενοι
βλάπτειν ἐξ ἅπαντος λόγου· τί δ' ἂν ἔπραξαν μέλλοντες
μεγάλα μὲν ἐμὲ βλάψειν, πολλὰ δ' ἑαυτοὺς ὠφελήσειν,
οἵτινες οὐδετέρου τούτων ὑπάρχοντος πάντα περὶ ἐλάτ-

---

post Reiskium Sluiter 1 διαχειρίσωσιν Bake 5 εἰδῆσαι X 6 πρότερον C: πρότερος X εἰδώς γε et 7 ἄξιον πολλοῦ Markl 9 εὐηργέτησα X 10 καὶ ἀνάγκῃ Emperius: διὰ τὴν ἀνάγκην X, κατ' ἀνάγκην Zaka, διὰ τὴν ἀν. καὶ τὴν ἡλ. West 13 post πάσχοιμι lacunam indicat Scheibe 15 post ὑπαρχούσης excidisse quaedam existimat Blass 17 βουλεύσασθαι Rs: βουλεῦσαι X 19 δὲ pone βιαζόμενοι transponere malit Emperius, δὲ ibi add. Cont 20 ⟨με⟩ βλάπτειν Rs λόγου Dobr: τοῦ λόγου X, τρόπου Cob τί δ' ἂν Sauppe: πᾶν X, πᾶν δ' ἂν Franz, ⟨εἰκότως δὲ⟩ πᾶν ἂν Scheibe

τονος ποιοῦνται τοῦ ἀδικεῖν. ἀλλὰ γὰρ [εἰ] κατεφρόνη- 17
σαν τοῦ ὑμετέρου πλήθους, οὐδὲ φοβηθῆναι τοὺς θεοὺς ἠξίωσαν, ἀλλ' οὕτως ὀλιγώρως καὶ παρανόμως προσηνέχθησαν, ὥστε ἀπολογήσασθαι μὲν περὶ τῶν πεπραγμένων οὐδ' ἐπεχείρησαν, τὸ δὲ τελευταῖον, νομίζοντες οὐχ ἱκανῶς με τετιμωρῆσθαι, τὸ πέρας ἐκ τῆς πόλεως
ἐξήλασαν. διατεθέντες δὲ οὕτω παρανόμως καὶ βιαίως, 18
ἐπικρύψασθαι τὴν ἀδικίαν περὶ οὐδενὸς ἐποιήσαντο, παραγαγόντες δὲ πάλιν περὶ τῶν αὐτῶν ἠδικηκότα με οὐδὲν ἐπιδεικνύουσι καὶ λοιδοροῦσι, τοῖς μὲν ἐμοῖς ἐπιτηδεύμασιν οὐ προσηκούσας διαβολὰς ἐπιφέροντες, τοῖς δ' αὐτῶν τρόποις τὰς οἰκείας καὶ συνήθεις.

Οἵδε μὲν οὖν ἐκ παντὸς [τοῦ] τρόπου προθυμοῦνταί 19
με τῇ δίκῃ ἁλῶναι· ὑμεῖς δὲ μήτε ταῖς τούτων διαβολαῖς ἐπαρθέντες ἐμοῦ καταψηφίσησθε, μήτε τοὺς βέλτιον καὶ δικαίως βουλευσαμένους ἀκύρους καταστήσητε. οἱ ταμίαι γὰρ ἅπαντα καὶ κατὰ τοὺς νόμους καὶ κατὰ τὸ εἰκὸς ἔπραξαν, ⟨καὶ⟩ ἠδικηκότες μὲν οὐδὲν φαίνονται, λόγον δὲ πλεῖστον τοῦ δικαίου ποιησάμενοι. τούτων μὲν οὖν ἀδικούν- 20
των μετρίως [ἂν] ἠγανάκτουν, ἡγούμενος τετάχθαι τοὺς

---

1 *ἀδικεῖν* Rs Animadv. II 45: *δικαίου* X, *ἀδίκου* Markl, *πάντα π. πλείονος ποι. τοῦ δικ.* Schott, *δικαιοῦν* Dobr. Tur. coll. Hesych. *δικαιῶσαι· κολάσαι.* Suid. s. *δικαιούμενος*, *ποι. τὰ δίκαια* Emperius *εἰ* del. Tur, *καὶ* Tayl, *οἳ* Markl, *ὡς* Polak, ego temptavi: *ἅμα γὰρ δὴ καταφρονήσαντες τοῦ* 3 *οὕτως* Ald: *οὔτε* 4 *ἀπολογίσασθαι* Dobr 6 *τὸ πέρας* del. Francken, *τὸ* del. Cob, *τὸ μέρος* Emperius, *τὸ δὲ πέρας νομ. . . . τετιμωρ. ἐκ τῆς* Kayser 7 *ἐξήλασαν* sc. militem expeditionis alicuius participem, *ἐξελάσαι* Scheibe, *ἐξελαύνουσιν* vel *ζητοῦσιν ἐξελαύνειν* Rauch, *ἐξήλαυνον* Keller 10 *ἐπιδεικνύουσι*] malim *ἐπιδιώκουσι* cf. Poll. VIII 67 11 *δ' αὐτῶν* X 12 *τὰς* del. Rs vel malit *πάνυ* 13 *τοῦ* del. Dobr 16 *οἱ ταμίαι* scripsi: *οἵδε μὲν* X 18 *καὶ* add. C 19 post *ποιησάμενοι* lacunam esse putat Blass 20 *ἂν* del. Baiter ⟨*φύσει*⟩ *τετάχθαι* malit Rs

μὲν ἐχθροὺς κακῶς | ποιεῖν, τοὺς δὲ φίλους εὖ· παρ' ὑμῶν
δὲ τοῦ δικαίου στερηθεὶς πολὺ ἂν μᾶλλον λυπηθείην.
δι' ἔχθραν μὲν γὰρ οὐ δόξω κακῶς πεπονθέναι, διὰ κα-
21 κίαν δὲ τῆς πόλεως. λόγῳ μὲν οὖν περὶ τῆς ἀπογραφῆς
ἀγωνίζομαι, ἔργῳ δὲ περὶ πολιτείας. τυχὼν μὲν γὰρ τῶν
δικαίων (πιστεύω δὲ τῇ ὑμετέρᾳ γνώμῃ) μείναιμι ἂν
⟨ἐν⟩ τῇ πόλει· παραχθεὶς δὲ ὑπὸ τῶνδε εἰ ἀδίκως ἁλοίην,
ἀποδραίην ἄν. τίνι γὰρ ἐπαρθέντα ἐλπίδι δεῖ με συμ-
πολιτεύεσθαι, ἢ τί με χρὴ διανοηθέντα, εἰδότα μὲν τῶν
ἀντιδίκων τὴν προθυμίαν, ἀποροῦντα δ' ὅθεν χρὴ τῶν
22 δικαίων τινὸς τυχεῖν; περὶ πλείστου οὖν ποιησάμενοι
τὸ δίκαιον, καὶ ἐνθυμηθέντες ὅτι καὶ ὑπὲρ τῶν περιφανῶν
ἀδικημάτων συγγνώμην ποιεῖσθε, τοὺς μηδὲν ἀδικήσαν-
τας διὰ τὰς ἔχθρας μὴ περιίδητε ἀδίκως τοῖς μεγίστοις
ἀτυχήμασι περιπεσόντας.

10.

ΚΑΤΑ ΘΕΟΜΝΗΣΤΟΥ.

1 Μαρτύρων μὲν οὐκ ἀπορίαν μοι ἔσεσθαι δοκῶ, ὦ
ἄνδρες δικασταί· πολλοὺς γὰρ ὑμῶν ὁρῶ δικάζοντας τῶν
τότε παρόντων, ὅτε Λυσίθεος Θεόμνηστον εἰσήγγελλε
τὰ ὅπλα ἀποβεβληκότα, οὐκ ἐξὸν αὐτῷ, δημηγορεῖν· ἐν
ἐκείνῳ γὰρ τῷ ἀγῶνι τὸν πατέρα μ' ἔφασκεν ἀπεκτονέ-
2 ναι τὸν ἐμαυτοῦ. ἐγὼ δ', εἰ μὲν τὸν ἑαυτοῦ με ἀπεκτο-

4 ⟨στερηθῆναι vel ἐκπεσεῖν⟩ τῆς πολ. Rs, lacunam indicat Scheibe ἀπογραφῆς est in X 6 πιστεύων X 7 ἐν add. Steph παραχθεὶς Markl: πραχθεὶς X 9 με χρὴ del. Dobr, post διαν. Rs add. μεῖναι vel ἐπιτηδεύειν 14 διὰ τὰς cf. § 7 15 ἀτυχήμασι Rs: ἀδικήμασι X 17 Or. X. A, quod addit vulg, om. X, item qui sexies laudat Harp 19 ὑμῶν del. Francken, ἡμῖν vel νῦν Rauch, νυνί Boblenz, ἐν ὑμῖν post Frohbergerum Herw 23 τὸν ἐμαυτοῦ del. Heldmann, ἐμαυτοῦ corr. a pr. man. ex ἑαυτοῦ X

*νέναι ᾐτιᾶτο, συγγνώμην ἂν εἶχον αὐτῷ τῶν εἰρημένων
(φαῦλον γὰρ αὐτὸ καὶ οὐδενὸς ἄξιον ἡγούμην)· οὐδ' εἴ
τι ἄλλο τῶν ἀπορρήτων ἤκουσα, οὐκ ἂν ἐπεξῆλθον αὐ-
τῷ (ἀνελευθέρων γὰρ καὶ λίαν φιλοδίκων εἶναι νομίζω
κακηγορίας δικάζεσθαι)· νυνὶ δὲ αἰσχρόν ⟨τέ⟩ μοι εἶναι* 3
*δοκεῖ περὶ τοῦ πατρός, οὕτω πολλοῦ ἀξίου γεγενημένου
καὶ ἡμῖν καὶ τῇ πόλει, μὴ τιμωρήσασθαι τὸν ταῦτ' εἰ-
ρηκότα, καὶ παρ' ὑμῶν εἰδέναι βούλομαι πότερον δώσει
δίκην, ἢ τούτῳ μόνῳ Ἀθηναίων ἐξαίρετόν ἐστι καὶ ποι-
εῖν καὶ λέγειν παρὰ τοὺς νόμους ὅ τι ἂν βούληται.*

Ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, ἔτη ἐστὶ ⟨δύο καὶ⟩ 4
*τριάκοντα, ἐξ ὅτου ⟨δ'⟩ ὑμεῖς κατεληλύθατε, εἰκοστὸν
τουτί. φαίνομαι οὖν τρισκαιδεκέτης ὢν ὅτε ὁ πατὴρ ὑπὸ
τῶν τριάκοντα ἀπέθνῃσκε. ταύτην δὲ ἔχων τὴν ἡλικίαν
οὔτε εἰ ἔστιν ὀλιγαρχία ἠπιστάμην, οὔτε [ἂν] ἐκείνῳ
ἀδικουμένῳ ἐδυνάμην βοηθῆσαι. καὶ μὲν δὴ οὐκ ὀρθῶς* 5
*τῶν χρημάτων ἕνεκα ἐπεβούλευσα ⟨ἂν⟩ αὐτῷ· ὁ γὰρ
πρεσβύτερος ἀδελφὸς Πανταλέων ἅπαντα παρέλαβε, καὶ
ἐπιτροπεύσας ἡμᾶς τῶν πατρῴων ἀπεστέρησεν, ὥστε
πολλῶν ἕνεκα, ὦ ἄνδρες δικασταί, προσήκει μοι αὐτὸν
βούλεσθαι ζῆν. ἀνάγκη μὲν οὖν περὶ αὐτῶν μνησθῆναι,
οὐδὲν δὲ δεῖ πολλῶν λόγων· σχεδὸν ⟨γὰρ⟩ ἐπίστασθε*

---

2 *αὐτὸ* Emperius: *αὐτὸν* X, *ἂν* vel *ἄν τι* Wdn, *αὐτὸν . . . ἡγούμην* olim del. Herw 4 *ἀνελευθέρων . . . φιλοδίκων* P. Müller: *ἀνελεύθερον . . . φιλόδικον* X, *-ρου . . . -κου* Markl 5 *τέ* add. Frb 6 *περὶ τοῦ ἐμοῦ πατρὸς* vel *π. τοῦ πατρὸς τοῦ ἐμαυτοῦ* Scheibe 7 *ἡμῖν* Dobr: *ὑμῖν* X 9 *ἔσται* Naber 11 *ἐστὶ* Cont: *εἰσὶ* X *δύο καὶ* add. Cont cf. XI 1, *τριάκ.* ⟨*δύο*⟩ Albrecht, *τριάκ.* ⟨*τρία*⟩ Scal, ⟨*τρία καὶ*⟩ *τριάκ.* Halb 12 *δ'* add. Markl 13 *οὖν* ⟨*οὔπω*⟩ Herrmann 15 *οὔτε ὅτι ἐστὶν* Steph, *οὔτε τί ἐστιν* Ziel *ἂν* del. Frb 17 *ἂν* add. Markl, ⟨*ἂν*⟩ *ὀρθῶς* Rs 20 *προσήκέ* vulg, *προσήκειν* Wdn 21 *με οὖν* X 22 *γὰρ* add. Rs

ἅπαντες ὅτι ἀληθῆ λέγω. ὅμως δὲ μάρτυρας αὐτῶν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

6 *Ἴσως τοίνυν, ὦ ἄνδρες δικασταί, περὶ τούτων μὲν*
οὐδὲν ἀπολογήσεται, ἐρεῖ δὲ πρὸς ὑμᾶς ἅπερ ἐτόλμα λέ-
γειν καὶ πρὸς τῷ διαιτητῇ, ὡς οὐκ ἔστι τῶν ἀπορρήτων,
ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι· τὸν γὰρ νόμον οὐ
ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν.
7 *ἐγὼ δὲ οἶμαι ὑμᾶς, ὦ ἄνδρες δικασταί, οὐ περὶ τῶν ὀνο-*
μάτων ⟨δεῖν⟩ διαφέρεσθαι ἀλλὰ τῆς τούτων διανοίας,
καὶ πάντας εἰδέναι ὅτι, ὅσοι ⟨ἀπεκτόνασί τινας, καὶ ἀν-
δροφόνοι εἰσί, καὶ ὅσοι⟩ ἀνδροφόνοι εἰσί, καὶ ἀπεκτό-
νασί τινας. πολὺ γὰρ ⟨ἂν⟩ ἔργον ἦν τῷ νομοθέτῃ ἅπαν-
τα τὰ ὀνόματα γράφειν ὅσα τὴν αὐτὴν δύναμιν ἔχει·
8 *ἀλλὰ περὶ ἑνὸς εἰπὼν περὶ πάντων ἐδήλωσεν. οὐ γὰρ*
δήπου, ὦ Θεόμνηστε, εἰ μέν τίς σε εἴποι πατραλοίαν ἢ
μητραλοίαν, ἠξίους ἂν αὐτὸν ὀφλεῖν σοι δίκην, εἰ δέ τις
εἴποι ὡς τὴν τεκοῦσαν ἢ τὸν φύσαντα ἔτυπτες, ᾤου ἂν
αὐτὸν ἀζήμιον δεῖν εἶναι ὡς οὐδὲν τῶν ἀπορρήτων εἰ-
9 *ρηκότα. ἡδέως | δ' ἄν σου πυθοίμην (περὶ τοῦτο γὰρ*
δεινὸς εἶ καὶ μεμελέτηκας καὶ ποιεῖν καὶ λέγειν)· εἴ τίς
σε εἴποι ῥῖψαι τὴν ἀσπίδα, ἐν δὲ τῷ νόμῳ εἴρηται, „ἐάν

3 titulus deest in X   6 *τῷ διαιτητῇ* P. Müller: *τὸν διαιτητήν* X   *ἀπορρήτων* cf. Harp. s. v.   7 *ἐάν τίς ⟨τιν'⟩* Rs, *ἐάν τιν'* Wdn, sed cf. § 9, 12, XI 3   9 *ὑμᾶς*] *ἡμᾶς* Blass, *δεῖν* Rauch   *ὀνομάτων ⟨αὐτῶν⟩* P. Müller   10 *δεῖν* hic add. Frb, post *οἶμαι* Scheibe   *τούτων* del. Kayser, *τῶν ἔργων* Scheibe coll. XI 3   *διανοίας ⟨καὶ τῶν ἔργων⟩* Blass, *διαν. ⟨ἔχεσθαι⟩* Rs   11 *ἀπεκτόνασι . . . ὅσοι* post Augerum add. Sauppe ex XI 3; corrigunt *ὅτι ὅσοι ἀπεκτόνασί τινας καὶ ἀνδροφόνοι εἰσὶ* Frb, *ὅτι καὶ ἀνδροφόνοι εἰσιν ὅσοι ἀπεκτόνασί τινας* Bake   13 *ἂν* add. Tur, adversatur Stahl   *πάντα* Fuhr, coll. XI 4   16 *σε εἴπῃ* X   20 *δ' ἂν* Frb: *γὰρ ἂν* X   21 *πᾶν ποιεῖν* Lennep, *πάντα ποιεῖν* Scheibe, *καὶ ποιῶν καὶ λέγων* Wdn   *εἰ ⟨μέν⟩* Herw   22 *εἴρηται* Dobr: *εἴρητο* X

*τις φάσκῃ ἀποβεβληκέναι, ὑπόδικον εἶναι“, οὐκ ἂν ἐδι-
κάζου αὐτῷ, ἀλλ' ἐξήρκει ἄν σοι ἐρριφέναι τὴν ἀσπίδα
λέγοντι οὐδέν σοι μέλειν; οὐδὲ γὰρ τὸ αὐτό ἐστι ῥῖψαι
καὶ ἀποβεβληκέναι· ἀλλ' οὐδ' ἂν τῶν ἕνδεκα γενόμενος* **10**
*ἀποδέξαιο, εἴ τις ἀπάγοι τινὰ φάσκων θοιμάτιον ἀπο-
δεδύσθαι ἢ τὸν χιτωνίσκον ἐκδεδύσθαι, ἀλλ' ἀφείης ἂν
τὸν αὐτὸν τρόπον, ὅτι οὐ λωποδύτης ὀνομάζεται. οὐδ'
εἴ τις παῖδα ἐξαγαγὼν ληφθείη, οὐκ ἂν φάσκοις αὐτὸν
ἀνδραποδιστὴν εἶναι, εἴπερ μαχεῖ τοῖς ὀνόμασιν, ἀλλὰ
μὴ τοῖς ἔργοις τὸν νοῦν προσέξεις, ὧν ἕνεκα τὰ ὀνόματα
πάντες τίθενται. Ἔτι τοίνυν σκέψασθε, ὦ ἄνδρες δικα-* **11**
*σταί· οὑτοσὶ γάρ μοι δοκεῖ ὑπὸ ῥαθυμίας καὶ μαλακίας
οὐδ' εἰς Ἄρειον πάγον ἀναβεβηκέναι. πάντες γὰρ ἐπί-
στασθε ὅτι ἐν ἐκείνῳ τῷ χωρίῳ, ὅταν τὰς τοῦ φόνου
δίκας δικάζωνται, οὐ διὰ τούτου τοῦ ὀνόματος τὰς διω-
μοσίας ποιοῦνται, ἀλλὰ δι' οὗπερ ἐγὼ κακῶς ἀκήκοα· ὁ
μὲν γὰρ διώκων ὡς ἔκτεινε διόμνυται, ὁ δὲ φεύγων ὡς
οὐκ ἔκτεινεν. οὐκοῦν ἄτοπον ἂν εἴη τὸν δράσαντ' ἀφεῖ-* **12**
*ναι φάσκοντα ἀνδροφόνον εἶναι, ὅτι ὁ διώκων, ὡς
ἔκτεινε, τὸν φεύγοντα διωμόσατο; τί γὰρ ταῦτα, ὧν οὐ-*

---

2 *ἐρριφ. τὴν ἀσπ.* del. Dobr 3 *λέγειν ὅτι* Lennep, idem et *ἐρριφότι* Rauch, ⟨*ἀκούσαντι*⟩ *ἐρριφέναι* Wdn, *πρὸς τὸν ἐρριφέναι σε τὴν ἀσπ. εἰπόντα* Cob, sed cf. § 21 *σοι*] *μοι* Markl *μέλειν* Steph: *μέλλει* X, ⟨*ὅτι*⟩ *οὐδέν σοι μέλει* Cont *ἐστι*] *εἶναι* Cob 5 *εἴ τις ἀπ.* habet X 6 *ἀφίεις* X 7 *τὸν αὐτὸν τρόπον* abesse malit Herw, *τὸν ἄνθρωπον* Rs 8 *εἰ τὴν παῖδα* X *ἐξάγων* Frb, sed cf. XIII 67 *φάσκοι* X, *ὅτι οὐκ ἂν φάσκοι αὐτὸν ἀνδρ. εἶναι, δήσεις εἴπερ* Wdn 9 *μαχεῖ* Cob: *μάχῃ* X, *μαχῇ* Bekker 16 *κακῶς* Cont: *καλῶς* X 18 *δράσαντ' ἀφεῖναι* Dobson coll. Demosth. XXXVII 59: *δείξαντα κτεῖναι* X, *δόξαντα κτεῖναι* Rs, *ἀφεῖναι* inserunt post *κτεῖναι* Foertsch, pone *εἴη* Francken, *ἀποφεύγειν* post *κτεῖναι* add. Rs, *μὴ τιμωρεῖσθαι* vel *ἀζήμιον* vel *ἀθῷον* vel *ἀτιμώρητον εἶναι* post *εἴη* add. Cob 20 *τὸν φεύγοντα* del. Schott, quem plerique secuti sunt, *ὅτι . . . διωμόσατο* del. Halb

τος ἐρεῖ, διαφέρει; καὶ αὐτὸς μὲν Λυσιθέῳ κακηγορίας ἐδικάσω εἰπόντι σε ἐρριφέναι τὴν ἀσπίδα. καίτοι περὶ μὲν τοῦ ῥῖψαι οὐδὲν ⟨ἐν⟩ τῷ νόμῳ εἴρηται, ἐὰν δέ τις εἴπῃ ἀποβεβληκέναι τὴν ἀσπίδα, πεντακοσίας δραχμὰς ὀφεί- 13 λειν κελεύει. οὐκ οὖν δεινόν, εἰ ὅταν μὲν δέῃ σε κακῶς ἀκούσαντα τοὺς ἐχθροὺς τιμωρεῖσθαι, οὕτω τοὺς νόμους ὥσπερ ἐγὼ νῦν λαμβάνεις, ὅταν δ' ἕτερον παρὰ τοὺς νόμους εἴπῃς κακῶς, οὐκ ἀξιοῖς δοῦναι δίκην; πότερον οὕτως σὺ δεινὸς εἶ ὥστε, ὅπως ἂν βούλῃ, οἷός τ' εἶ χρῆσθαι τοῖς νόμοις, ἢ τοσοῦτον δύνασαι ὥστε οὐδέποτε οἴει τοὺς ἀδικουμένους ὑπὸ σοῦ τιμωρίας τεύξεσθαι; 14 εἶτ' οὐκ αἰσχύνῃ οὕτως ἀνοήτως διακείμενος, ὥστε οὐκ ἐξ ὧν εὖ πεποίηκας τὴν πόλιν, ἀλλ' ἐξ ὧν ἀδικῶν οὐ δέδωκας δίκην, οἴει δεῖν πλεονεκτεῖν; Καί μοι ἀνάγνωθι τὸν νόμον.

ΝΟΜΟΣ.

15 Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, ὑμᾶς μὲν πάντας εἰδέναι ἡγοῦμαι ὅτι ἐγὼ μὲν ὀρθῶς λέγω, τοῦτον δὲ οὕτω σκαιὸν εἶναι ὥστε οὐ δύνασθαι μαθεῖν τὰ λεγόμενα. βούλομαι οὖν αὐτὸν καὶ ἐξ ἑτέρων νόμων περὶ τούτων διδάξαι, ἐάν πως ἀλλὰ νῦν ἐπὶ τοῦ βήματος παιδευθῇ καὶ τὸ λοιπὸν ἡμῖν ⟨μὴ⟩ παρέχῃ πράγματα. Καί μοι ἀνάγνωθι τούτους τοὺς νόμους τοὺς Σόλωνος τοὺς παλαιούς.

1 Λυσιθέῳ Frb: Θέωνι X, Θεόμνηστε κακ. ἐδικ. ⟨τῷ⟩ εἰπ. Francken κατηγορίας X 2 εἰπόντι Tayl coll. XI 6: εἶπέ τίς X 3 ἐν add. Markl 5 δέῃ σε Cont: δεήσῃ X, δοκῇ σοι . . . ἀκούσαντι Wdn 7 λαμβάνεις Tayl: λαμβάνειν X, quod tuetur Gebauer arg. 342 deleta cum Reiskio quae antecedit vocula εἰ, coll. XI 6, ἐκλαμβάνειν Rs 14 καί μοι Markl: καίτοι X 16 tit. deest relicto spatio, in mg. νό X 18 ἐγὼ μάλ' ὀρθῶς Wdn, sed cf. F. Müller, de Lys. eloc. 6 21 νῦν γ' ἐπὶ Rs 22 μὴ add. C πράγματα C: πρᾶγμα X 23 τοῦ παλαιοῦ prop. Rs

ΝΟΜΟΣ. Δεδέσθαι δ' ἐν τῇ ποδοκάκκῃ ἡμέρας πέντε τὸν πόδα, ἐὰν προστιμήσῃ ἡ ἡλιαία. **16**

Ἡ ποδοκάκκη αὕτη ἐστίν, ὦ Θεόμνηστε, ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι. εἰ οὖν ὁ δεθεὶς ἐξελθὼν ἐν ταῖς εὐθύναις τῶν ἕνδεκα κατηγοροίη ὅτι οὐκ ἐν τῇ ποδοκάκκῃ ἐδέδετο ἀλλ' ἐν τῷ ξύλῳ, οὐκ ἂν ἠλίθιον αὐτὸν νομίζοιεν; Λέγε ἕτερον νόμον.

ΝΟΜΟΣ. Ἐπεγγυᾶν δ' ἐπιορκήσαντα τὸν Ἀπόλλω. δεδιότα δὲ δίκης ἕνεκα δρασκάζειν. **17**

Τοῦτο τὸ ἐπιορκήσαντα ὀμόσαντά ἐστι, τό τε δρασκάζειν, ὃ νῦν ἀποδιδράσκειν ὀνομάζομεν.

Ὅστις δὲ ἀπίλλει τῇ θύρᾳ, ἔνδον τοῦ κλέπτου ὄντος.

Τὸ ἀπίλλειν τοῦτο ἀποκλῄειν νομίζεται, καὶ μηδὲν διὰ τοῦτο διαφέρου.

Τὸ ἀργύριον στάσιμον θεῖναι ἐφ' ὁπόσῳ ἂν βούληται ὁ δανείζων. **18**

Τὸ στάσιμον τοῦτό ἐστιν, ὦ βέλτιστε, οὐ ζυγῷ ἱστάναι ἀλλὰ τόκον πράττεσθαι ὁπόσον ἂν βούληται. Ἔτι δ' ἀνάγνωθι τουτουὶ τοῦ νόμου τὸ τελευταῖον.

Ὅσαι δὲ πεφασμένως πωλοῦνται, **19**

---

1 *νόμοι* X[h] *ποδοκάκη* X, qui sic et infra, sed cf. Harp. s. v. 2 *πέντε* Dem. XXIV 105, 114: *δέκα* X *πόδα* ⟨*καὶ νύκτας ἴσας*⟩ Sauppe ad exemplar Demosthenis *ἐὰν μὴ προτιμήσῃ μηλιαια* X, *ἐὰν μὲν πρ.* Heraldus 3 *αὕτη*] *αὐτὸ* Harp. qui habet *ἡ ποδ. . . . . δεδέσθαι* omissa allocutione *ὦ Θ.*, *ταὐτὸ* Scheibe, sed cf. § 17. 18 *καλεῖται* Harp: *καλεῖ* X 4 *ἐξελθὼν*] *εἰσελθὼν* Sauppe, *ἐπεξελθὼν* Halb 7 *νομίζοιμεν* Naber 8 tit. om. X relicto spatio 10 *ὀμόσαντα* Harp. s. v. *ἐπιορκήσαντα*, qui habet *τὸ . . . ἐστι*: *ὀμόσαι* X *τό τε δρ.* X, *τὸ δὲ δρ.* C 13 *ἀπίλλειν* habet X *τοῦτο* Markl: *τὸ* X *ἀποκλείειν* X, *ἀποκλ. νομίζεται* habet Harp. quoque s. v. *ἀπίλλειν* *νόμιζε καὶ μηδενὶ* Wdn, *οὐδὲν διὰ τ. διαφέρει* Frb 14 *διαφέρου* est in X, non *διαφέρον*, cf. Ar. Lys. 1172 15 *θεῖναι* Francken: *εἶναι* X 18 *ἔτι δ' ἀνάγνωθι* P. Müller: *ἐπανάγνωθι* X 19 *τουτουί* Markl: *τουτί* X 20 *ὅσοι* X *πωλοῦνται* X, quod vertit: se vendere Wachs-

καὶ

οἰκῆος τῆς βλάβης τὴν δεπλῆν τιμην ὀφείλειν.

Πρόσεχε τὸν νοῦν. τὸ μὲν πεφασμένως ἐστὶ φανερῶς,
20 πωλεῖσθαι δὲ βαδίζειν, τὸ δὲ οἰκῆος θεράποντος. πολλὰ δὲ τοιαῦτα καὶ ἄλλα ἐστίν, ὦ ἄνδρες δικασταί. ἀλλ' εἰ μὴ σιδηροῦς ἐστιν, οἴομαι αὐτὸν ἔννουν γεγονέναι ὅτι τὰ μὲν πράγματα ταὐτά ἐστι νῦν τε καὶ πάλαι, | τῶν δὲ ὀνομάτων ἐνίοις οὐ τοῖς αὐτοῖς χρώμεθα νῦν ⟨τε⟩ καὶ πρότερον. δηλώσει δέ· οἰχήσεται γὰρ ἀπιὼν ἀπὸ τοῦ βή-
21 ματος σιωπῇ. εἰ δὲ μή, δέομαι ὑμῶν, ὦ ἄνδρες δικασταί, τὰ δίκαια ψηφίσασθαι, ἐνθυμουμένους ὅτι πολὺ μεῖζον κακόν ἐστιν ἀκοῦσαί τινα τὸν πατέρα ⟨ἀπεκτονέναι ἢ τὴν ἀσπίδα⟩ ἀποβεβληκέναι. ἐγὼ γοῦν δεξαίμην ἂν πάσας τὰς ἀσπίδας ἐρριφέναι ἢ τοιαύτην γνώμην ἔχειν περὶ τὸν πατέρα.

22 Οὗτος οὖν ἔνοχος μὲν ὢν τῇ αἰτίᾳ, ἐλάττονος δὲ οὔσης αὐτῷ τῆς συμφορᾶς, οὐ μόνον ὑφ' ὑμῶν ἠλεήθη, ἀλλὰ καὶ τὸν μαρτυρήσαντα ἠτίμωσεν. ἐγὼ δὲ ἑωρακὼς μὲν ἐκεῖνο τοῦτον ποιήσαντα ὃ καὶ ὑμεῖς ἴστε, αὐτὸς δὲ σώσας τὴν ἀσπίδα, ἀκηκοὼς δὲ οὕτως ἀνόσιον καὶ δει-

---

muth, Stadt Athen II 1, 451, πολοῦνται C; eandem legem respicit Plut. Sol. 23   2 Legis verba corrupta dedi, qualia extant in X, οἰκῆος καὶ δούλης τὴν βλάβην εἶναι ὀφείλειν Schott, οἰκῆος βλάβης τὴν διπλῆν εἶναι ὀφείλειν Schelling, οἰκῆος καὶ δούλης διπλῆν τὴν βλάβην ὀφείλειν Frb, item (sed ἁπλῆν) Blass pb. Lipsius Att. Recht 639, temptaveram (Rechts-Alt[4] 120, 4): οἰκῆος τῆς βλάβης τὴν διπλῆν τιμὴν ὀφείλειν   3 πρόσεχε P. Müller: προσέχετε X, πρόσεχε δὴ Wdn   τὸ μὲν . . . φανερῶς extant apud Harp. s. πεφασμένης, τὸ δὲ . . . θεράποντος s. οἰκέως   6 σιδήροῦς superscripto ρου X   ἔννουν ⟨νῦν γε⟩ malit Rs   8 τε add. C   12 ἀκοῦσαί τινα Rs: ἀκούσαντα X, ζῆν ἀκούσαντα vel ἀκοῦσαι Dobr   ἀπεκτ. ἢ τὴν ἀσπ add. C, cf. XI 7   14 γνώμην] δόξαν Rauch   15 πρὸς τὸν πατέρα malit Rs   19 ὡς καὶ ὑμεῖς Dobr coll. XI 7
20 ἀνόσιον Hertlein: ἄνομον X

νὸν πρᾶγμα, μεγίστης δὲ οὔσης μοι τῆς συμφορᾶς, εἰ
ἀποφεύξεται, τούτῳ δ' οὐδενὸς ἀξίας, εἰ κακηγορίας
ἁλώσεται, οὐκ ἄρα δίκην παρ' αὐτοῦ λήψομαι; τίνος 23
ὄντος ἐμοὶ πρὸς ὑμᾶς ἐγκλήματος; πότερον ὅτι δικαίως
ἀκήκοα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. ἀλλ' ὅτι βελτίων
καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ; ἀλλ' οὐδ' ἂν αὐτὸς
ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα δικάζομαι κα-
κηγορίας τῷ σώσαντι; ἀλλ' οὐχ οὗτος ὁ λόγος ἐν τῇ πό-
λει κατεσκέδασται. ἀναμνήσθητε δὲ ὅτι μεγάλην καὶ κα- 24
λὴν ἐκείνην δωρειὰν αὐτῷ δεδώκατε· ἐν ᾗ τίς οὐκ ἂν
ἐλεήσειε Διονύσιον, τοιαύτῃ μὲν συμφορᾷ περιπεπτω-
κότα, ἄνδρα δὲ ἄριστον ἐν τοῖς κινδύνοις γεγενημένον,
ἀπιόντα δὲ ἀπὸ τοῦ δικαστηρίου λέγοντα ὅτι δυστυχε- 25
στάτην ἐκείνην εἴημεν ⟨τὴν⟩ στρατείαν ἐστρατευμένοι,
ἐν ᾗ πολλοὶ μὲν ἡμῶν ἀπέθανον, οἱ δὲ σώσαντες τὰ
ὅπλα ὑπὸ τῶν ἀποβαλόντων ψευδομαρτυριῶν ἑαλώκασι,
κρεῖττον δὲ ἦν αὐτῷ τότε ἀποθανεῖν ἢ οἴκαδ' ἐλθόντι
τοιαύτῃ τύχῃ χρῆσθαι; μὴ τοίνυν ἀκούσαντά ⟨τε⟩ Θεό- 26
μνηστον κακῶς τὰ προσήκοντα ἐλεεῖτε, καὶ ὑβρίζοντι
καὶ λέγοντι παρὰ τοὺς νόμους συγγνώμην ἔχετε. τίς γὰρ
ἂν ἐμοὶ μείζων ταύτης γένοιτο συμφορά, περὶ τοιούτου
πατρὸς οὕτως αἰσχρὰς αἰτίας ἀκηκοότι; ὃς πολλάκις μὲν 27

---

2 οὐδενὸς habet X ἀξίας, εἰ Cont: ἀξιώσει X 4 πρὸς ὑμῶν Francken δικαίως ⟨κακῶς⟩ olim Herw 5 φήσητε X 9 κατεσκέδασται Brulart: κατεσκεύασται X 10 δωρειὰν Cont: δῶρον X, καλὴν νίκην αὐτῷ Francken ἐν ᾗ] ἐφ' ᾗ West, ἧ Francken 13 λέγοντα Rs: καὶ λέγοντα X 14 τὴν add. Frb 18 κεχρῆσθαι Wdn τε add. Bekker, qua voce omissa ἐλεεῖτε μηδ' ὑβρίζοντί τε καὶ Scheibe, ἀκούσαντα ⟨μὲν⟩ . . . ἐλ. ὑβρίζοντι δὲ καὶ Frb 19 κακῶς del. Frb, pone λέγοντι transposuit Rauch, ante λέγοντι Gebauer, αὐτὰ Wdn, qui del. καὶ λέγοντι 20 γὰρ a pr. m. supra versum add. X 21 μείζω X 22 αἰσχρὰν αἰτίαν Rs ἀκηκοότι; ὃς Rs: ἀκηκοότος X, ἀκηκοότος ὃς Cont

ἐστρατήγησε, πολλοὺς δὲ καὶ ἄλλους κινδύνους μεθ'
ὑμῶν ἐκινδύνευσε· καὶ οὔτε τοῖς πολεμίοις τὸ ἐκείνου
σῶμα ὑποχείριον ἐγένετο, οὔτε τοῖς πολίταις οὐδεμίαν
πώποτε ὦφλεν εὐθ̣ύνην, ἔτη δὲ γεγονὼς ἑπτὰ καὶ ἑξή-
κοντα ἐν ὀλιγαρχίᾳ δι' εὔνοιαν τοῦ ὑμετέρου πλήθους
28 ἀπέθανεν. ἆρ' ἄξιον ὀργισθῆναι τῷ ⟨τοιαῦτ'⟩ εἰρηκότι
καὶ βοηθῆσαι τῷ πατρί, ὡς καὶ ἐκείνου κακῶς ἀκηκοό-
τος; τί γὰρ ἂν τούτου ἀνιαρότερον γένοιτο αὐτῷ, ἢ
τεθνάναι μὲν ὑπὸ τῶν ἐχθρῶν, αἰτίαν δ' ἔχειν ὑπὸ τῶν
παίδων ⟨ἀνῃρῆσθαι⟩; οὗ ἔτι καὶ νῦν, ὦ ἄνδρες δικα-
σταί, τῆς ἀρετῆς τὰ μνημεῖα πρὸς τοῖς ὑμετέροις ⟨ἱεροῖς⟩
ἀνάκειται, τὰ δὲ τούτου καὶ τοῦ τούτου πατρὸς τῆς κα-
κίας πρὸς τοῖς τῶν πολεμίων· οὕτω σύμφυτος αὐτοῖς ἡ
29 δειλία. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ὅσῳ μείζους εἰσὶ
καὶ νεανίαι τὰς ὄψεις, τοσούτῳ μᾶλλον ὀργῆς ἄξιοί εἰσι.
δῆλον γὰρ ὅτι τοῖς μὲν σώμασι δύνανται, τὰς δὲ ψυχὰς
οὐκ ⟨εὖ⟩ ἔχουσιν.
30 Ἀκούω δ' αὐτόν, ὦ ἄνδρες δικασταί, ἐπὶ τοῦτον τὸν
λόγον τρέψεσθαι, ὡς ὀργισθεὶς εἴρηκε ταῦτα ἐμοῦ μαρ-
τυρήσαντος τὴν αὐτὴν μαρτυρίαν Διονυσίῳ. ὑμεῖς δ'
ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταί, ὅτι ὁ νομοθέτης οὐδε-
μίαν ὀργῇ συγγνώμην δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα,
ἐὰν μὴ ἀποφαίνῃ ὡς ἔστιν ἀληθῆ τὰ εἰρημένα. ἐγὼ δὲ

---

1 ἄλλους] καλοὺς Dobr, μεγάλους Markl 2 ὑμῶν a pr m. corr. ex ἡμῶν X 4 εὔθυναν malit Scheibe 6 τοιαῦτ' add. Frb, κακῶς Herw, τῷ ὑβρικότι Wdn 8 τί γὰρ cf. II 73 10 ἀνῃρῆσθαι add. Brulart cf. XI 10 11 ἱεροῖς add. Cont cf. XI 10, τοῖς νεῴς τοῖς ὑμ. Wdn 15 νεανικώτεροι Hirschig, μᾶλλον νεανίαι Scheibe, ὅσῳ μᾶλλόν εἰσι νεανίαι . . . τοσ. μείζονος ὀργῆς Frb τοσούτῳ C: τοσοῦτο X 17 οὐκ εὖ Emperius: οὐκ X, ἴσας οὐκ vel γυναικῶν Rs, ὁμοίας οὐκ Wdn, οὐκ ἰσχύουσι West, οὐκ ἔχουσιν οὕτως Rauch, ψυχὰς δ' οὐκ ἔχ. Cob 19 τρέψεσθαι Markl: τρέπεσθαι X 21 οὐδεμίαν Brulart cf. XI 11: οὐδεμιᾷ X

*δὶς ἤδη περὶ τούτου μεμαρτύρηκα· οὐ γάρ πω ᾔδειν ὅτι
ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβαλοῦσι
συγγνώμην ἔχετε.*

Περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· 31
*ἐγὼ δ' ὑμῶν δέομαι καταψηφίσασθαι Θεομνήστου, ἐνθυ-
μουμένους ὅτι οὐκ ἂν γένοιτο τούτου μείζων ἀγών μοι.
νῦν γὰρ διώκω ⟨μὲν⟩ κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ
φόνου φεύγω τοῦ πατρός, ὃς μόνος, ἐπειδὴ τάχιστα
ἐδοκιμάσθην, ἐπεξῆλθον τοῖς τριάκοντα ἐν Ἀρείῳ πάγῳ.
ὧν μεμνημένοι καὶ ἐμοὶ καὶ τῷ πατρὶ βοηθήσατε καὶ* 32
τοῖς νόμοις τοῖς κειμένοις καὶ τοῖς ὅρκοις οἷς ὀμωμόκατε. 11

11.

ΚΑΤΑ ΘΕΟΜΝΗΣΤΟΥ Β.

Ὅτι μὲν τὸν πατέρα μ' ἔφασκεν ἀπεκτονέναι, πολλοὶ 1
*συνοίδασιν ὑμῶν, καὶ μαρτυροῦσι δέ μοι· ὅτι δὲ οὐ
πεποίηκα· ἔτη γάρ ἐστί μοι δύο καὶ τριάκοντα, ἐξ οὗ
δ' ὑμεῖς κατήλθετε, εἰκοστὸν τουτί. φαίνομαι οὖν δω-* 2
*δεκαέτης ὤν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνησκεν,
ὥστ' οὐδ' ὅτι ὀλιγαρχία ἦν ᾔδειν, οὐδὲ τῷ πατρὶ βοη-
θεῖν οἷός τ' ἦν. ἀλλὰ μὴν οὐδὲ τῶν χρημάτων ἕνεκα
ἐπεβούλευσα αὐτῷ· ὁ γὰρ πρεσβύτερος ἀδελφὸς πάντα
λαβὼν ἀπεστέρησεν ἡμᾶς.*

Ἴσως δ' ἐρεῖ ὡς οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν τις 3
*φῇ τὸν πατέρα ἀπεκτονέναι· τὸν γὰρ νόμον οὐ ταῦτ'
ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. ἐγὼ δ'
οἶμαι δεῖν οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ*

2 *ἀποβαλοῦσι* Cob: *ἀποβάλλουσι* X 6 *τούτου* a pr. m. supra versum add. X, *μείζων τούτου* Wdn 7 *μὲν* add. Scheibe coll. XI 12 12 Or. XI. 14 *ἔφασκεν* Tayl: *ἔφασκον* X 16 *δῆλον* post *πεπ.* add. C 23 *φῇ*] *φὴ* X[s], *φῇ* ⟨*τινα*⟩ Cont, *εἴπῃ* vulg, ⟨*τιν'*⟩ *εἴπῃ* Cob

περὶ τῆς τῶν ἔργων διανοίας, καὶ πάντας εἰδέναι ὅτι
ὁπόσοι ἀπεκτόνασί τινας, καὶ ἀνδροφόνοι τῶν αὐτῶν
εἰσι, καὶ ὅσοι ἀνδροφόνοι τινός, καὶ ἀπεκτόνασι τοῦτον.
4 πολὺ γὰρ ἂν ἔργον εἴη τῷ νομοθέτῃ πάντα γράφειν τὰ
ὀνόματα, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει· ἀλλὰ περὶ ἑνὸς
εἰπὼν περὶ πάντων ἐδήλωσεν. οὐ γὰρ δήπου ἐὰν μέν
τις πατραλοίαν ἢ μητραλοίαν καλῇ σε, ὑπόδικός ἐστιν,
ἐὰν δέ τις τὴν τεκοῦσαν ἢ τὸν φυτεύσαντα τύπτειν
5 ⟨φῇ⟩, ἀζήμιος ἔσται. καὶ ἐάν τις εἴπῃ ῥίψασπιν, ἀθῷος
ἔσται· τὸν γὰρ νόμον, ἐάν τις εἴπῃ ἀποβεβληκέναι τὴν
ἀσπίδα, ζημίαν τάττειν, ἀλλ' οὐκ ἄν τις ῥῖψαι φῇ αὐ-
τήν. ὁμοίως δ' ἂν καὶ τῶν ἕνδεκα γενόμενος οὐκ ἂν
ἀπεδέχου τὸν ἀπαγόμενον, ὅτι θοἰμάτιον ἐξέδυέ τινος
6 ἢ τὸν χιτωνίσκον, εἰ μὴ λωποδύτην ὠνόμαζεν. οὐδ' εἴ
τις παῖδ' ἐξῆγεν, ὡς ἀνδραποδιστήν· καὶ αὐτὸς μὲν
ἐδικάσω κακηγορίας τῷ εἰπόντι σε ῥῖψαι τὴν ἀσπίδα.
καίτοι ἐν τῷ νόμῳ οὐ γέγραπται, ἀλλ' ἐάν τις φῇ ἀπο-
βεβληκέναι. πῶς οὖν οὐ δεινόν, ἐὰν μέν τις σὲ εἴπῃ,
τοὺς νόμους ἐκλαμβάνειν οὕτως ὥσπερ ἐγὼ νῦν, καὶ
τιμωρεῖσθαι τοὺς ἐχθρούς, ἐὰν δ' αὐτὸς εἴπῃς, οὐκ
7 ἀξιοῦν δοῦναι δίκην; βοηθήσατε οὖν μοι, ἐνθυμούμενοι
ὅτι μεῖζόν ἐστι κακὸν ⟨ἀκοῦσαι⟩ τὸν πατέρα ἀπεκτονέ-
ναι ἢ τὴν ἀσπίδα ῥῖψαι. ἐγὼ γοῦν δεξαίμην ⟨ἂν⟩ πά-

---

2 ὁπόσοι Steph: ὁποῖοι X 3 τοῦτον Bekker: τουτονί X 7 καλῇ σε Markl: καλέσῃ X 8 τύπτειν φῇ Emperius: τύπτοι X 9 ἐάν Hermann: εἴ X, εἴ τις εἴποι vulg 13 ἐξέδυέ τινος Emperius: ἔξω θέμενος X, ἐκδεδυμένος εἴη Markl, ἀπαγ. εἰ μὴ ὁ θοἰμ. ἐκδεδυμένος ἢ τὸν χιτ. λωποδ. ὠν. Hermann 14 οὐδ' εἴ C: εἰ μή X 18 μέν C: μή X^{bh} σὲ] γε X 20 τιμωρεῖσθαι Tur coll. X 13, τιμωρεῖν X 21 ἀξιοῦν Tayl: ἄξιον X 22 ἀκοῦσαι add. Tur. coll. X 21 23 γοῦν Markl: οὖν X, coll. X 21 ἂν add. Markl πά-σας ⟨τὰς ἀσπίδας⟩ Auger post Contium

σας ἀποβεβληκέναι ἢ τοιαύτην γνώμην περὶ τὸν πατέρα
⟨ἔχειν⟩. καίτοι γε τοῦτον μὲν ἑώρακα ποιοῦντα, ὡς καὶ
ὑμεῖς ἴστε, αὐτὸς δ' ἔσωσα τὴν ἀσπίδα. ὥστε διὰ τί
οὐκ ἂν λάβοιμι δίκην παρ' αὐτοῦ; τίνος ἐγκλήματός μοι 8
ὄντος; πότερον ὡς δικαίως ἤκουσα; ἀλλ' οὐδ' ἂν αὐτοὶ
φήσαιτε. ἀλλ' ὡς βελτίων οὗτος; ἀλλ' οὐδ' ἂν αὐτὸς
ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα σώσαντι δι-
κάζομαι; ἀλλ' οὐχ οὗτος ὁ λόγος διέσπαρται κατὰ τὴν
πόλιν. μὴ δὴ κακῶς ἀκούοντα τὰ προσήκοντα ἐλεεῖτε, 9
μηδ' ὑβρίζοντί τε καὶ λέγοντι παρὰ τοὺς νόμους συγ-
γνώμην ἔχετε, καὶ ταῦτα εἰς ἄνδρα ὃς πολλὰς μὲν στρα-
τηγίας ἐστρατήγηκε, πολλοὺς δὲ μεθ' ὑμῶν ⟨κινδύνους⟩
κεκινδύνευκε, καὶ οὔτε τοῖς πολεμίοις ὑποχείριος γέγο-
νεν οὔθ' ὑμῖν εὔθυναν ὦφλεν, ἑβδομήκοντα δ' ἐτῶν ὢν
ἐπ' ὀλιγαρχίας ἐτελεύτησε διὰ τὴν ὑμετέραν εὔνοιαν.
ἄξιον δὲ ὀργισθῆναι ὑπὲρ αὐτοῦ· τί γὰρ ἂν τούτου 10
ἀνιαρότερον ἀκούσειεν, εἰ τεθνηκὼς ὑπὸ τῶν ἐχθρῶν
αἰτίαν ἔχοι ὑπὸ τῶν τέκνων ἀνῃρῆσθαι; οὗ τῆς ἀρετῆς
τὰ μνημεῖα πρὸς τοῖς ὑμετέροις ἱεροῖς ἀνάκειται, τῆς δὲ
τούτων κακίας πρὸς τοῖς τῶν πολεμίων.

Ἐρεῖ δὲ ὡς ὀργισθεὶς εἴρηκεν. ὑμεῖς δ' ἐνθυμεῖσθε 11
ὅτι ὁ νομοθέτης οὐδεμίαν συγγνώμην ὀργῇ δίδωσιν,
ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ.
ἐγὼ δὲ δὶς περὶ τούτου μεμαρτύρηκα· οὐ γὰρ ᾔδειν ὅτι
ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβαλοῦσι

2 ἔχειν add. C, pone γνώμην addere malit Scheibe καίτοι γε Cont: καί γε X ὡς] ὃ Cob 5 δικαίως ⟨κακῶς⟩ Herw 6 βελτίων οὗτος Sluiter: βελτίονος ὄντος X 7 ⟨τῷ⟩ σώσαντι Scheibe coll. X 23 9 κακῶς olim del. Herw 10 μηδ'] καὶ Baiter cf. X 26 12 πολλοὺς Tayl: πολλὰς X κινδύνους add. Tayl 15 ἐπ' Baiter: ὑπ' X 17 ⟨ἢ⟩ εἰ Scheibe 24 δὶς ⟨ἤδη⟩ olim Herw 25 ἰδόντας Cont: ἰδιώτας X ἀποβαλοῦσι Cob: ἀποβάλλουσι X

συγγνώμην ἔχετε. δέομαι οὖν καταψηφίσασθαι | αὐτοῦ.
12 νυνὶ γὰρ διώκω μὲν κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ φό-
νου φεύγω τοῦ πατρός, οὗ μείζων ἀγὼν οὐκ ἂν γένοιτό
μοι, ὃς μόνος δοκιμασθεὶς τοῖς τριάκοντ' ἐπεξῆλθον ἐν
Ἀρείῳ πάγῳ. βοηθήσατ' οὖν κἀκείνῳ κἀμοί.

12.

ΚΑΤΑ ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΤΩΝ ΤΡΙΑΚΟΝΤΑ, ΟΝ ΑΥΤΟΣ ΕΙΠΕ ΛΥΣΙΑΣ.

1 Οὐκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δι-
κασταί, τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι τοι-
αῦτα αὐτοῖς τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργα-
σται· ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρ-
χόντων κατηγορῆσαι, μήτε τἀληθῆ βουλόμενον εἰπεῖν
ἅπαντα δύνασθαι, ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπει-
2 πεῖν ἢ τὸν χρόνον ἐπιλιπεῖν. τοὐναντίον δέ μοι δοκοῦ-
μεν πείσεσθαι ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ. πρότερον μὲν
γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι,
ἥτις εἴη πρὸς τοὺς φεύγοντας· νυνὶ δὲ παρὰ τῶν φευ-
γόντων χρὴ πυνθάνεσθαι ἥτις ἦν αὐτοῖς πρὸς τὴν πό-
λιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν
ἐξαμαρτάνειν. οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας
καὶ συμφορὰς τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι

2 κατηγορίας superscripto κ a. pr. m. X 7 Or. XII. titulus idem κατὰ . . . τριάκοντα Schol. Aesch. III 194, κατ' Ἐ. ἑνὸς τῶν λ' Harp. s. δαρεικός, κατὰ τῶν τριάκοντα Plut. Mor. 350c, [Plut.] vit. X or. 836a 11 τοιαῦτα ⟨γὰρ⟩ Cont, τηλικαῦτα Hecker 12 αὐτοῖς] τούτοις Hamaker 15 ἀνάγκην εἶναι Steph 23 συμφορὰς] διαφορὰς Scheibe ⟨τούτους⟩ τοὺς λόγ. Guttentag, τοὺς λ. ⟨ταύτους⟩ Gebauer, sed cf. VII 27 ἅπασι] παντάπασι Herw

πολλῆς ἀφθονίας οὔσης ὑπὲρ τῶν ἰδίων ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, 3 *οὔτ' ἐμαυτοῦ πώποτε οὔτε ἀλλότρια πράγματα πράξας νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου κατηγορεῖν, ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην, μὴ διὰ τὴν ἀπειρίαν ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσομαι· ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων διδάξαι.*

Οὑμὸς πατὴρ Κέφαλος ἐπείσθη μὲν ὑπὸ Περικλέους 4 *εἰς ταύτην τὴν γῆν ἀφικέσθαι, ἔτη δὲ τριάκοντα ᾤκησε, καὶ οὐδενὶ πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδικασάμεθα οὔτε ἐφύγομεν, ἀλλ' οὕτως ᾠκοῦμεν δημοκρατούμενοι ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. ἐπειδὴ δ' οἱ τριά-* 5 *κοντα πονηροὶ [μὲν] καὶ συκοφάνται ὄντες εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν καὶ τοὺς λοιποὺς πολίτας ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι, [καὶ] τοιαῦτα λέγοντες οὐ τοιαῦτα ποιεῖν ἐτόλμων, ὡς ἐγὼ περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν καὶ περὶ τῶν ὑμετέρων ἀναμνῆσαι πειράσο-*

---

1 *πολλῆς*] *πλείονος* Rs *οὔσης* ⟨*οὐχ*⟩ Auger, *οὔσης* ⟨*οὐ μᾶλλον*⟩ Canter *ὑπὲρ τῶν ἰδίων ἢ* olim del. Herw, ⟨*οὐχ ἧττον*⟩ *ἢ* Frb, ⟨*εἰώθασι μᾶλλον*⟩ *ἢ* Rs, *ὑπὲρ τῶν ἰδίων* deleta vocula *ἢ* transponit post *συμφορὰς* Fritzsche; *ἢ* certe „quam" est, non „vel", *ἰδ. καὶ ὑπὲρ* Zaka 7 *ποιήσωμαι* C 11 *ταύτην*] *τήνδε* malit Gebauer, sed cf. V 2. 3 *τριάκοντα*] *πεντήκοντα* Pretzsch de vitae Lys. temp. 28 *ᾤκησε*] *μετῴκησε* Rs, ⟨*ἐν αὐτῇ* vel *ἐνταῦθα*⟩ *ᾤκ.* Gebauer 16 *μὲν* del. Rs, *πονηροὶ . . . ὄντες* del. Boblenz 17 *φάσκοντες* ⟨*δὲ*⟩ Cont, *φάσκ.* ⟨*μὲν*⟩ Uhlig *ἀδίκων*] *ἀδικούντων* Bake 19 *τραπέσθαι*] *τρέπεσθαι* Tayl, *προαγαγέσθαι* Hamaker, *προτρέπεσθαι* vel *προτρέψασθαι* Kayser, *προτρέψαι* Wdn *καὶ* del. Markland, *καίπερ ταῦτα* Herw, ⟨*ταῦτα*⟩ *καὶ* Rauch, *καίτοι ταῦτα* post Marklandum Cob 21 ⟨*ὑμᾶς*⟩ *ἀναμνῆσαι* Francken

6 μαι. Θέογνις γὰρ καὶ Πείσων ἔλεγον ἐν τοῖς τριάκοντα
περὶ τῶν μετοίκων, ὡς εἶέν τινες τῇ πολιτείᾳ ἀχθόμε-
νοι· καλλίστην οὖν εἶναι πρόφασιν τιμωρεῖσθαι μὲν
δοκεῖν, τῷ δ' ἔργῳ χρηματίζεσθαι· πάντως δὲ τὴν μὲν
7 πόλιν πένεσθαι τὴν ἀρχὴν ⟨δὲ⟩ δεῖσθαι χρημάτων. καὶ
τοὺς ἀκούοντας οὐ χαλεπῶς ἔπειθον· ἀποκτιννύναι μὲν
γὰρ ἀνθρώπους περὶ οὐδενὸς ἡγοῦντο, λαμβάνειν δὲ
χρήματα περὶ πολλοῦ ἐποιοῦντο. ἔδοξεν οὖν αὐτοῖς
δέκα συλλαβεῖν, τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ
πρὸς τοὺς ἄλλους ἀπολογία, ὡς οὐ χρημάτων ἕνεκα
ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγένη-
8 ται, ὥσπερ τι τῶν ἄλλων εὐλόγως πεποιηκότες. διαλα-
βόντες δὲ τὰς οἰκίας ἐβάδιζον· καὶ ἐμὲ μὲν ξένους ἑστι-
ῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδι-
δόασιν· οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες τὰ
ἀνδράποδα ἀπεγράφοντο. ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων
9 εἰ βούλοιτό με σῶσαι χρήματα λαβών· | ὁ δ' ἔφασκεν,
εἰ πολλὰ εἴη. εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου ἕτοι-
μος εἴην δοῦναι· ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. ἠπιστά-
μην μὲν οὖν ὅτι οὔτε θεοὺς οὔτ' ἀνθρώπους νομίζει,
ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον
10 εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν. ἐπειδὴ δὲ ὤμοσεν,
ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος, λαβὼν τὸ
τάλαντόν με σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον τὴν κι-
βωτὸν ἀνοίγνυμι· Πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ

2 τινες ⟨οἱ⟩ Gebauer 4 πάντως γὰρ Boblenz 5 πένεσθαι Markl: γενέσθαι X, ⟨δεῖν ἀσθενῆ⟩ γεν. Rs, ⟨δεῖν⟩ τὴν μὲν πόλιν γενέσθαι ⟨μικρὰν⟩ Meineke, ⟨ἀσθενῆ⟩ γεν. Franz δὲ post Reiskium add. Sauppe, τὴν δ' ἀρχὴν Scal 9 δέκα] τριάκοντα Markl coll. Xen. Hell. II 3. 21 10 οὕνεκα X 12 τῶν ἄλλων] καλὸν Rauch, τῶν καλῶν Frb, sed est: „prudentia usi ut in ceteris rebus" cf. Isocr. IV 136, Ant. V 34 19 ταῦτα] τοῦτο λαβὼν Hamaker

*ἰδὼν τὰ ἐνόντα καλεῖ τῶν ὑπηρετῶν δύο, καὶ τὰ ἐν τῇ
κιβωτῷ λαβεῖν ἐκέλευσεν. ἐπεὶ δὲ οὐχ ὅσον ὡμολόγητο* 11
*εἶχεν, ὦ ἄνδρες δικασταί, ἀλλὰ τρία τάλαντα ἀργυρίου
καὶ τετρακοσίους κυζικηνοὺς καὶ ἑκατὸν δαρεικοὺς καὶ
φιάλας ἀργυρᾶς τέτταρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι
δοῦναι, ὁ δ' ἀγαπήσειν με ἔφασκεν, εἰ τὸ σῶμα σώσω.* 12
*ἐξιοῦσι δ' ἐμοὶ καὶ Πείσωνι ἐπιτυγχάνει Μηλόβιός τε
καὶ Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες, καὶ κατα-
λαμβάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν ὅποι
βαδίζοιμεν· ὁ δ' ἔφασκεν εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ,
ἵνα καὶ τὰ ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. ἐκεῖνον μὲν
οὖν ἐκέλευον βαδίζειν, ἐμὲ δὲ μεθ' αὐτῶν ἀκολουθεῖν
εἰς Δαμνίππου. Πείσων δὲ προσελθὼν σιγᾶν μοι παρε-* 13
*κελεύετο καὶ θαρρεῖν, ὡς ἥξων ἐκεῖσε. καταλαμβάνομεν
δὲ αὐτόθι Θέογνιν ἑτέρους φυλάττοντα· ᾧ παραδόντες
ἐμὲ πάλιν ᾤχοντο. ἐν τοιούτῳ δ' ὄντι μοι κινδυνεύειν
ἐδόκει, ὡς τοῦ γε ἀποθανεῖν ὑπάρχοντος ἤδη. καλέσας* 14
*δὲ Δάμνιππον λέγω πρὸς αὐτὸν τάδε, „ἐπιτήδειος μέν
μοι τυγχάνεις ὤν, ἥκω δ' εἰς τὴν σὴν οἰκίαν, ἀδικῶ δ'
οὐδέν, χρημάτων δ' ἕνεκα ἀπόλλυμαι. σὺ οὖν ταῦτα
πάσχοντί μοι πρόθυμον παράσχου τὴν σεαυτοῦ δύναμιν
εἰς τὴν ἐμὴν σωτηρίαν.“ ὁ δ' ὑπέσχετο ταῦτα ποιήσειν.
ἐδόκει δ' αὐτῷ βέλτιον εἶναι πρὸς Θέογνιν μνησθῆναι·*

---

2 *ἐπειδὴ δὲ* Fuhr *ὡμολόγητο* Fritzsche: *ὡμολό* X i. e. *ὡμολόγησα* aut *ὡμολόγουν* Schoell. Herm. XI 215 4 *δαρεικοὺς* Maussac: *καρικοὺς* X cf. Harp. s. v. 5 *ἀργυρᾶς* add. a. pr. m. X, del. Wdn 8 *ἐργαστηρίου* cf. Poll. IX 39
9 *ὅποι* lib. Vindob. Sauppe: *ὅπη* X 10 *τὰ* ante *τοῦ* del. Scheibe, *τοῦ* del. Cob, *εἰς τὴν τοῦ* Cont 11 *ἐκεῖνο* X[h]
12 *μεθ' αὐτῶν ἀκ.* cf. Phot. lex. in ed. Reitzenstein 63, 2
14 *ἥξων* ⟨*καὐτὸς*⟩ Herw 16 *ἐν τῷ τοιούτῳ* Boblenz *ἀποκινδυνεύειν* Rs, *παρακινδυνεύειν* Fritzsche, *ἐδόκει τι* Scheibe
17 *καλέσας οὖν* post Reiskium Auger 21 *προθύμως* Hirschig, *πρόθυμος* Wdn

ἡγεῖτο γὰρ ἅπαν ποιήσειν αὐτόν, εἴ τις ἀργύριον δι-
15 *δοίη. ἐκείνου δὲ διαλεγομένου Θεόγνιδι (ἔμπειρος γὰρ*
ὢν ἐτύγχανον τῆς οἰκίας, καὶ ᾔδειν ὅτι ἀμφίθυρος εἴη)
ἐδόκει μοι ταύτῃ πειρᾶσθαι σωθῆναι, ἐνθυμουμένῳ ὅτι,
ἐὰν μὲν λάθω, σωθήσομαι, ἐὰν δὲ ληφθῶ, ἡγούμην μέν,
εἰ Θέογνις εἴη πεπεισμένος ὑπὸ τοῦ Δαμνίππου χρή-
ματα λαβεῖν, οὐδὲν ἧττον ἀφεθήσεσθαι, εἰ δὲ μή, ὁμοίως
16 *ἀποθανεῖσθαι. ταῦτα διανοηθεὶς ἔφευγον, ἐκείνων ἐπὶ*
τῇ αὐλείῳ θύρᾳ τὴν φυλακὴν ποιουμένων· τριῶν δὲ
θυρῶν οὐσῶν, ἃς ἔδει με διελθεῖν, ἅπασαι ἀνεῳγμέναι
ἔτυχον. ἀφικόμενος δὲ εἰς Ἀρχένεω τοῦ ναυκλήρου
ἐκεῖνον πέμπω εἰς ἄστυ, πευσόμενον περὶ τοῦ ἀδελφοῦ·
ἥκων δὲ ἔλεγεν ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λα-
17 *βὼν εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. καὶ ἐγὼ τοιαῦτα*
πεπυσμένος τῆς ἐπιούσης νυκτὸς διέπλευσα Μέγαράδε.
Πολεμάρχῳ δὲ παρήγγειλαν οἱ τριάκοντα τοὐπ' ἐκείνων
εἰθισμένον παράγγελμα, πίνειν κώνειον, πρὶν τὴν αἰ-
τίαν εἰπεῖν δι' ἥντινα ἔμελλεν ἀποθανεῖσθαι· οὕτω
18 *πολλοῦ ἐδέησε κριθῆναι καὶ ἀπολογήσασθαι. καὶ ἐπειδὴ*
ἀπεφέρετο ἐκ τοῦ δεσμωτηρίου τεθνεώς, τριῶν ἡμῖν
οἰκιῶν οὐσῶν ⟨ἐξ⟩ οὐδεμιᾶς εἴασαν ἐξενεχθῆναι, ἀλλὰ
κλεισίον μισθωσάμενοι προὔθεντο αὐτόν. καὶ πολλῶν
ὄντων ἱματίων αἰτοῦσιν οὐδὲν ἔδοσαν εἰς τὴν ταφήν,
ἀλλὰ τῶν φίλων ὁ μὲν ἱμάτιον ὁ δὲ προσκεφάλαιον ὁ
δὲ ὅ τι ἕκαστος ἔτυχεν ἔδωκεν εἰς τὴν ἐκείνου ταφήν.

---

5 *ἡγούμην, εἰ μὲν* post Reiskium Cob   7 *ὁμοίως*] *ὅμως* Kappeyne, *ὠμῶς* Herw, perinde ac si mansissem Rs   8 *ταῦτα δὴ* Cob, sed cf. I 17 XIII 26   13 *συλλαβὼν* Naber   14 *ἐγὼ μὲν* F. Müller, sed cf. I 12   *τοιαῦτα*] *ταῦτα* Markl   15 *πεπυσμ.* ex *πέπεισμ.* a pr. m. X   16 *τοὐπ'* Fritzsche: *τὸ ὑπ'* X, *τὸ ἐπ'* Ald   21 *ἐξ* add. Cob, *οὐδ' ἐκ μιᾶς* Wdn   22 *κλίσιον* X   23 *αἰτοῦσιν* del. Boblenz   25 *ἔτυχεν ⟨ἔχων⟩* Toup   *εἰς τὴν ἐκείνου ταφὴν* del. Herw

καὶ ἔχοντες μὲν ἑπτακοσίας ἀσπίδας τῶν ἡμετέρων, ἔχον- 19
τες δὲ ἀργύριον καὶ χρυσίον τοσοῦτον, χαλκὸν δὲ καὶ
κόσμον καὶ ἔπιπλα καὶ ἱμάτια γυναικεῖα ὅσα οὐδεπώποτε
ᾤοντο κτήσεσθαι, καὶ ἀνδράποδα εἴκοσι καὶ ἑκατόν, ὧν
τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον
ἀπέδοσαν, εἰς τοσαύτην ἀπληστίαν καὶ αἰσχροκέρδειαν
ἀφίκοντο καὶ τοῦ τρόπου τοῦ αὐτῶν ἀπόδειξιν ἐποιή-
σαντο· τῆς γὰρ Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλικτῆ-
ρας, οὓς ἔχουσα ἐτύγχανεν, ὅτε τὸ πρῶτον ἦλθον εἰς
τὴν οἰκίαν, Μηλόβιος ἐκ τῶν ὤτων ἐξείλετο. καὶ οὐδὲ 20
κατὰ | τὸ ἐλάχιστον μέρος τῆς οὐσίας ἐλέου παρ' αὐτῶν 11
ἐτυγχάνομεν. ἀλλ' οὕτως εἰς ἡμᾶς διὰ τὰ χρήματα ἐξη-
μάρτανον, ὥσπερ ἂν ἕτεροι μεγάλων ἀδικημάτων ὀργὴν
ἔχοντες, οὐ τούτων ἀξίους γε ὄντας τῇ πόλει, ἀλλὰ πά-
σας ⟨μὲν⟩ τὰς χορηγίας χορηγήσαντας, πολλὰς δ' εἰσφο-
ρὰς εἰσενεγκόντας, κοσμίους δ' ἡμᾶς αὐτοὺς παρέχοντας
καὶ πᾶν τὸ προσταττόμενον ποιοῦντας, ἐχθρὸν δ' οὐδένα
κεκτημένους, πολλοὺς δ' Ἀθηναίων ἐκ τῶν πολεμίων
λυσαμένους τοιούτων ἠξίωσαν οὐχ ὁμοίως μετοικοῦντας
ὥσπερ αὐτοὶ ἐπολιτεύοντο. οὗτοι γὰρ πολλοὺς μὲν τῶν 21
πολιτῶν εἰς τοὺς πολεμίους ἐξήλασαν, πολλοὺς δ' ἀδίκως 21
ἀποκτείναντες ἀτάφους ἐποίησαν, πολλοὺς δ' ἐπιτίμους
ὄντας ἀτίμους [τῆς πόλεως] κατέστησαν, πολλῶν δὲ

4 *κτήσεσθαι* Dobr: *κτήσασθαι* X 5 ⟨*αὐτοὶ*⟩ *ἔλαβον* Fuhr 8 *ἑλικτῆρας* cf. Harp. s. v. 9 *ὅτε πρῶτον* Hertlein, *ὅτε περ πρῶτον* Wdn *ἦλθον* scripsi: *ἦλθεν* X 10 *Μηλόβιος, ἐκ . . . ἐξείλοντο* Fritzsche 13 post *ὥσπερ* add. *οὐκ* Sauppe, *οὐδ'* West, *ὥσπερ ἂν ἐχθροὶ* Fritzsche 14 *ἀξίους ἔχοντας* X, *δὲ ἀξ. ὄντας* Kurz 15 *μὲν* add. Rs 16 *εἰσενεγκόντας* Markl: *ἐνεγκόντας* X *παρασχόντας* Cont 17 *πᾶν τὸ* in X suprascripsit manus recentior 19 *λυσαμένους· τοιούτων* Bergk, *τοιούτων ἠξίωσαν* del. Hamaker *οὐδ' ὁμοίως* Wdn 23 *τῆς πόλεως* del. Markl, *τῇ πόλει* post Reiskium Wdn, *τῆς πολιτείας* Richards

22 θυγατέρας μελλούσας ἐκδίδοσθαι ἐκώλυσαν. Καὶ εἰς τοσοῦτόν εἰσι τόλμης ἀφιγμένοι ὥσθ' ἥκουσιν ἀπολογησόμενοι, καὶ λέγουσιν ὡς οὐδὲν κακὸν οὐδ' αἰσχρὸν εἰργασμένοι εἰσίν. ἐγὼ δ' ἐβουλόμην ἂν αὐτοὺς ἀληθῆ λέγειν· μετῆν γὰρ ἂν καὶ ἐμοὶ τούτου τἀγαθοῦ οὐκ
23 ἐλάχιστον μέρος. νῦν δὲ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει οὔτε πρὸς ἐμέ· τὸν ἀδελφὸν γάρ μου, ὥσπερ καὶ πρότερον εἶπον, Ἐρατοσθένης ἀπέκτεινεν, οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα, ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως
24 ἐξυπηρετῶν. ἀναβιβασάμενος δ' αὐτὸν βούλομαι ἐρέσθαι, ὦ ἄνδρες δικασταί. τοιαύτην γὰρ γνώμην ἔχω· ἐπὶ μὲν τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω, ἐπὶ δὲ τῇ τούτου βλάβῃ καὶ πρὸς αὐτὸν τοῦτον ὅσιον καὶ εὐσεβές. ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι, ὅ τι ἄν σε ἐρωτῶ.

25 *Ἀπήγαγες Πολέμαρχον ἢ οὔ; Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν. Ἦσθα δ' ἐν τῷ βουλευτηρίῳ, ὅτε οἱ λόγοι ἐγίγνοντο περὶ ἡμῶν; Ἦν. Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι ἢ ἀντέλεγες; Ἀντέλεγον. Ἵνα ἀποθάνωμεν ⟨ἢ μὴ ἀποθάνωμεν⟩; Ἵνα μὴ ἀποθάνητε. Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια; Ἄδικα.*

26 Εἶτ' ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν ἵνα σώσειας, συνελάμβανες δὲ ἵνα ἀποκτείνῃς; καὶ ὅτε μὲν τὸ

1 εἰς τοιοῦτον X[1] 3 *καὶ λέγουσιν* del. Cob 13 *περὶ τούτου* del. Trendelenburg, sed est: „de illo homine" 15 *ὅσιον* Steph: *ὅσον* X 16 *ὅ τι* Brunck: *εἴ τι* X 21 *ἢ μὴ ἀποθάνωμεν* add. Rs, ἢ ἵνα μή; add. West, ἵνα μὴ ἀποθάνωμεν ἢ ἵνα ἀποθάνωμεν; Gebauer, ἵνα ἀποθάνωμεν del. Usener 22 *ἢ δίκαια* om. C, del. Bremi 24 *εἶτα . . .* 25 *ἀποκτείνῃς* cf. Spengel, Rhet. I[2] 2, 2 25 *ἀποκτείνειας* Kayser, sed cf. XXXII 22

πλῆθος ἦν ὑμῶν κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φῂς τοῖς βουλομένοις ἡμᾶς ἀπολέσαι, ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο καὶ σῶσαι Πολέμαρχον καὶ μή, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; εἶθ' ὅτι μέν, ὡς φῄς, ἀντειπὼν οὐδὲν ὠφέλησας, ἀξιοῖς χρηστὸς νομίζεσθαι, ὅτι δὲ συλλαβὼν ἀπέκτεινας, οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ ⟨δεῖν⟩ δοῦναι δίκην;

Καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν, εἴπερ ἀλη- 27
θῆ λέγει φάσκων ἀντειπεῖν, ὡς αὐτῷ προσετάχθη. οὐ γὰρ δήπου ἐν τοῖς μετοίκοις πίστιν παρ' αὐτοῦ ἐλάμβανον. ἔπειτα τῷ ἧττον εἰκὸς ἦν προσταχθῆναι ἢ ὅστις ἀντειπών γε ἐτύγχανε καὶ γνώμην ἀποδεδειγμένος; τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα ὑπηρετῆσαι ἢ τὸν ἀντειπόντα οἷς ἐκεῖνοι ἐβούλοντο πραχθῆναι; Ἔτι δὲ τοῖς μὲν ἄλ- 28
λοις Ἀθηναίοις ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν· αὐτοὺς δὲ τοὺς τριάκοντα, ἐὰν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς ὑμᾶς εἰκὸς ἀποδέχεσθαι; εἰ μὲν γάρ τις ἦν 29
ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα [αὐτῆς], ὑφ' ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε· νῦν δὲ παρὰ τοῦ ποτε καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα

---

7 *δεῖν* add. post Madvigium Gebauer, *χρῆναι* post *οἴει* add. Wdn, *οἴει* del. Madvig, tum vero esse oportuit *μὴ ἐμοί* . . . 9 *προσετάχθη* Rs: *ἐτάχθη* X *οὐ γὰρ* . . . 10 *ἐλάμβανον* del. E. Müller, pone *πραχθῆναι* transp. Bruhn, *οὐ γὰρ ἂν δὴ* Francken 11 *ἔπειτα*] *ἐπεί τοι* Tayl, *ἐπεὶ* Rauch, *ἐπεὶ ταῦτα* Boblenz, sed est: tum vero, quae cum ita sint cf. XXXII 15 *ἧττον* Canter: *πίστιν* X, del. Markl *ἢ* del. Dobr 12 *ἀντειπών τε* Rs *γνώμην ⟨ἐναντίαν⟩* Rs, *⟨τὴν⟩ γν.* Pertz, *καὶ* del. E. Müller *τίνα γὰρ ⟨ἂν⟩* Cob 13 *ὑπηρετήσειν* West 19 *αὐτῆς* del. Dobr, *ταύτης* Rs, *αὐτῶν* Tur, *αὐτοῖς* Wdn 21 *παρὰ τοῦ* Canter (Venetus Taylori): *παρ' αὐτοῦ* X 22 *ποτε* del. Cob

λέγειν ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν;
30 Καὶ μὲν δὴ οὐκ ἐν τῇ οἰκίᾳ ἀλλ' ἐν τῇ ὁδῷ, σῴζειν τε
αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμένα παρόν, συλλαβὼν ἀπ-
ήγαγεν. ὑμεῖς δὲ πᾶσιν ὀργίζεσθε, ὅσοι εἰς τὰς οἰκίας
ἦλθον τὰς ὑμετέρας ζήτησιν ποιούμενοι ἢ ὑμῶν ἢ τῶν
31 ὑμετέρων τινός. καίτοι εἰ χρὴ τοῖς διὰ τὴν ἑαυτῶν σω-
τηρίαν ἑτέρους | ἀπολέσασι συγγνώμην ἔχειν, ἐκείνοις
ἂν δικαιότερον ἔχοιτε· κίνδυνος γὰρ ἦν πεμφθεῖσι μὴ
ἐλθεῖν καὶ καταλαβοῦσιν ἐξάρνοις γενέσθαι. τῷ δὲ Ἐρα-
τοσθένει ἐξῆν εἰπεῖν ὅτι οὐκ ἀπήντησεν, ἔπειτα ὅτι οὐκ
εἶδεν· ταῦτα γὰρ οὔτ' ἔλεγχον οὔτε βάσανον εἶχεν, ὥστε
μηδ' ὑπὸ τῶν ἐχθρῶν βουλομένων οἷόν τ' εἶναι ἐξ-
32 ελεγχθῆναι. χρῆν δέ σε, ὦ Ἐρατόσθενες, εἴπερ ἦσθα
χρηστός, πολὺ μᾶλλον τοῖς μέλλουσιν ἀδίκως ἀποθα-
νεῖσθαι μηνυτὴν γενέσθαι ἢ τοὺς ἀδίκως ἀπολουμένους
συλλαμβάνειν. νῦν δέ σου τὰ ἔργα φανερὰ γεγένηται
οὐχ ὡς ἀνιωμένου ἀλλ' ὡς ἡδομένου τοῖς γιγνομένοις·
33 ὥστε τούσδε ἐκ τῶν ἔργων χρὴ μᾶλλον ἢ ἐκ τῶν λόγων
τὴν ψῆφον φέρειν, ἃ ἴσασι γεγενημένα τῶν τότε λεγο-
μένων τεκμήρια λαμβάνοντας, ἐπειδὴ μάρτυρας περὶ αὐ-
τῶν οὐχ οἷόν τε παρασχέσθαι. οὐ γὰρ μόνον ἡμῖν παρ-

---

2 μὲν C: μηδὲν X σῴζειν τε et 3 παρόν Sauppe: σῴζοντα et ὂν X, σῴζοντα αὐτὸν, κατὰ τὰ τούτοις ἐψηφισμένα Baiter, σῴζοντα αὐτὸν κατὰ (vel παρὰ) τὰ τούτοις ἐψηφισμένα ὅμως Boblenz, σῴζων τε αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμένα Jacobs, σῴζοντα αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμένα φοβούμενον Fritzsche, σῴζοντα . . . ὂν del. Funkhänel 4 πᾶσιν Rs: πάντες X, πάντες ⟨ἐκείνοις⟩ Fritzsche ὠργίζεσθε Markl, sed cf. § 31 ἂν ἔχοιτε 6 τοῖς Rs: τούτοις X, που τοῖς Jacobs, τινα τοῖς Wdn 9 ἐλθεῖν ἢ καταλ. Dobr 11 εἶδεν] οἶδεν vulg. ᾔδειν Herw 12 βουλομένων] βουλόμενον σῴζειν vel σῶσαι Dobr 14 μέλλουσιν δικαίως ἀποθ. Markl 15 ἢ τοῖς ἀδίκ. ἀπολλύουσι Rs, ἢ τοῖς ἀδ. ἀπολογουμένοις Wdn, ἢ αὐτὸν ἀδ. ἀπολοῦντα Gebauer, μηνυτὴν . . . ἀπολουμένους del. Nauck 21 ἡμῖν] ὑμῖν Markl

*εἶναι οὐκ ἐξῆν, ἀλλ' οὐδὲ παρ' αὐτοῖς εἶναι, ὥστ' ἐπὶ
τούτοις ἐστὶ πάντα τὰ κακὰ εἰργασμένοις τὴν πόλιν
πάντα τἀγαθὰ περὶ αὑτῶν λέγειν. τοῦτο μέντοι οὐ φεύ-* 34
*γω, ἀλλ' ὁμολογῶ σοι, εἰ βούλει, ἀντειπεῖν. θαυμάζω
δὲ τί ἄν ποτ' ἐποίησας συνειπών, ὁπότε ἀντειπεῖν φά-
σκων ἀπέκτεινας Πολέμαρχον.*

*Φέρε δή, τί ἂν εἰ καὶ ἀδελφοὶ ὄντες ἐτύχετε αὐτοῦ
ἢ καὶ υἱεῖς; ἀποψηφίσαισθε; δεῖ γάρ, ὦ ἄνδρες δικασταί,
Ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπ-
ήγαγεν αὐτόν, ἢ ὡς δικαίως τοῦτ' ἔπραξεν. οὗτος δὲ
ὡμολόγηκεν ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν
διαψήφισιν περὶ αὐτοῦ πεποίηκε. Καὶ μὲν δὴ πολλοὶ καὶ* 35
*τῶν ἀστῶν καὶ τῶν ξένων ἥκουσιν εἰσόμενοι τίνα γνώ-
μην περὶ τούτων ἕξετε. ὧν οἱ μὲν ὑμέτεροι ὄντες πολῖ-
ται μαθόντες ἀπίασιν ὅτι ἢ δίκην δώσουσιν ὧν ἂν ἐξ-
αμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται τύραννοι τῆς
πόλεως ἔσονται, δυστυχήσαντες δὲ τὸ ἴσον ὑμῖν ἕξουσιν·
ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται πότερον ἀδίκως
τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων ἢ δικαίως.
εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες λαβόντες ἀφήσου-
σιν, ἦ που σφᾶς ⟨γ'⟩ αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ
ὑμῶν τηρουμένους. οὐκ οὖν δεινὸν εἰ τοὺς μὲν στρα-* 36

---

2 *τὰ κακὰ* et 3 *τἀγαθὰ*] articulos delet Dobr, sed cf. § 41 5 *ποτ' ἐποίησας* Dobr: *ποτε ποιήσαις* X 7 *ἂν* ⟨*ἐποιεῖτε* vel *ἐποιήσατε*⟩ Rs *ἐτυγχάνετε* Kayser 8 *ἀποψηφίσαισθε* Markl: *ἀπεψηφίσασθε* X, *ἀπεψηφίζεσθε* Kayser, *ἂν* add. Fritzsche, tum vero pergeret: *ἔδει γὰρ, τί ἂν . . . ἐψηφίσασθε* Frb, *φέρε . . . ἀπεψηφίσασθε* del. Blass 14 *ὑμέτεροι* superscriptum in C et Rs: *ἡμέτεροι* X 15 *ὅτι ἢ*] *πότερον* Hamaker, *ἢ ὅτι* Fritzsche 21 *γ'* add. Fuhr, ⟨*σφόδρα*⟩ *σφᾶς* Wdn, cf. Gebauer, arg. 71 *περιέργως* Tayl *ὑπὲρ ἡμῶν* X 22 *τηρουμένους*, quod est in X, defendit Kocks coll. Thuc. IV 108, 1, *τειρομένους* Canter, *τιμωρουμένους* Markl, *κηδομένους* Rauch, *διατεινομένους* Frb, ⟨*ἐχθροὺς*⟩ *ὑπὲρ ὑμῶν γ' αἱρουμένους* Wdn

τηγούς, οἳ ἐνίκων ναυμαχοῦντες, ὅτε διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε, ἡγούμενοι χρῆναι τῇ τῶν τεθνεώτων ἀρετῇ παρ' ἐκείνων δίκην λαβεῖν, τούτους δέ, οἳ ἰδιῶται μὲν ὄντες καθ' ὅσον ἐδύναντο ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας, ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι, οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας ὑφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι;

37 Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, ἠξίουν ἱκανὰ εἶναι τὰ κατηγορημένα· μέχρι γὰρ τούτου νομίζω χρῆναι κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι ἄξια εἰργάσθαι. ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν. ὥστ' οὐκ οἶδ' ὅ τι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων δὶς ἀποθανόντες δίκην δοῦναι δύναιντ' ἂν ⟨ἀξίαν⟩. 38 οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτῷ προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστί, πρὸς μὲν τὰ κατηγορημένα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντες ἐνίοτε ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνύντες ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολεμίων ναῦς

---

1 ὅτε] ὅτι Markl 2 τοὺς ⟨ναυαγοῦντας⟩ Rs, τοὺς ⟨νεκροὺς⟩ Dobr, τοὺς ⟨τεθνεῶτας⟩ Scheibe, τοὺς ⟨ναυαγοὺς⟩ P. Müller 3 ἡγούμενοι . . . 4 λαβεῖν in suspicionem vocat Gebauer 3 τεθνειότων X 6 ναυμαχοῦντες Fritzsche cum libris quibusdam, ὑμᾶς aut ante aut post ἐποίησαν add. Rs, ⟨τοὺς⟩ ναυμ. Meutzner 7 ἀκρίτως X 8 ὑφ' C: ἀφ' X 16 ἀξίαν add. Markl post δοῦναι, hic Frb, ante δίκην Fritzsche, οὐδ' ἂν . . . δύναιντ' ἀξίαν pp. Herw, ⟨ἱκανὴν⟩ δίκην Cob 17 ante οὐ γὰρ δὴ nonnulla excidisse putat West 18 κατηγορημένα C: κατηγορουμένα (sic) X, κατηγορούμενα vulg 20 λέγοντες ex λέγοντας a pr. m. corr. X[s] ἐνίοτε] αἴσχιστ' pp. Herw, ἐνίους ἐξαπατῆσαι Tayl, ⟨οἷς⟩ ἐνίοτε Jacobs ὑμῖν] ὑμᾶς Bake, del. Boblenz, ἀποδ. ὑμῖν malit Fuhr

ἔλαβον τριηραρχήσαντες, ⟨ἢ⟩ πόλεις πολεμίας οὔσας
φίλας ἐποίησαν· ἐπεὶ κελεύετε αὐτὸν ἀποδεῖξαι ὅπου 39
τοσούτους τῶν πολεμίων ἀπέκτειναν ὅσους τῶν πολιτῶν,
ἢ ναῦς ὅπου τοσαύτας ἔλαβον ὅσας αὐτοὶ παρέδοσαν, ἢ
πόλιν ἥντινα τοιαύτην προσεκτήσαντο οἵαν τὴν ὑμετέραν
κατεδουλώσαντο. ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ἐσκύ- 40
λευσαν ⟨τοσαῦτα⟩ ὅσα περ ὑμῶν ἀφείλοντο, ἀλλὰ τείχη
τοιαῦτα εἷλον οἷα τῆς ἑαυτῶν πατρίδος κατέσκαψαν· |
οἵτινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον, καὶ
ὑμῖν ἐδήλωσαν ὅτι οὐδὲ τὸν Πειραιᾶ Λακεδαιμονίων
προσταττόντων περιεῖλον, ἀλλ' ὅτι ἑαυτοῖς τὴν ἀρχὴν
οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι.

Πολλάκις οὖν ἐθαύμασα τῆς τόλμης τῶν λεγόντων 41
ὑπὲρ αὐτοῦ, πλὴν ὅταν ἐνθυμηθῶ ὅτι τῶν αὐτῶν ἐστιν
αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι καὶ τοὺς τοιούτους
ἐπαινεῖν. οὐ γὰρ νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθει τὰ 42
ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ τῶν τετρακοσίων ἐν τῷ
στρατοπέδῳ ὀλιγαρχίαν καθιστὰς ἔφευγεν ἐξ Ἑλλησπόν-
του τριήραρχος καταλιπὼν τὴν ναῦν, μετὰ Ἰατροκλέους
καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν. ἀφι-
κόμενος δὲ δεῦρο τἀναντία τοῖς βουλομένοις δημοκρατίαν
εἶναι ἔπραττε. καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι.

---

1 ἢ add. Markl, ἢ ὡς Meutzner, ἢ ὡς *πρεσβεύσαντες* Wdn 2 *φιλίας* Cob *ἐπεὶ*] *ἔπειτα* Scheibe, *ἂν ταῦτ' εἴπῃ* P. Müller 5 *ὑμετέραν* Rs: *ἡμετέραν* X 7 *τοσαῦτα* post *πολ.* add. Rs, hic Scheibe, post *ὅπλα* Fritzsche *ἀφείλοντο*; et 8 *κατέσκαψαν*; X et vulg 8 *εἷλον* rasura a pr. m. corr. ex *εἶχον* X *οἷάπερ* malit Fuhr *τῆς*] *τὰ τῆς* Cob 10 *ἐδήλωσαν. οἳ οὐδὲ* Markl 11 *ὅτι ἑαυτοῖς* post Taylorum Sluiter: *οἷς αὐτοῖς* X, *σφίσιν αὐτοῖς* Dobr, *ἑαυτοῖς* Classen, *ὡς αὐτοῖς . . . νομίζοντες εἶναι* Scheibe, *ὡς αὐτοῖς . . . βεβ. οὖσαν* Boblenz 14 *αὐτοῦ* Dobr: *αὐτῶν* X 16 ante *οὐ γὰρ* deesse aliquid Tayl suspicatur, Markl add. *οὗτος* post *πλήθει* 17 *ἔπραξεν* C: *ἔπραξαν* X 19 *Ἰατροκλέους*] eundem atque Patroclem Isocr. XVIII 5 esse Fuhr suspicatur

ΜΑΡΤΥΡΕΣ.

43 *Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω· ἐπειδὴ
δὲ ἡ ναυμαχία καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, δημο-
κρατίας ἔτι οὔσης, ὅθεν τῆς στάσεως ἦρξαν, πέντε ἄνδρες
ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων, συν-
αγωγεῖς μὲν τῶν πολιτῶν, ἄρχοντες δὲ τῶν συνωμοτῶν,
ἐναντία δὲ τῷ ὑμετέρῳ πλήθει πράττοντες· ὧν Ἐρατο-*
44 *σθένης καὶ Κριτίας ἦσαν. οὗτοι δὲ φυλάρχους τε ἐπὶ
τὰς φυλὰς κατέστησαν, καὶ ὅ τι δέοι χειροτονεῖσθαι καὶ
οὕστινας χρείη ἄρχειν παρήγγελλον, καὶ εἴ τι ἄλλο πράτ-
τειν βούλοιντο, κύριοι ἦσαν· οὕτως οὐχ ὑπὸ τῶν πολε-
μίων μόνον ἀλλὰ καὶ ὑπὸ τούτων πολιτῶν ὄντων ἐπε-
βουλεύεσθε ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφιεῖσθε πολλῶν*
45 *τε ἐνδεεῖς ἔσεσθε. τοῦτο γὰρ καλῶς ἠπίσταντο, ὅτι ἄλ-
λως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι, κακῶς δὲ
πραττόντων δυνήσονται· καὶ ὑμᾶς ἡγοῦντο τῶν παρόν-
των κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι περὶ τῶν μελ-*
46 *λόντων οὐκ ἐνθυμήσεσθαι. ὡς τοίνυν τῶν ἐφόρων ἐγέ-
νετο, μάρτυρας ὑμῖν παρέξομαι, οὐ τοὺς τότε συμπράτ-
τοντας (οὐ γὰρ ἂν δυναίμην), ἀλλὰ τοὺς αὐτοῦ Ἐρατο-*
47 *σθένους ἀκούσαντας. καίτοι εἰ ἐσωφρόνουν κατεμαρτύ-
ρουν ἂν αὐτῶν, καὶ τοὺς διδασκάλους τῶν σφετέρων
ἁμαρτημάτων σφόδρ' ἂν ἐκόλαζον, καὶ τοὺς ὅρκους, εἰ
ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς*

1 tituli loco spatium decem litterarum in X est 7 ἐναντία a m. pr. corr. ex ἐναντίοι X ὑμετέρῳ C: ἡμετέρῳ X 8 φρουράρχους C. F. Hermann 9 φυλὰς Tayl: φυλακὰς X, ἐπὶ τὰς φυλακὰς del. Boblenz 10 χρείη Bekker: χρὴ X 12 μόνον ex μόνων a pr. m. corr. X 13 ψηφιεῖσθε Cob: ψηφίσησθε X, ψηφίσαισθε Bekker, λήψεσθε Rs 14 καλῶς Frb: καὶ X, καὶ ⟨αὐτοὶ⟩ Fritzsche 16 ὑμᾶς Markl: ἡμᾶς X 21 καίτοι] καὶ οἵ Kayser, καίτοι ⟨κἀκεῖνοι⟩ Hertlein 22 ἂν αὐτῶν Markl 23 εἰ ἐσωφρόνουν aut del. aut in εἰ εὐσέβουν vel εὐώρκουν mutanda censuit Dobr

πιστοὺς ἐνόμιζον, ἐπὶ δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς ῥᾳδίως παρέβαινον. πρὸς μὲν οὖν τούτους τοσαῦτα λέγω, τοὺς δὲ μάρτυράς μοι κάλει. Καὶ ὑμεῖς ἀνάβητε.

ΜΑΡΤΥΡΕΣ.

Τῶν μὲν μαρτύρων ἀκηκόατε. τὸ δὲ τελευταῖον εἰς 48
τὴν ἀρχὴν καταστὰς ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν. καίτοι εἴπερ ἦν ἀνὴρ ἀγαθός, ἐχρῆν αὐτὸν πρῶτον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίγνεσθαι περὶ τῶν εἰσαγγελιῶν ἁπασῶν, ὅτι ψευδεῖς εἶεν, καὶ Βάτραχος καὶ Αἰσχυλίδης οὐ τἀληθῆ μηνύουσιν, ἀλλὰ τὰ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι, συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ὅσοι κακόνοι ἦσαν τῷ 49
ὑμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σιωπῶντες· ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. ὁπόσοι δ' εὖνοί φασιν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες;

Ἴσως δ' ἂν ἔχοι εἰπεῖν ὅτι ἐδεδοίκει, καὶ ὑμῶν τοῦτο 50
ἐνίοις ἱκανὸν ἔσται. ὅπως τοίνυν μὴ φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος· εἰ δὲ μή, ἐνταυθοῖ δῆλος ἔσται ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ τοσοῦτον

---

4 lemma in lacuna deest X 7 *κακῶν δὲ πολλῶν* C, quibus Fritzsche add. ⟨*αὐτὸς ἦρξε*⟩ 8 *αὐτὸν* Bekker: *ἂν* X, del. Cob 10 *εἶεν*] *εἰσι* Dobr *ὅτι* add. post *καὶ* Auger, ante *οὐ* Gebauer 11 *ἀλλὰ τὰ* C: *ἀλλὰ τἀληθῆ* X, *ἀλλὰ τὰ ψευδῆ* vel *λάθρα* Rs, *ἀλλὰ τὰ ἀληθῶς* Auger, *ἀλλὰ πάλαι δὴ* Jacobs, *ἀλλὰ τὰ ἄλλως* Dobr 14 *ἔλαττον εἶχον*] *ἔλ. ἠδίκουν* aut *ἐλάττω αἰτίαν εἶχον* West, sed cf. XXXII 1 20 *ἐν τῷ*] cf. § 62, *ἔν τῳ* Lipsius, *ἐνί τῳ* Fritzsche, *ἐν τοῖς λόγοις* Kayser, *ἔργῳ ἢ λόγῳ* Dobr, *ἐν τῷ λόγῳ* ⟨*ποτε*⟩ Renner 21 *ἐναντιούμενος* ⟨*ὑπὲρ Θηραμένους*⟩ Wdn *ἐνταυθὶ* Elmsley, *ἐντεῦθεν* West 22 *αὐτῷ* C: *αὐτὰ ὦ* X, *αὐτὰ τούτῳ* Scheibe, *αὐτά οἱ* West, *ὅτι ἐκείνῳ τε ταὐτὰ τούτῳ ἤρεσκε καὶ τοσοῦτον αὐτὸς* Wdn *τοσαῦτα* superscripto *οῦτον* X

ἐδύνατο ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ'
αὐτῶν. χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύ-
την τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θηραμένους,
ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν. ἀλλ' οὗτος τὴν μὲν πόλιν
51 ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς φί-
λους, ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παρα-
στήσω, | καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν
ἀλλ' ὑπὲρ ἑαυτῶν γιγνομένας, ὁπότεροι τὰ πράγματα
52 πράξουσι καὶ τῆς πόλεως ἄρξουσιν. εἰ γὰρ ὑπὲρ τῶν
ἀδικουμένων ἐστασίαζον, ποῦ κάλλιον [ἂν] ἦν ἀνδρὶ
ἄρχοντι, ἢ Θρασυβούλου Φυλὴν κατειληφότος, τότε ἐπι-
δείξασθαι τὴν αὑτοῦ εὔνοιαν; ὁ δ' ἀντὶ τοῦ ἐπαγγεί-
λασθαί τι ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ Φυλῇ, ἐλθὼν
μετὰ τῶν συναρχόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσῖνάδε
τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμω-
τήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων θάνατον κατε-
ψηφίσατο.
53 Ἐπειδὴ δὲ εἰς τὸν Πειραιᾶ ἤλθομεν καὶ αἱ ταραχαὶ
γεγενημέναι ἦσαν καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγί-
γνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους

---

6 ἀμφότερά ⟨τε⟩ Hamaker ὡς . . . ταῦτα cf. Thuc. I 9, 3 7 καὶ ⟨ἀποδείξω⟩ Rauch, διαφορὰς ⟨ἑώρα⟩ Wdn 8 τὰ πράγματα scripsi secundum Gebauerum cf. XIII 60: μοι ταῦτα X, μόνοι πάντα Rs, μᾶλλον πάντα Jacobs, μόνοι ταῦτα Meutzner, τὰ μέγιστα Dobr, ὑμῖν τἀναντία P. Müller, ταὐτὰ Frb, τὰ κοινὰ Renner, ὑμῖν τὰ κακὰ Wdn 9 πράξουσι] ἁρπάσουσι Frb, προέξουσι vel ὑπερέξουσι Fuhr, μόνοι τά τε πράγματα ἕξουσι Gebauer πάντα πράττοντες τῆς π. Bake καὶ . . . ἄρξουσιν del. Herw εἰ γὰρ Schott: καὶ γὰρ X, καὶ γὰρ ⟨εἰ⟩ Canter 10 στασιαζόντων Renner, qui servat καὶ γὰρ ἂν om. C 11 κατειληφότες X 12 εὔνοιαν Markl cf XVIII 3. 4: συνουσίαν X, προθυμίαν Rs, ἐξουσίαν Fritzsche 18 ταραχαὶ] μάχαι Hamaker 19 γεγενημέναι ἦσαν] αἱ γεγ. κατέστησαν Rs, ἐκγεγενημέναι ἦσαν malit Fritzsche τῶν del. Cob

ἔσεσθαι, ὡς ἀμφότεροι ἔδειξαν. οἱ μὲν γὰρ ἐκ Πειραιῶς
κρείττους ὄντες εἴασαν αὐτοὺς ἀπελθεῖν· οἱ δὲ εἰς τὸ 54
ἄστυ ἐλθόντες τοὺς μὲν τριάκοντα ἐξέβαλον πλὴν Φεί-
δωνος καὶ Ἐρατοσθένους, ἄρχοντας δὲ τοὺς ἐκείνοις
ἐχθίστους εἵλοντο, ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐ-
τῶν τούς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν Πειραιεῖ
φιλεῖσθαι. τούτων τοίνυν Φείδων [ὁ τῶν τριάκοντα] 55
γενόμενος καὶ Ἱπποκλῆς καὶ Ἐπιχάρης ὁ Λαμπτρεὺς καὶ
ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι Χαρικλεῖ καὶ
Κριτίᾳ ⟨καὶ⟩ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὐτοὶ εἰς τὴν
ἀρχὴν κατέστησαν, πολὺ μείζω στάσιν καὶ πόλεμον ἐπὶ
τοὺς ἐν Πειραιεῖ τοῖς ἐξ ἄστεως ἐποίησαν· ᾧ καὶ φανε- 56
ρῶς ἐπεδείξαντο ὅτι οὐχ ὑπὲρ τῶν ἐν Πειραιεῖ οὐδ'
ὑπὲρ τῶν ἀδίκως ἀπολλυμένων ἐστασίαζον, οὐδ' οἱ τε-
θνεῶτες αὐτοὺς ἐλύπουν οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι,
ἀλλ' οἱ μεῖζον δυνάμενοι καὶ θᾶττον πλουτοῦντες. λα- 57
βόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν ἀμφοτέροις ἐπολέ-
μουν, τοῖς τε τριάκοντα πάντα κακὰ εἰργασμένοις καὶ
ὑμῖν πάντα κακὰ πεπονθόσι. καίτοι τοῦτο πᾶσι δῆλον

---

1 *ἔσεσθαι* sc. *τὰς διαλλαγὰς* cf. § 58 et 60] *διαλλαγήσεσθαι* Hamaker, *σπείσεσθαι* Scheibe, *συμβήσεσθαι* West, *εἴχομεν ⟨φιλίαν⟩* Fritzsche, *εἴχ. ⟨πρᾶοι⟩* Francken, *εἴχ. ⟨τὰ⟩* Frb *ἔδειξαν* Canter: *ἔδοξαν* X, *ἐδείξαμεν* Geel, *ἀμφοτέροις ἔδοξεν* Kocks post Frohbergerum, *τὰ πρ. ἀλλ. ἔσ. οἷ' ἀμφοτέροις δόξαι* Gebauer, *πρὸς ἀλλήλων ἔσ. οἷς ἀμφότεροι ἐνέδοσαν* Wdn? 2 *ὄντες ⟨τῶν ἐναντίων⟩* Kayser *αὐτοὺς*] *ἀστοὺς* Markl, *τοὺς ἐξ ἄστεως* West, *τοὺς ἑτέρους* Gebauer, *τοὺς κατ' αὐτοὺς* Wdn 4 *δὲ τοὺς*] *δὲ ⟨δέκα⟩ τοὺς* Baiter 5 *δικαίως ἂν* del. Francken, *εἰκότως ἂν* West 7 *ὁ τῶν τριάκοντα* del. Frb, *ὁ . . . γενόμενος* olim del Herw 8 *Λαμπτρεὺς* Tayl: *λαμπρεὺς* X 10 *καὶ* post *Κριτ.* add. C *αὐτοὶ* Markl: *αὐτοὺς* superscripto *οἷς* X, *αὐτοὺς* Tayl, *αὖθις* Rs, del. Classen 11 *⟨τὴν⟩ στάσιν καὶ ⟨τὸν⟩ πόλεμον* Hecker 12 *τοῖς* Rs: *ἢ τοῖς* X *ᾧ καὶ* Rauch: *οἳ καὶ* X, *ᾗ καὶ* Rs, *οἷς καὶ* Scheibe 14 *τεθνειότες* X 17 *γὰρ τὴν ἀρχὴν* West 18 et 19 *πάντα ⟨τὰ⟩ κακὰ* Hertlein

*ἦν, ὅτι εἰ μὲν ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως,
εἰ δ' ὑμεῖς δικαίως, οἱ τριάκοντα ἀδίκως· οὐ γὰρ δὴ
ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον,*
58 *ἀλλὰ τούτων. ὥστε σφόδρα χρὴ ὀργίζεσθαι, ὅτι Φείδων
αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν τῶν αὐτῶν ἔρ-
γων Ἐρατοσθένει μετεῖχε καὶ τῇ αὐτῇ γνώμῃ τοὺς μὲν
κρείττους αὐτῶν δι' ὑμᾶς κακῶς ποιεῖν ἕτοιμος ἦν, ὑμῖν
δὲ ἀδίκως φεύγουσιν οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πό-
λιν, ἀλλ' ἐλθὼν εἰς Λακεδαίμονα ἔπειθεν αὐτοὺς στρα-
τεύεσθαι, διαβάλλων ὅτι Βοιωτῶν ἡ πόλις ἔσται, καὶ*
59 *ἄλλα λέγων οἷς ᾤετο πείσειν μάλιστα. οὐ δυνάμενος δὲ
τούτων τυχεῖν, εἴτε καὶ τῶν ἱερῶν ἐμποδὼν ὄντων εἴτε
καὶ αὐτῶν οὐ βουλομένων, ἑκατὸν τάλαντα ἐδανείσατο,
ἵνα ἔχοι ἐπικούρους μισθοῦσθαι, καὶ Λύσανδρον ἄρχον-
τα ᾐτήσατο, εὐνούστατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ, κακο-
νούστατον δὲ τῇ πόλει, μισοῦντα δὲ μάλιστα τοὺς ἐν*
60 *Πειραιεῖ. μισθωσάμενοι δὲ πάντας ἀνθρώπους ἐπ' ὀλέ-
θρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες, καὶ τελευτῶντες
Λακεδαιμονίους καὶ τῶν συμμάχων ὁπόσους ἐδύναντο
πεῖσαι, οὐ διαλλάξαι ἀλλ' ἀπολέσαι παρεσκευάζοντο τὴν*

---

1 *ἦν* del. Dobr 2 *ὑμεῖς δικαίως, οἱ τριάκοντα ἀδίκως* Rs: *ὑμεῖς ἀδίκως, οἱ τρ. δικαίως* X, quibus retentis *εἰ μὲν ἐκεῖνοι ἀδίκως ἔφευγον, ὑμεῖς δικαίως* Sluiter, *εἰ μὴ ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως* omissis reliquis Dobr *γὰρ δὴ* Steph: *γὰρ δι'* X 4 *Φείδωνι* . . . 6 *Ἐρατοσθένης* Dobr 7 *κρείττους αὐτῶν*] *κρ. αὐτοῦ* Burger, *χειρίστους*, immo vero *μετὰ Κριτίου* vel *Κριτίου ἑταίρους, στασιώτας* etc. Dobr, malim *συνάρχοντας αὐτῶν* cf. 52. 79. 87 9 *στρατεύσασθαι* C, quod Fuhr commendat 11 *δὲ τούτου* Hecker 12 *καὶ* ante *τῶν* del. Rs 13 *ἐδανείσαντο* X 15 *κακονούστατον* . . . *πόλει* del. Hamaker 16 *δὲ* ⟨*πάντων*⟩ *μάλιστα* Rs 17 *πάντας*] *πολλοὺς* Burger, *παντοίους* vel *πανταχόθεν* Kappeyne 18 *πόλεις*] *πολεμίους* Markl, *ὁπλίτας* Rs, *ὅλας* post vocem Cob. add., ante vocem Fritzsche, *π.* ⟨*ἄλλας τ'*⟩ Polak, ⟨*ἰδιώτας τε καὶ*⟩ *πόλεις* Wdn

πόλιν εἰ μὴ δι' ἄνδρας ἀγαθούς, οἷς ὑμεῖς δηλώσατε παρὰ τῶν ἐχθρῶν δίκην λαβόντες, ὅτι καὶ ἐκείνοις χάριν ἀποδώσετε. ταῦτα δὲ ἐπίστασθε μὲν καὶ αὐτοί, καὶ ⟨οὐκ⟩ 61 *οἶδ' ὅ τι δεῖ μάρτυρας παρασχέσθαι· ὅμως δέ· ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις ἥδιον ὡς πλείστων τοὺς αὐτοὺς λόγους ἀκούειν.*

ΜΑΡΤΥΡΕΣ.

Φέρε δὴ καὶ περὶ Θηραμένους ὡς ⟨ἂν⟩ δύνωμαι διὰ 62 *βραχυτάτων διδάξω. δέομαι δ' ὑμῶν ἀκοῦσαι ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως, καὶ μηδενὶ τοῦτο παραστῇ, ὡς Ἐρατοσθένους κινδυνεύοντος Θηραμένους κατηγορῶ. πυνθάνομαι γὰρ ταῦτα ἀπολογήσεσθαι αὐτόν, ὅτι ἐκείνῳ φίλος ἦν καὶ τῶν αὐτῶν ἔργων μετεῖχε. καίτοι σφόδρ'* 63 *ἂν αὐτὸν οἶμαι | μετὰ Θεμιστοκλέους πολιτευόμενον προσποιεῖσθαι πράττειν ὅπως οἰκοδομηθήσεται τὰ τείχη, ὁπότε καὶ μετὰ Θηραμένους ὅπως καθαιρεθήσεται. οὐ γάρ μοι δοκοῦσιν ἴσου ἄξιοι γεγενῆσθαι· ὁ μὲν γὰρ Λακεδαιμονίων ἀκόντων ᾠκοδόμησεν αὐτά, οὗτος δὲ τοὺς πολίτας ἐξαπατήσας καθεῖλε. περιέστηκεν οὖν τῇ πόλει* 64 *τοὐναντίον ἢ ὡς εἰκὸς ἦν. ἄξιον μὲν γὰρ ⟨ἦν⟩ καὶ τοὺς φίλους τοὺς Θηραμένους προσαπολωλέναι, πλὴν εἴ τις ἐτύγχανεν ἐκείνῳ τἀναντία πράττων· νῦν δὲ ὁρῶ τάς τε*

---

1 *οἷς* Tayl: *οὓς* X, ⟨*πρὸς*⟩ *οὓς* Rs 3 *οὐκ* add. Wdn, qui scribit *ὥστ' οὐκ οἶδ'*, ante *δεῖ* addiderat C 6 *πλείστων* Cont: *πλεῖστον* X titulus deest in X 8 *ἂν* add. C 10 *παραστῇ*] *προσστῇ* Sauppe, quod redarguit Gebauer, ⟨*ἐπαχθὲς*⟩ *παρ.* Fuhr *ὡς* ⟨*δεινόν, εἰ*⟩ vel ⟨*ἔξω τοῦ πράγματος λέγω, ἐὰν*⟩ Gebauer 11 *κινδυνεύοντος* ⟨*ἀδικῶ*⟩ *Θ. κατηγορῶν* Wdn, *κινδ.* ⟨*οὐ προσηκόντως*⟩ Hude *Θηρ* ⟨*ἔξω τοῦ πράγματος*⟩ Herw. Ego post *πόλεως* commate distinxi 12 *ἀπολογήσεσθαι* Markl: *ἀπολογήσασθαι* X *ἐκείνῳ* Tayl: *ἐκείνοις* X 16 *οὐ γὰρ*] *καὶ γὰρ* Kayser, *ἀλλ' οὐ γὰρ* Baiter, *πάνυ γ', οὐ γάρ; μοι δοκοῦσιν* (sic) Fritzsche 17 *δοκοῦσιν* ⟨*ἐκεῖνοι*⟩ Auger 20 *ἦν* add. Rs *τοὺς Θ.* Franz: *τοῦ Θ.* X

*ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας, τούς τ᾽ ἐκείνῳ
συνόντας τιμᾶσθαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν
65 αἰτίου ἀλλ᾽ οὐ μεγάλων κακῶν γεγενημένου. ὃς πρῶτον
μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος ἐγένετο, πείσας
ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἑλέσθαι. καὶ
ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβούλων ὢν ταὔτ᾽ ἔπραττεν,
αὐτὸς δὲ δοκῶν εὐνούστατος εἶναι τοῖς πράγμασι στρα-
66 τηγὸς ὑπ᾽ αὐτῶν ᾑρέθη. καὶ ἕως μὲν ἐτιμᾶτο, πιστὸν
ἑαυτὸν [τῇ πόλει] παρεῖχεν· ἐπειδὴ δὲ Πείσανδρον μὲν
καὶ Κάλλαισχρον καὶ ἑτέρους ἑώρα προτέρους αὐτοῦ
γιγνομένους, τὸ δὲ ὑμέτερον πλῆθος οὐκέτι βουλόμενον
τούτων ἀκροᾶσθαι, τότ᾽ ἤδη διά τε τὸν πρὸς ἐκείνους
φθόνον καὶ τὸ παρ᾽ ὑμῶν δέος μετέσχε τῶν Ἀριστοκρά-
67 τους ἔργων. βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν
πιστὸς εἶναι Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον φιλτάτους
ὄντας αὐτῷ κατηγορῶν ἀπέκτεινεν, εἰς τοσοῦτον δὲ κα-
κίας ἦλθεν, ὥστε ἅμα μὲν διὰ τὴν πρὸς ἐκείνους πίστιν
ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς τοὺς φίλους
68 ἀπώλεσε. τιμώμενος δὲ καὶ τῶν μεγίστων ἀξιούμενος,
αὐτὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν αὐτὸς ἀπώλεσε,
φάσκων πρᾶγμα ηὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. ὑπ-
έσχετο δὲ εἰρήνην ποιήσειν μήτε ὅμηρα δοὺς μήτε τὰ
τείχη καθελὼν μήτε τὰς ναῦς παραδούς· ταῦτα δὲ εἰπεῖν*

---

3 *αἰτίου . . . γεγενημένου* Bekker: *αἰτίους . . . γεγενημένους* X, *αἰτίῳ . . . γεγενημένῳ* Rs *αἰτίου ⟨αὐτοῦ⟩* Wdn 6 *ταὔτ᾽* Classen: *ταῦτ᾽* X 8 *αὐτῶν* Sauppe: *αὐτοῦ* X 9 *τῇ πόλει* del. vel *τῇ πολιτείᾳ* Dobr, *ἐτιμᾶτο ἐν τῇ πόλει, πιστὸν ἑαυτὸν* Fritzsche 10 *κάλαισχρον* X *προτέρους* Canter: *πραοτέρους* X, *ὑπερτέρους* Jacobs, *λαμπροτέρους* Dobr 12 *τούτων*] *τῶν υ´* Dobr 15 *ἀρχιπτόλεμον* X 18 *διὰ δὲ*] *ἅμα δὲ διὰ* Cob 19 *δὲ καὶ ⟨ὕστερον, καὶ⟩* Scheibe, *ἀξιούμενος ⟨ἐπειδὴ ἡ τελευταία ναυμαχία ἐγένετο⟩* Hamaker 21 *φάσκων . . . ἄξιον* post *παραδούς* transponit Hamaker 23 *ταῦτα*] *τοῦτο* Hamaker, *τἄλλα* Wdn

μὲν οὐδενὶ ἠθέλησεν, ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. ὑμεῖς 69
δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πραττούσης μὲν τῆς ἐν Ἀρείῳ
πάγῳ βουλῆς σωτήρια, ἀντιλεγόντων δὲ πολλῶν Θηρα-
μένει, εἰδότες δὲ ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολε-
μίων ἕνεκα τἀπόρρητα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὑ-
τοῦ πολίταις οὐκ ἠθέλησεν εἰπεῖν ταῦθ' ἃ πρὸς τοὺς
πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως ἐπετρέψατε αὐτῷ πατρίδα
καὶ παῖδας καὶ γυναῖκας καὶ ὑμᾶς αὐτούς. ὁ δὲ ὧν μὲν 70
ὑπέσχετο οὐδὲν ἔπραξεν, οὕτως δὲ ἐνετεθύμητο ὡς χρὴ
μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν, ὥστε περὶ ὧν
οὐδεὶς πώποτε οὔτε τῶν πολεμίων ἐμνήσθη οὔτε τῶν
πολιτῶν ἤλπισε, ταῦθ' ὑμᾶς ἔπεισε πρᾶξαι, οὐχ ὑπὸ
Λακεδαιμονίων ἀναγκαζόμενος, ἀλλ' αὐτὸς ἐκείνοις ἐπαγ-
γελλόμενος, τοῦ τε Πειραιῶς τὰ τείχη περιελεῖν καὶ τὴν
ὑπάρχουσαν πολιτείαν καταλῦσαι, εὖ εἰδὼς ὅτι, εἰ μὴ
πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε, ταχεῖαν παρ' αὐ-
τοῦ τὴν τιμωρίαν κομιεῖσθε. καὶ τὸ τελευταῖον, ὦ ἄν- 71
δρες δικασταί, οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι,
ἕως ὁ ὡμολογημένος ὑπ' ἐκείνων καιρὸς ἐπιμελῶς ὑπ'
αὐτοῦ ἐτηρήθη, καὶ μετεπέμψατο μὲν τὰς μετὰ Λυσάν-
δρου ναῦς ἐκ Σάμου, ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων
στρατόπεδον. τότε δὲ τούτων ὑπαρχόντων, καὶ παρόντος 72
Λυσάνδρου καὶ Φιλοχάρους καὶ Μιλτιάδου, περὶ τῆς
πολιτείας τὴν ἐκκλησίαν ἐποίουν, ἵνα μήτε ῥήτωρ αὐτοῖς

---

3 *σωτήρια* Markl: *σωτηρίαν* X 5 *ἕνεκα* West: *οὕνεκεν* X ⟨*βλάβης*⟩ *ἕνεκα* Kayser 6 *ταῦτα πρὸς* X, quibus servatis Rs *ἐκεῖνος δ'* ⟨*ἃ*⟩ 7 *ἐπετρέψατε* C: *ἐπέμψατε* X 8 *γυναῖκα* X 9 *ἐνεθυμεῖτο* Cont 13 *αὐτὸς* Canter: *αὐτοῖς* X 14 *περιαιρεῖν* superscripto *ελεῖν* X 16 *ἀποστερήσεσθε* Cob 19 *ὡμολογημένος* West: *λεγόμενος* X *ἐκείνων* Markl: *ἐκείνου* X, quo servato *ὑπ' αὐτῶν* Rs, *λεγόμενος ὑπ' ἐκείνου* del. Boblenz, *λεγόμενος ὑπὸ Λυσάνδρου . . . τὰς μετ' ἐκείνου ναῦς* Gebauer 20 *μετεπέμψαντο* Rs 22 *παρόντων* superscripto *ος* X

μηδεὶς ἐναντιοῖτο μηδὲ διαπειλοῖτο ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε, ἀλλὰ τἀκείνοις δοκοῦντα
73 ψηφίσαισθε. ἀναστὰς δὲ Θηραμένης ἐκέλευσεν ὑμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν καὶ τῇ πολιτείᾳ χρῆσθαι ἣν Δρακοντίδης ἀπέφαινεν. ὑμεῖς δ' ὅμως καὶ οὕτω διακείμενοι ἐθορυβεῖτε ὡς οὐ ποιήσοντες ταῦτα· ἐγιγνώσκετε γὰρ ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν
74 ἐκείνῃ τῇ ἡμέρᾳ ἠκκλησιάζετε. Θηραμένης δέ, ὦ ἄνδρες δικασταί, (καὶ τούτων ὑμᾶς αὐτοὺς | μάρτυρας παρέξομαι) εἶπεν ὅτι οὐδὲν αὐτῷ μέλοι τοῦ ὑμετέρου θορύβου, ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια πράττοντας αὐτῷ, δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγοι. μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς ἄλλα τε πολλὰ εἶπε καὶ ὅτι παρασπόνδους ὑμᾶς ἔχοι, καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται ἀλλὰ περὶ σωτηρίας, εἰ
75 μὴ ποιήσεθ' ἃ Θηραμένης κελεύει. τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες ἡσυχίαν ἦγον, οἱ δὲ ᾤχοντο ἀπιόντες, τοῦτο γοῦν σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο· ὀλίγοι δέ τινες καὶ πονηροὶ καὶ κακῶς βουλευόμενοι τὰ προσ-
76 ταχθέντα ἐχειροτόνησαν. παρηγγέλλετο γὰρ αὐτοῖς δέκα μὲν οὓς Θηραμένης ἀπέδειξε χειροτονῆσαι, δέκα δὲ οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα ⟨δ'⟩ ἐκ τῶν παρόντων· οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἑώρων

1 μηδὲ Emperius: μήτε X διαπειλοῖτο Cob: ἀπειλοῖτο X, ἀπειλοῖ Tur, αἰτιῷτο Emperius, ⟨ἄρχων⟩ ἀπειλοῖτο Rs, μήτε πολίτης Jacobs 3 ψηφίσοισθε X ὑμᾶς C: ἡμᾶς X 7 ⟨οὐκ⟩ ἐλευθερίας Rs 8 ἠκκλησιάζετε Frb. cf. Dindorf praef. Demosth. I³ 27: ἐκκλ. X, ἐξεκλ. Sauppe 9 παρέχομαι Rs 10 μέλλοι X, μέλει Cont 16 ποιήσεθ' Cob: ποιήσαιθ' X κελεύει C: κελεύοι X 19 τοῦτό γ' οὖν X 22 παρήγγελτο Cob 23 ἀπέδειξε a pr. m. in ὑπέδ. corr. Xʰ 24 δ' add. C

*καὶ τὴν αὐτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ᾔδε-
σαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. ταῦτα* 77
*δὲ οὐκ ἐμοὶ δεῖ πιστεῦσαι, ἀλλὰ ἐκείνῳ· πάντα γὰρ τὰ
ὑπ' ἐμοῦ εἰρημένα ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν,
ὀνειδίζων μὲν τοῖς φεύγουσιν, ὅτι δι' αὐτὸν κατέλθοιεν,
οὐδὲν φροντιζόντων Λακεδαιμονίων, ὀνειδίζων δὲ τοῖς
τῆς πολιτείας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων
τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ αὐτοῖς αἴτιος γεγενη-
μένος τοιούτων τυγχάνοι, πολλὰς πίστεις αὐτοῖς ἔργῳ
δεδωκὼς καὶ παρ' ἐκείνων ὅρκους εἰληφώς. καὶ τοσού-* 78
*των καὶ ἑτέρων κακῶν καὶ αἰσχρῶν καὶ πάλαι καὶ νεωστὶ
καὶ μικρῶν καὶ μεγάλων αἰτίου γεγενημένου τολμήσουσιν
αὐτοὺς φίλους ὄντας ἀποφαίνειν, οὐχ ὑπὲρ ὑμῶν ἀπο-
θανόντος Θηραμένους ἀλλ' ὑπὲρ τῆς αὑτοῦ πονηρίας,
καὶ δικαίως μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος (ἤδη γὰρ
αὐτὴν κατέλυσε), δικαίως δ' ἂν ἐν δημοκρατίᾳ· δὶς γὰρ
ὑμᾶς κατεδουλώσατο, τῶν μὲν παρόντων καταφρονῶν,
τῶν δὲ ἀπόντων ἐπιθυμῶν, καὶ τῷ καλλίστῳ ὀνόματι
χρώμενος δεινοτάτων ἔργων διδάσκαλος καταστάς.*

Περὶ μὲν τοίνυν Θηραμένους ἱκανά μοί ἐστι τὰ κατ- 79
*ηγορημένα· ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρός, ἐν ᾧ δεῖ συγ-
γνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις,*

---

1 *ὥστε προῄδεσαν* Halb 3 *δεῖ* C: *δοκεῖ* X 6 *φροντιζόντων* Dobr: *φροντίζων δὲ τῶν* X, *φροντίζων τῶν* Classen, *φροντίζοντα δὴ τῶν* Fritzsche, *φροντιζόντων αὐτῶν* Wdn 8 *αὐτοῖς αἴτιος* Kayser: *αὐτὸς αἴτιος* X 9 *τοιούτων* ⟨*αὐτῶν*⟩ Cob *αὐτοῖς ἔργῳ* C: *αὐτῶ ἔργω* X, *αὐτὸς ἔργῳ* Markl, *αὐτῷ τῷ ἔργῳ* Frb, *αὐτοῖς τῷ ἔργῳ* Boblenz 10 *ὅρκους* del. Cob *καίτοι τοσούτων* Rs An. II 55 12 *αἰτίου γεγενημένου* Rs: *αἴτιοι γεγενημένοι* X, *αἰτίῳ γεγενημένῳ* Wdn 14 *Θηραμ.* del. Hirschig *ὑπὲρ τῆς*] *ὑπὸ τῆς* Cob *αὑτοῦ* ex *αὐτῶν* a m. pr. corr. X[s], *αὐτῶν* ex *αὐτοῦ* X[st] 15 *ἤδη*] cf. XXVIII 8, *δὶς* Sauppe *γὰρ* ⟨*πρότερον*⟩ Frb, *γὰρ* ⟨*καὶ πρότερον*⟩ Fritzsche, *γάρ* ⟨*ποτε*⟩ Gebauer 16 *κατέλυε* Cob *ἂν* ⟨*καὶ*⟩ *ἐν* Rs 22 *μὴ ἐνεῖναι* Hirschig

ἀλλὰ παρὰ Ἐρατοσθένους καὶ τῶν τούτου συναρχόντων δίκην λαβεῖν, μηδὲ μαχομένους ⟨μὲν⟩ κρείττους εἶναι τῶν πολεμίων, ψηφιζομένους δὲ ἥττους τῶν ἐχθρῶν.
80 *μηδ' ὧν φασι μέλλειν πράξειν πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε· μηδ' ἀποῦσι μὲν τοῖς τριάκοντα ἐπιβουλεύετε, παρόντας δ' ἀφῆτε· μηδὲ τῆς τύχης, ἣ τούτους παρέδωκε τῇ πόλει, κάκιον ὑμῖν αὐτοῖς βοηθήσητε.*

81 *Κατηγόρηται δὲ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολογίας ἀνοίσει καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. ὁ μέντοι ἀγὼν οὐκ ἐξ ἴσου τῇ πόλει καὶ Ἐρατοσθένει· οὗτος μὲν γὰρ κατήγορος καὶ δικαστὴς ⟨ὁ⟩ αὐτὸς ἦν τῶν κρινομένων, ἡμεῖς δὲ νυνὶ εἰς κατηγορίαν*
82 *καὶ ἀπολογίαν καθέσταμεν. καὶ οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας ἀκρίτους ἀπέκτειναν, ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν πόλιν κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν, παρ' ὧν οὐδ' ἂν παρανόμως βουλόμενοι δίκην λαμβάνειν ἀξίαν τῶν ἀδικημάτων ὧν τὴν πόλιν ἠδικήκασι λάβοιτε. τί γὰρ ἂν παθόντες δίκην τὴν ἀξίαν εἴησαν τῶν ἔργων*
83 *δεδωκότες; πότερον εἰ αὐτοὺς ἀποκτείναιτε καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν, ὧν οὗτοι πατέρας καὶ ὑεῖς καὶ ἀδελφοὺς ἀκρίτους ἀπέκτει-*

---

1 *τούτου* Rauch: *τουτουὶ* X, *τουτωὶ* Cob, *Ἐρ. τουτουὶ καὶ τῶν συν.* Herw 2 *μὲν* add. Cont 4 *μέλειν* X[k] 7 *ὑμῖν* ⟨*ὑμεῖς*⟩ *αὐτοὶ* Funkhänel, *κάκιον* ⟨*ὑμεῖς*⟩ Fuhr, *μηδ'* ⟨*ὑμεῖς*⟩ Wdn 9 *κατηγόρηται* Bake: *κατηγορεῖτε* X, *κατηγορεῖται* vel *κατηγορῶ* Sauppe, *κατάγνωτε* Dobr *δὲ*] *δὴ* Scheibe, *μὲν* Fuhr, *μὲν δὴ* Wdn, sed talibus particulis post § 79/80 non opus est *Ἐρατ.* del. Madvig, et sic Kocks: *κατηγορητέον δὲ καὶ τῶν* 10 *οἷς*] *εἰς οὓς* Sluiter 12 *ὁ αὐτὸς* Markl: *αὐτὸς* X 13 *κρινομένων* Rs: *γινομένων* X, *ἀπαγομένων* Fritzsche, *τῶν κριν.* del. Gebauer 14 *καὶ οὗτοι*] Dobr: *καίτοι οὗτοι* X 15 *ἀκρίτως* X 19 *τὴν ἀξίαν* del. Boblenz, *τὴν* del. Dobr 20 *ἀποκτείναιτε* Bekker: *ἀποκτείνοιτε* X[r] 21 *λάβοιτε* Sluiter 22 *ἀκρίτους* C: *ἀκρίτως* X

ναν; ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ δημεύσαιτε,
καλῶς ἂν ἔχοι ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ
τοῖς ἰδιώταις, ὧν ⟨τὰς⟩ οἰκίας ἐξεπόρθησαν. ἐπειδὴ τοί- 84
νυν πάντα ποιοῦντες δίκην παρ' αὐτῶν ⟨τὴν ἀξίαν⟩
οὐκ ἂν δύναισθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἡν-
τινοῦν ἀπολιπεῖν, ἥντινά τις βούλοιτο παρὰ τούτων |
λαμβάνειν;

Πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι, ὅστις νυνὶ οὐχ ἑτέρων
ὄντων τῶν δικαστῶν ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθό-
των ἥκει ἀπολογησόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας
τῆς τούτου πονηρίας· τοσοῦτον ἢ ὑμῶν καταπεφρόνηκεν
ἢ ἑτέροις πεπίστευκεν. ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆ- 85
ναι, ἐνθυμουμένους ὅτι οὔτ' ἂν ἐκεῖνα ἐδύναντο ποιεῖν
μὴ ἑτέρων συμπραττόντων οὔτ' ἂν νῦν ἐπεχείρησαν
ἐλθεῖν μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι, οἳ οὐ
τούτοις ἥκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν
ἄδειαν σφίσιν ἔσεσθαι τῶν ⟨τε⟩ πεπραγμένων καὶ τοῦ
λοιποῦ ποιεῖν ὅ τι ἂν βούλωνται, εἰ τοὺς μεγίστων κα-
κῶν αἰτίους λαβόντες ἀφήσετε. Ἀλλὰ καὶ τῶν συνερούν- 86
των αὐτοῖς ἄξιον θαυμάζειν, πότερον ὡς καλοὶ κἀγαθοὶ

---

1 *τὰ φανερὰ* del. West *δημεύσαιτε* Rs: *δημεύσετε* X 3 *τὰς* add. Scheibe *ἐξεπόρθησαν*; vulg 4 *τὴν ἀξίαν* add. Gebauer secundum Augerum, *ἱκανὴν* Sintenis, idem addunt post *λαβεῖν* Rs, ante *δίκην* Hirschig, idem post *δίκην* vel *ἀξίαν* post *ἂν* Tur, *δικαίαν* post *δίκην* Scheibe 5 *δύναισθε* Bekker: *δύνησθε* X 6 *παραλιπεῖν* pp. Herw *ἥντινά τις βούλοιτο* [*παρὰ τούτων λαμβάνειν*] ante *πῶς* ponit Halb 8 *μοι δοκῇ* X 11 *τούτου*] *αὐτοῦ* Auger, quod redarguit Lipsius *τοσοῦτον ἢ* Rs: *τοσοῦτον δ'* X, *τοσ. οὖν* Cob 12 *ὧν ἄξιον ἐπιμ. ἀμφότερα ἐνθυμ.* Dobr, *ἐπιμνησθῆναι* Fuhr 13 *ἐδύναντο* Markl: *δύναιντο* X 15 *ἐλθεῖν* C: *ἑλεῖν* X 17 *τε* add. Rs, An. II 55, *τῶν πεπρ.* ⟨*ὥστε*⟩ Wdn, *τῶν πεπρ.* del. Cob coll. XXII 19. XXX 34 18 *τοὺς* ⟨*τῶν*⟩ *μεγ.* Rs 19 *καὶ* ⟨*τοῦτο*⟩ *τῶν* Kayser, sed cf. XXV 19. 21 *συνερούντων* Rs: *ξυνεργούντων* X 20 *κἀγαθοὶ* Canter: *ἢ ἀγαθοὶ* X, *καὶ ἀγ.* C

αἰτήσονται, τὴν αὑτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς ⟨τούτων⟩ πονηρίας· ἐβουλόμην μέντ' ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σῴζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀπολλύναι· ἢ ὡς δεινοὶ λέγειν ἀπολογήσονται καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν. ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὐδὲ τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν.

87 *Ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες αὑτῶν κατηγοροῦσι, σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριάκοντα σώσειν, διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ δεινὸν ἦν*
88 *καὶ τῶν τεθνεώτων ἐπ' ἐκφορὰν ἐλθεῖν. καίτοι οὗτοι μὲν σωθέντες πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι· ἐκεῖνοι δέ, οὓς οὗτοι ἀπώλεσαν, τελευτήσαντες τὸν βίον πέρας ἔχουσι τῆς [παρὰ] τῶν ἐχθρῶν τιμωρίας. οὐκ οὖν δεινὸν εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν — ἦ που ⟨ἐπ'⟩ ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε βοηθεῖν τοσοῦτοι*
89 *παρασκευάζονται; καὶ μὲν δὴ πολὺ ῥᾷον ἡγοῦμαι εἶναι ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ ὑπὲρ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. καίτοι λέγουσιν ὡς Ἐρατοσθένει*

---

1 *αἰτήσονται*] *ἀπολογήσονται* Canter, *ἐξαιτήσονται* Rs, ⟨*τούτους*⟩ *ἐξαιτ.* Auger, *ἐξαιτ.* ⟨*αὐτοὺς*⟩ Kayser, del. Bergk 2 *τούτων* add. Markl 4 *ἀπολλύναι* Markl: *ἀποδοῦναι* X, *προδοῦναι* Cont 6 *οὐδὲ* Rs: *οὔτε* X 8 *οἳ*] *ὅτι* Francken 10 *τοῦ ὑμετέρου πλήθους*] *τοῦ ὑμ. ἐλέου* Markl, *τὸ ὑμέτερον πλῆθος* Dobr 12 *δεινὸν ἦν*] *οὐδ' ἐνῆν* Markl 13 *τεθνειότων* X 16 ⟨*τὸ*⟩ *πέρας* Frb coll. Din. III 16, *πέρα* Hude *παρὰ* del. Gebauer, qui etiam *κατὰ* proponit et *καὶ* ante *τῆς* add., *τοῦ βίου πέρας ἔχουσι τὴν παρὰ τ. ἐ. τιμωρίαν* Wdn *τιμμωρίας* X 17 *εἰ* C: *οἱ* X 19 *ἐπ'* add. C et Rs, *ἀπολέσασι δήπου ἐπ'* Sauppe, *ἀπολέσασιν ἐπ'* C *νοηθεῖεν* X 20 *πολὺ* C: *πολλοὶ* X, *πολλῷ* Rs *ῥᾷον* Steph: *ῥᾴδιον* X *καὶ μὲν δὴ . . .* 22 *ἀπολογήσασθαι* Bake transponit in § 86 post *εἰπεῖν*

*ἐλάχιστα τῶν τριάκοντα κακὰ εἴργασται, καὶ διὰ τοῦτο
αὐτὸν ἀξιοῦσι σωθῆναι· ὅτι δὲ τῶν ἄλλων Ἑλλήνων
πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται χρῆναι αὐτὸν
ἀπολέσθαι; ὑμεῖς δὲ δείξετε ἥντινα γνώμην ἔχετε περὶ* 90
*τῶν πραγμάτων. εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆ-
λοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις· εἰ δὲ ἀπο-
ψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ
τούτοις ὄντες, καὶ οὐχ ἕξετε λέγειν ὅτι τὰ ὑπὸ τῶν τριά-
κοντα προσταχθέντα ἐποιεῖτε· νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς* 91
*ἀναγκάζει παρὰ τὴν ὑμετέραν γνώμην ψηφίζεσθαι. ὥστε
συμβουλεύω μὴ τούτων ἀποψηφισαμένους ὑμῶν αὐτῶν
καταψηφίσασθαι. μηδ' οἴεσθε κρύβδην <εἶναι> τὴν ψῆ-
φον· φανερὰν γὰρ τῇ πόλει τὴν ὑμετέραν γνώμην
ποιήσετε.*

Βούλομαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας καταβαίνειν, 92
*τούς τε ἐξ ἄστεως καὶ τοὺς ἐκ Πειραιῶς, ἵνα τὰς ὑμῖν
διὰ τούτων γεγενημένας συμφορὰς παραδείγματα ἔχον-
τες τὴν ψῆφον φέρητε. καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεώς
ἐστε, σκέψασθε ὅτι ὑπὸ τούτων οὕτω σφόδρα ἤρχεσθε,
ὥστε ἀδελφοῖς καὶ ὑέσι καὶ πολίταις ἠναγκάζεσθε πολε-
μεῖν τοιοῦτον πόλεμον, ἐν ᾧ ἡττηθέντες μὲν τοῖς νική-
σασι τὸ ἴσον ἔχετε, νικήσαντες δ' ἂν τούτοις ἐδουλεύετε.*

---

2 *Ἑλλήνων* del Markl 4 *ἀπολέσθαι.* legebatur ante Gebauerum *δείξετε* Markl: *δείξατε* X 5 *τῶν*] *τούτων τῶν* vel *τοιούτων* Scheibe 6 *ὡς*] aut *πᾶσιν* aut del. Rs, sed cf. § 33, Plat. Phaedr. 235[a], Xen. An I 5, 9 9 *ποιεῖτε* Cob 10 *ψηφίζεσθαι* Bekker: *ἀποψηφίζεσθαι* X, <*οὔτε καταψηφίζεσθαι οὔτε*> *ἀποψηφίζεσθαι* Gebauer, *διαψηφίζεσθαι* Wdn *ὥστε* <*ὑμῖν*> Boblenz 11 *μὴ τούτου* Fuhr 12 *εἶναι* hic add. Scheibe, post *ψῆφον* C, *ἔσεσθαι* Kayser, *οἴσειν* vel *φέρειν* Rs, *οἴεσθε λαθεῖν διὰ τὸ κρύβδην εἶναι* Rauch, *οἴεσθε λήσειν ὅτι* (vel *εἰ*) *οἴσετε κρ.* Gebauer 13 *τῇ πόλει*] *τοῖς θεοῖς* Frb <*αὐτῶν*> *γνώμην* Fuhr 14 *ποιήσει* Wdn 17 *διὰ τούτων* C: *διὰ τοῦτον* X, *διὰ τούτους* Wdn

93 *καὶ τοὺς ἰδίους οἴκους οὗτοι μὲν [ἂν] ἐκ τῶν πραγμά-
των μεγάλους ἐκτήσαντο, ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλή-
λους πόλεμον ἐλάττους ἔχετε· συνωφελεῖσθαι μὲν γὰρ
ὑμᾶς οὐκ ἠξίουν, συνδιαβάλλεσθαι δ' ἠνάγκαζον, εἰς
τοσοῦτον ὑπεροψίας ἐλθόντες ὥστε οὐ τῶν ἀγαθῶν κοι-
νούμενοι πιστοὺς ὑμᾶς ἐκτῶντο, ἀλλὰ τῶν ὀνειδῶν μετα-*
94 *διδόντες εὔνους ᾤοντο εἶναι. ἀνθ' ὧν ὑμεῖς νῦν ἐν τῷ
θαρραλέῳ ὄντες, καθ' ὅσον δύνασθε, καὶ ὑπὲρ ὑμῶν
αὐτῶν καὶ ὑπὲρ τῶν ἐκ Πειραιῶς τιμωρήσασθε, | ἐνθυ-
μηθέντες μὲν ὅτι ὑπὸ τούτων πονηροτάτων ὄντων ἤρ-
χεσθε, ἐνθυμηθέντες δὲ ὅτι μετ' ἀνδρῶν νῦν ἀρίστων
πολιτεύεσθε καὶ τοῖς πολεμίοις μάχεσθε καὶ περὶ τῆς
πόλεως βουλεύεσθε, ἀναμνησθέντες δὲ τῶν ἐπικούρων,
οὓς οὗτοι φύλακας τῆς σφετέρας ἀρχῆς καὶ τῆς ὑμετέρας*
95 *δουλείας εἰς τὴν ἀκρόπολιν κατέστησαν. καὶ πρὸς ὑμᾶς
μὲν ἔτι πολλῶν ὄντων εἰπεῖν τοσαῦτα λέγω. ὅσοι δ' ἐκ
Πειραιῶς ἐστε, πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε,
ὅτι πολλὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι οὐχ ὑπὸ
τῶν πολεμίων ἀλλ' ὑπὸ τούτων εἰρήνης οὔσης ἀφῃρέθητε
τὰ ὅπλα, ἔπειθ' ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως,
ἣν ὑμῖν οἱ πατέρες παρέδοσαν, φεύγοντας δὲ ὑμᾶς ἐκ*
96 *τῶν πόλεων ἐξῃτοῦντο. ἀνθ' ὧν ὀργίσθητε μὲν ὥσπερ
ὅτ' ἐφεύγετε, ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν ἃ
πεπόνθατε ὑπ' αὐτῶν, οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς τοὺς
δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες βιαίως ἀπέκτειναν, τοὺς
δὲ ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφέλκοντες*

---

1 *ἂν* del. Baiter *πραγμάτων*] *ἁρπαγμάτων* Markl, *ἁρπαγῶν* vel *ταραχῶν* Herw 6 *ὀνειδιῶν* X 7 *εὖνοι* Jebb ⟨*δεῖν*⟩ *εἶναι* Dobr 10 *πονηροτάτων* Rs: *πονηροτέρων* X 14 *σφετέρας* Markl: *ὑμετέρας* X, *ἑαυτῶν* Tayl 16 *πολλῶν ἐνόντων* West 20 *τὰ ὅπλα* del. West, *αὐτὰ* Kayser 22 *ἐξῃτοῦντο* Cont: *ἐζητοῦντο* X 25 *ἀπέκτειναν* Rs: *ἀπέκτενον* X 26 *ἀφέλκοντες* Rs: *ἀφελόντες* X

*φονέας αὐτῶν ἠνάγκασαν γενέσθαι καὶ οὐδὲ ταφῆς τῆς
νομιζομένης εἴασαν τυχεῖν, ἡγούμενοι τὴν αὑτῶν ἀρχὴν
βεβαιοτέραν εἶναι τῆς παρὰ τῶν θεῶν τιμωρίας. ὅσοι δὲ* 97
*τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες καὶ
εἰς πολλὰς πόλεις πλανηθέντες καὶ πανταχόθεν ἐκκη-
ρυττόμενοι, ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν ἐν πο-
λεμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ' ἐν
ξένῃ γῇ, πολλῶν ἐναντιουμένων ἤλθετε εἰς τὸν Πειραιᾶ.
πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων ἄνδρες
ἀγαθοὶ γενόμενοι τοὺς μὲν ἠλευθερώσατε, τοὺς δ' εἰς
τὴν πατρίδα κατηγάγετε. εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων* 98
*ἡμάρτετε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε μὴ πάθητε
τοιαῦτα οἷα καὶ πρότερον, καὶ οὔτ' ἂν ἱερὰ οὔτε βωμοὶ
ὑμᾶς ἀδικουμένους διὰ τοὺς τούτων τρόπους ὠφέλησαν,
ἃ καὶ τοῖς ἀδικοῦσι σωτήρια γίγνεται· οἱ δὲ παῖδες ὑμῶν,
ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο, οἱ δ'
ἐπὶ ξένης μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον ἐρη-
μίᾳ τῶν ἐπικουρησόντων.*

Ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, 99
*τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν. οὐδὲ
γὰρ ἑνὸς κατηγόρου οὐδὲ δυοῖν ἔργον ἐστίν, ἀλλὰ πολ-
λῶν. ὅμως δὲ τῆς ἐμῆς προθυμίας ⟨οὐδὲν⟩ ἐλλέλειπται,
ὑπέρ ⟨τε⟩ τῶν ἱερῶν, ἃ οὗτοι τὰ μὲν ἀπέδοντο τὰ δ'
εἰσιόντες ἐμίαινον, ὑπέρ τε τῆς πόλεως, ἣν μικρὰν ἐποί-
ουν, ὑπέρ τε τῶν νεωρίων, ἃ καθεῖλον, καὶ ὑπὲρ τῶν
τεθνεώτων, οἷς ὑμεῖς, ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἐδύ-*

---

4 *διεφύγετε* Burger 10 *τοὺς δ'*] *αὐτοὺς δ'* Rs 12 *μὴ ἐπάθετε* Halm 14 *ὠφέλησεν* Boblenz 15 *σωτήρια* ex *σωτηρία* a pr. m. corr. X 19 *μέλλοντα ⟨ἂν⟩* Kayser 20 *εἰπεῖν* del. Cob, *εἰπεῖν ⟨ἅπαντα⟩* pp. Herw, *⟨πάντ'⟩ εἰπ.* Wdn 22 *οὐδὲν* hic add. Canter, ante *τῆς* Wdn 23 *τε* add. Sauppe *ἃ*] *ὧν* Cob

100 νασθε, ἀποθανοῦσι βοηθήσατε. οἶμαι δ' αὐτοὺς ἡμῶν τε ἀκροᾶσθαι καὶ ὑμᾶς εἴσεσθαι τὴν ψῆφον φέροντας, ἡγουμένους, ὅσοι μὲν ἂν τούτων ἀποψηφίσησθε, αὐτῶν θάνατον κατεψηφισμένους ἔσεσθαι, ὅσοι δ' ἂν παρὰ τούτων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν ⟨τὰς⟩ τιμωρίας πεποιημένους.

Παύσομαι κατηγορῶν. ἀκηκόατε, ἑωράκατε, πεπόνθατε, ἔχετε· δικάζετε.

13.

ΚΑΤΑ ΑΓΟΡΑΤΟΥ ΕΝΔΕΙΞΕΩΣ.

1 Προσήκει μέν, ὦ ἄνδρες δικασταί, πᾶσιν ὑμῖν τιμω-
ρεῖν ὑπὲρ τῶν ἀνδρῶν οἳ ἀπέθανον εὖνοι ὄντες τῷ
πλήθει τῷ ὑμετέρῳ, προσήκει δὲ κἀμοὶ οὐχ ἥκιστα· κη-
δεστὴς γάρ μοι ἦν Διονυσόδωρος καὶ ἀνεψιός. τυγχάνει
οὖν ἐμοὶ ἡ αὐτὴ ἔχθρα πρὸς Ἀγόρατον τουτονὶ καὶ τῷ
πλήθει τῷ ὑμετέρῳ ὑπάρχουσα· ἔπραξε γὰρ οὗτος τοι-
αῦτα, δι' ἃ ὑπ' ἐμοῦ νυνὶ εἰκότως μισεῖται, ὑπό τε ὑμῶν,
2 ἐὰν θεὸς θέλῃ, | δικαίως τιμωρηθήσεται. Διονυσόδωρον
γὰρ τὸν κηδεστὴν τὸν ἐμὸν καὶ ἑτέρους πολλούς, ὧν δὴ
τὰ ὀνόματα ἀκούσεσθε, ἄνδρας ὄντας ἀγαθοὺς περὶ τὸ
πλῆθος τὸ ὑμέτερον, ἐπὶ τῶν τριάκοντα ἀπέκτεινε, μη-
νυτὴς κατ' ἐκείνων γενόμενος. ποιήσας δὲ ταῦτα ἐμὲ μὲν

1 ἡμῶν Auger: ὑμῶν X 2 ἀκροάσεσθαι Markl εἴσεσθαι] ὄψεσθαι vel εἰσόψεσθαι Hamaker 3 αὑτῶν Cob 4 κατεψηφισμένους ἔσεσθαι Kayser: καταψηφιεῖσθαι X, κατεψ. φανήσεσθαι Scheibe, κατεψηφίσθαι Baiter 5 αὑτῶν Cob τὰς add. Franz τιμωρίαν Rs πεποιημένους ⟨ἔσεσθαι⟩ Cob, ⟨φανήσεσθαι⟩ πεπ. Rs, πεποιημένοι ἔσονται Gebauer 7 παύομαι Cont 10 Or. XIII. ἐνδείξεως del. Dobr, quamquam est apud Priscian. XVIII 233 et 263 Kr., Ant. V 9 confert Hude 15 οὖν μοι X 17 ὑπ' ἐμοῦ ⟨τε⟩ Fuhr, sed cf. I 17 XXIII 3, ἐμοῦ μὲν εἰκ. . . . ὑπὸ δ' ὑμῶν Wdn νυνὶ ante δικαίως transponit Herw 21 μηνυτὴς . . . γενόμενος del. Roehl, cf. § 18

*ἰδίᾳ καὶ ἕκαστον τῶν προσηκόντων μεγάλα ἐζημίωσε,
τὴν δὲ πόλιν κοινῇ πᾶσαν τοιούτων ἀνδρῶν ἀποστερή-
σας οὐ μικρά, ὡς ἐγὼ νομίζω, ἔβλαψεν. ἐγὼ οὖν, ⟨ὦ⟩* 3
*ἄνδρες δικασταί, δίκαιον καὶ ὅσιον ἡγοῦμαι εἶναι καὶ
ἐμοὶ καὶ ὑμῖν ἅπασι τιμωρεῖσθαι καθ' ὅσον ἕκαστος δύ-
ναται· καὶ ποιοῦσι ταῦτα νομίζω ἡμῖν καὶ παρὰ θεῶν
καὶ παρ' ἀνθρώπων ἄμεινον ἂν γίγνεσθαι. δεῖ δ' ὑμᾶς,
ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων
ἀκοῦσαι, ἵν' εἰδῆτε πρῶτον μὲν ᾧ τρόπῳ ὑμῖν ἡ δημο-* 4
*κρατία κατελύθη καὶ ὑφ' ὅτου, ἔπειτα ᾧ τρόπῳ οἱ ἄν-
δρες ὑπ' Ἀγοράτου ἀπέθανον, καὶ ὅ τι ἀποθνήσκειν
μέλλοντες ἐπέσκηψαν· ἅπαντα γὰρ ταῦτα ἀκριβῶς ἂν
μαθόντες ἥδιον καὶ ὁσιώτερον Ἀγοράτου τουτουὶ κατα-
ψηφίζοισθε. ὅθεν οὖν ἡμεῖς τε ῥᾷστα διδάξομεν καὶ
ὑμεῖς μαθήσεσθε, ἐντεῦθεν ὑμῖν ἄρξομαι διηγεῖσθαι.*
Ἐπειδὴ γὰρ αἱ νῆες αἱ ὑμέτεραι διεφθάρησαν καὶ τὰ 5
*πράγματα ⟨τὰ⟩ ἐν τῇ πόλει ἀσθενέστερα ἐγεγένητο, οὐ
πολλῷ χρόνῳ ὕστερον αἵ τε νῆες αἱ Λακεδαιμονίων ἐπὶ
τὸν Πειραιᾶ ἀφικνοῦνται, καὶ ἅμα λόγοι πρὸς Λακεδαι-
μονίους περὶ τῆς εἰρήνης ἐγίγνοντο. ἐν δὲ τῷ χρόνῳ* 6
*τούτῳ οἱ βουλόμενοι νεώτερα πράγματα ἐν τῇ πόλει
γίγνεσθαι ἐπεβούλευον, νομίζοντες κάλλιστον καιρὸν εἰ-
ληφέναι καὶ μάλιστ' ⟨ἂν⟩ ἐν τῷ τότε χρόνῳ τὰ πράγματα,
ὡς αὐτοὶ ἐβούλοντο, καταστήσασθαι. ἡγοῦντο δὲ οὐδὲν* 7
ἄλλο σφίσιν ἐμποδὼν εἶναι ἢ τοὺς τοῦ δήμου προεστη-

---

3 *ὦ* add. Markl 9 *ὅτῳ τρόπῳ* Herw 10 *ὑφ' οἵου* Wdn 11 *καὶ ὅτι* Rs An. II 57: *καὶ διότι* X, *καὶ δὴ ὅτι* Tayl, *καὶ δὴ καὶ ὅτι* Häberlin 12 *ἂν* transp. pone *ἥδιον* Cob, vel pone *γὰρ* Gebauer 14 *ῥᾷστα ἡμεῖς τε* Fuhr 15 *ὑμεῖς ⟨τάχιστα* vel *σαφέστατα⟩ μ.* Gebauer 17 *τὰ* add. Sauppe, *ἐν* del. Hamaker, *ἐν τῇ πόλει* del. Halb 20 *τῆς* pone *περὶ* del. Cob 22 *εἰλ. ὡς μάλ. ἐν* Fuhr 23 *ἂν* add. Auger, *καὶ . . . χρόνῳ* del. Kayser, *ἐν . . . χρόνῳ* del. Gebauer 24 *καταστήσεσθαι* Markl

κότας καὶ τοὺς στρατηγοῦντας καὶ ταξιαρχοῦντας. τού-
τους οὖν ἐβούλοντο ἁμῶς γέ πως ἐκποδὼν ποιήσασθαι,
ἵνα ῥᾳδίως ἃ βούλοιντο διαπράττοιντο. πρῶτον μὲν οὖν
8 Κλεοφῶντι ἐπέθεντο ἐκ τρόπου τοιούτου. ὅτε γὰρ ἡ
πρώτη ἐκκλησία περὶ τῆς εἰρήνης ἐγίγνετο καὶ οἱ παρὰ
Λακεδαιμονίων ἥκοντες ἔλεγον, ἐφ' οἷς ἕτοιμοι εἶεν τὴν
εἰρήνην ποιεῖσθαι Λακεδαιμόνιοι, εἰ κατασκαφείη τῶν
τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου, τότε ὑμεῖς
τε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἠνέσχεσθε ἀκούσαντες περὶ
τῶν τειχῶν τῆς κατασκαφῆς, Κλεοφῶν τε ὑπὲρ ὑμῶν
πάντων ἀναστὰς ἀντεῖπεν ὡς οὐδενὶ τρόπῳ οἷόν τε εἴη
9 ποιεῖν ταῦτα. μετὰ δὲ ταῦτα Θηραμένης, ἐπιβουλεύων
τῷ πλήθει τῷ ὑμετέρῳ, ἀναστὰς λέγει ὅτι, ἐὰν αὐτὸν
ἕλησθε περὶ τῆς εἰρήνης πρεσβευτὴν αὐτοκράτορα, ποι-
ήσειν ὥστε μήτε τῶν τειχῶν διελεῖν μήτε ἄλλο τὴν πόλιν
ἐλαττῶσαι μηδέν· οἴοιτο δὲ καὶ ἄλλο τι ἀγαθὸν παρὰ
10 Λακεδαιμονίων τῇ πόλει εὑρήσεσθαι. πεισθέντες δὲ ὑμεῖς
εἵλεσθε ἐκεῖνον πρεσβευτὴν αὐτοκράτορα, ὃν τῷ προ-
τέρῳ ἔτει στρατηγὸν χειροτονηθέντα ἀπεδοκιμάσατε, οὐ
11 νομίζοντες εὔνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. ἐκεῖνος
μὲν οὖν ἐλθὼν εἰς Λακεδαίμονα ἔμενεν ἐκεῖ πολὺν χρό-
νον, καταλιπὼν ὑμᾶς πολιορκουμένους, εἰδὼς τὸ ὑμέτε-
ρον πλῆθος ἐν ἀπορίᾳ ἐχόμενον καὶ διὰ τὸν πόλεμον
καὶ τὰ κακὰ τοὺς πολλοὺς τῶν ἐπιτηδείων ἐνδεεῖς ὄντας,

2 ἁμωσγέπως a pr. m. corr. ex ἄλλως γέ πως X 6 ἕτοιμοι εἶεν C: ἡτιμοῖεν X, ἐφ' οἷστισι Herw 7 ποιήσασθαι Ortner 10 τῆς κατασκαφῆς del. Boblenz, περὶ . . . κατασκαφῆς del. Herw 14 ποιήσει Steph, πείσει Francken 15 ὥστε ⟨ἐκείνους⟩ Kayser ἀφελεῖν Cob 19 οὐ νομίζοντες . . . 20 ὑμετέρῳ del. Gebauer 21 ἔμενεν X: ἔμεινεν cum libro C post Bekkerum editores plerique 24 τὰ κατὰ τοὺς X, τὰ ⟨τούτου⟩ κακὰ vel τἆλλα κακὰ Rs, τὰ ⟨κατ' αὐτὸν⟩ κακὰ West, τὰ ⟨τοῦ πολέμου⟩ κακὰ Gebauer, τὰ ⟨τούτῳ ἑπόμενα⟩ κακὰ Fuhr, qui confert [VI 47] Isocr. V 102 ἐνδεεῖς est in X

*νομίζων, εἰ διαθείη ὑμᾶς [ἀπόρως] ὥσπερ διέθηκεν,
ἀσμένως ὁποιαντινοῦν ἐθελῆσαι ἂν εἰρήνην ποιήσασθαι.
οἱ δ' ἐνθάδε ὑπομένοντες καὶ ἐπιβουλεύοντες καταλῦσαι* 12
*τὴν δημοκρατίαν εἰς ἀγῶνα Κλεοφῶντα καθιστᾶσι, πρό-
φασιν μὲν ὅτι οὐκ ἦλθεν εἰς τὰ ὅπλα ἀναπαυσόμενος,
τὸ δ' ἀληθὲς ὅτι ἀντεῖπεν ὑπὲρ ὑμῶν μὴ καθαιρεῖν τὰ
τείχη. ἐκείνῳ μὲν οὖν δικαστήριον παρασκευάσαντες* [XXX 17
*καὶ εἰσελθόντες οἱ βουλόμενοι ὀλιγαρχίαν καταστήσασθαι
ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ. Θηραμένης δὲ ὕστε-* 13
*ρον ἀφικνεῖται ἐκ Λακεδαίμονος. προσιόντες δ' αὐτῷ
τῶν τε στρατηγῶν τινες καὶ τῶν ταξιάρχων, ὧν ἦν
Στρομβιχίδης καὶ Διονυσόδωρος, καὶ | ἄλλοι τινὲς τῶν
πολιτῶν εὐνοοῦντες ὑμῖν, ὥς γ' ἐδήλωσεν ὕστερον, ἠγα-
νάκτουν σφόδρα. ἦλθε γὰρ φέρων εἰρήνην τοιαύτην, ἣν
ἡμεῖς ἔργῳ μαθόντες ἔγνωμεν· πολλοὺς γὰρ τῶν πολι-
τῶν καὶ ἀγαθοὺς ἀπωλέσαμεν, καὶ αὐτοὶ ὑπὸ τῶν τριά-
κοντα ἐξηλάθημεν. ἐνῆν γὰρ ἀντὶ μὲν τοῦ ἐπὶ δέκα στά-* 14
*δια τῶν μακρῶν τειχῶν διελεῖν ὅλα τὰ μακρὰ τείχη δια-
σκάψαι, ἀντὶ δὲ τοῦ ἄλλο τι ἀγαθὸν τῇ πόλει εὑρέσθαι
τάς τε ναῦς παραδοῦναι Λακεδαιμονίοις καὶ τὸ περὶ τὸν
Πειραιᾶ τεῖχος περιελεῖν. ὁρῶντες δὲ οὗτοι οἱ ἄνδρες* 15
*ὀνόματι μὲν εἰρήνην λεγομένην, τῷ δ' ἔργῳ τὴν δημο-
κρατίαν καταλυομένην, οὐκ ἔφασαν ἐπιτρέψειν ταῦτα
γενέσθαι, οὐκ ἐλεοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ τείχη,*

1 *ἀπόρως* del. Kayser 2 *ἀσμένους* Cob 5 *ἀναπαυόμενος* Stahl 9 *ἐπὶ τῇ προφάσει* post Reiskium Baiter 11 *στρατηγῶν* Markl: *στρατιωτῶν* X 13 *εὔνοι ὄντες* Cob *γε* del. Dobr *ἐδήλωσεν* Frb: *ἐδήλωσαν* X 14 *οἵαν ἡμεῖς* Cob 15 *ἐγνώκαμεν* Kappeyne 17 *ἐνῆν* Halb: *ἦν* X 18 *κατασκάψαι* Bekker, sed cf. Plut. Pyrrh. 33 20 *τοῖς* ante *Λακ.* habet X, del. Pertz, *τοῖς Λακ.* del. Fuhr, *τοῖς πολεμίοις* Wdn 22 *εἰρήνην γενομένην* Hirschig, *εἰρ. γιγνομένην* post Rauchensteinium Wdn, *εἰρ. μὲν λεγομένην* (deleta voce *ὀνόματι*) Gebauer 23 *ἐπιτρέψειν* Steph: *ἐπιτρέψαι* X

εἰ πεσεῖται, οὐδὲ κηδόμενοι τῶν νεῶν, εἰ Λακεδαιμονίοις παραδοθήσονται (οὐδὲν γὰρ αὐτοῖς τούτων πλέον ἢ ὑμῶν
16 ἑκάστῳ προσῆκεν), ἀλλ' αἰσθόμενοι ἐκ τοῦ τρόπου τούτου τὸ ὑμέτερον πλῆθος καταλυθησόμενον, οὐδ', ὥς φασί τινες, οὐκ ἐπιθυμοῦντες εἰρήνην γίγνεσθαι, ἀλλὰ βουλόμενοι βελτίω ταύτης εἰρήνην τῷ δήμῳ τῷ Ἀθηναίων ποιήσασθαι. ἐνόμιζον δὲ δυνήσεσθαι, καὶ ἔπραξαν ἂν
17 ταῦτα, εἰ μὴ ὑπ' Ἀγοράτου τουτουὶ ἀπώλοντο. γνοὺς δὲ ταῦτα Θηραμένης καὶ οἱ ἄλλοι οἱ ἐπιβουλεύοντες ὑμῖν, ὅτι εἰσί τινες οἳ κωλύσουσι τὸν δῆμον καταλυθῆναι καὶ ἐναντιώσονται περὶ τῆς ἐλευθερίας, εἵλοντο, πρὶν τὴν ἐκκλησίαν τὴν περὶ τῆς εἰρήνης γενέσθαι, τούτους πρῶτον εἰς διαβολὰς καὶ κινδύνους καταστῆσαι, ἵνα μηδεὶς ἐκεῖ ὑπὲρ τοῦ ὑμετέρου πλήθους ἀντιλέγοι. ἐπιβουλὴν
18 οὖν τοιαύτην ἐπιβουλεύουσι. πείθουσι γὰρ Ἀγόρατον τουτονὶ μηνυτὴν κατὰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων γενέσθαι, οὐ συνειδότα ἐκείνοις, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδέν (οὐ γὰρ δήπου ἐκεῖνοι οὕτως ἀνόητοι ἦσαν καὶ ἄφιλοι, ὥστε περὶ τηλικούτων ἂν πραγμάτων πράττοντες Ἀγόρατον ὡς πιστὸν καὶ εὔνουν, δοῦλον καὶ ἐκ δούλων ὄντα, παρεκάλεσαν), ἀλλ' ἐδόκει αὐτοῖς οὗτος
19 ἐπιτήδειος εἶναι μηνυτής. ἐβούλοντο οὖν ἄκοντα δοκεῖν αὐτὸν καὶ μὴ ἑκόντα μηνύειν, ὅπως πιστοτέρα ἡ μήνυ-

---

1 νηῶν X 2 πλεῖον X 6 τῷ Ἀθ. Fuhr: τῶν Ἀθ. X 7 ποιῆσαι Francken 8 ταῦτα deleverit Gebauer 9 ταῦτα] ἐκ τούτων Hamaker, del. Bremi, ἐνταῦθα West 11 ὑπὲρ τῆς ἐλ. Markl εἵλοντο] προείλοντο Dobr, sed cf. Aesch. I 107 12 τὴν περὶ τῆς πολιτείας West, del. Frb τούτους Markl: τοῦτον X πρῶτον] πρότερον West 17 ξυνειδότα X 18 οὐ γὰρ . . . 21 παρεκάλεσαν sunt apud Priscian. XVIII p. 233 Kr. 18 οὕτως ἐκεῖνοι Prisc ἦσαν ἢ ἀφ. Richards 19 ἄφιλοι] ἄθλιοι Nauck, ἁπλοῖ Vollgraff ἂν om. Prisc πράττοντες del. Rs 23 πιστοτέρα ἡ μήνυσις φαίνοιτο Francken: πιστότερα ὑμῖν ὑποφαίνοιτο X, in quibus ὑπο- del. Dobr; πιστ.

*σις φαίνοιτο. ὡς δὲ ἑκὼν ἐμήνυσε, καὶ ὑμᾶς οἶμαι ἐκ
τῶν πεπραγμένων αἰσθήσεσθαι. εἰσπέμπουσι γὰρ εἰς τὴν
βουλὴν [τὴν πρὸ τῶν τριάκοντα βουλεύουσαν] Θεόκρι-
τον τὸν τοῦ Ἐλαφοστίκτου καλούμενον· ὁ δὲ Θεόκριτος
οὗτος ἑταῖρος ἦν τῷ Ἀγοράτῳ καὶ ἐπιτήδειος. ἡ δὲ βου-* 20
*λὴ ⟨ἡ⟩ πρὸ τῶν τριάκοντα βουλεύουσα διέφθαρτο καὶ
ὀλιγαρχίας ἐπεθύμει, ὡς οἷόν τε μάλιστα. τεκμήριον δέ·
οἱ γὰρ πολλοὶ ἐξ ἐκείνης τῆς βουλῆς τὴν ὑστέραν βου-
λὴν ⟨τὴν⟩ ἐπὶ τῶν τριάκοντα ἐβούλευον. τοῦ δ' ἕνεκα
ταῦτα λέγω ὑμῖν; ἵν' εἰδῆτε, ὅτι τὰ ψηφίσματα ⟨τὰ⟩ ἐξ
ἐκείνης τῆς βουλῆς οὐκ ἐπ' εὐνοίᾳ τῇ ὑμετέρᾳ ἀλλ' ἐπὶ
καταλύσει τοῦ δήμου τοῦ ὑμετέρου ἅπαντα ἐγένετο, καὶ
ὡς τοιούτοις οὖσιν αὐτοῖς τὸν νοῦν προσέχητε. εἰσελθὼν* 21
*δὲ εἰς ταύτην τὴν βουλὴν ἐν ἀπορρήτῳ Θεόκριτος μη-
νύει ὅτι συλλέγονταί τινες ἐναντιωσόμενοι τοῖς τότε
καθισταμένοις πράγμασι. τὰ μὲν οὖν ὀνόματα οὐκ ἔφη
αὐτῶν ἐρεῖν καθ' ἕκαστον· ὅρκους τε γὰρ ὀμωμοκέναι
τοὺς αὐτοὺς ἐκείνοις, καὶ εἶναι ἑτέρους οἳ ἐροῦσι τὰ
ὀνόματα, αὐτὸς δὲ οὐκ ἄν ποτε ποιῆσαι ταῦτα. καίτοι εἰ* 22
*μὴ ἐκ παρασκευῆς ἐμηνύετο, πῶς οὐκ ἂν ἠνάγκασεν ἡ
βουλὴ εἰπεῖν τὰ ὀνόματα Θεόκριτον καὶ μὴ ἀνώνυμον*

οὕτω φαίν. Kayser, *πιστ. εἰπεῖν φαίν.* Sauppe, *πιστ. ἃ μηνύοι φαίν.* P. Müller, *πιστότερος ὑμῖν ὑποφ.* Bartelt **2** *εἰσπέμπουσι* Dobr: *ἐκπέμπουσι* X **3** *τὴν . . . βουλεύουσαν* del. Sluiter **4** *καλουμένου* Baumeister **6** *ἡ* add. C *πρὸ . . . βουλεύουσα* del. Jacobs **7** *οἷόν τε* Hamaker: *ἵστε* X, *ἔνι* prop. Gebauer **8** *οἱ* ante *ἐξ* add. Scheibe *ὑστέραν* Tayl: *ὑμετέραν* X **9** *τὴν* add. sec. Marklandum Rs, *ἐπὶ τῶν τριάκοντα* del. Dobr **10** *τὰ* add. Bekker **11** *οὐκ ἐπ'* Foertsch: *οὐκέτι* X **12** *ὑμετέρου* C: *ἡμετέρου* X *ἐγένετο* Markl: *ἐλέγετο* X **13** *τοιούτοις οὐκ οὖσι* X, (*οὐκ* om. C), *τοῦτο σκοποῦσι* Wdn ⟨*μὴ*⟩ *προσέχητε* C, ⟨*ἧσσον*⟩ *προσέχ.* Rs **19** *ταῦτα* pone *καίτοι* transponit Francken, *τοῦτο* malit Rs **20** *ἐμήνυε* malit Rs

τὴν μήνυσιν ποιήσασθαι; νυνὶ δὲ τοῦτο τὸ ψήφισμα ψηφίζεται.

ΨΗΦΙΣΜΑ.

23 *Ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, κατέρ-
χονται ἐπὶ τὸν Ἀγόρατον εἰς τὸν Πειραιᾶ οἱ αἱρεθέντες
τῶν βουλευτῶν, καὶ περιτυχόντες αὐτῷ ἐν ἀγορᾷ ἐζή-
τουν ἄγειν. παραγενόμενος δὲ Νικίας καὶ Νικομένης
καὶ ἄλλοι τινές, ὁρῶντες τὰ πράγματα οὐχ οἷα βέλτιστα
ἐν τῇ πόλει | ὄντα, ἄγειν μὲν τὸν Ἀγόρατον οὐκ ἔφασαν
προήσεσθαι, ἀφῃροῦντο δὲ καὶ ἠγγυῶντο [καὶ ὡμολό-*
24 *γουν] παρέξειν εἰς τὴν βουλήν. γραψάμενοι δὲ οἱ βου-
λευταὶ τὰ ὀνόματα τῶν ἐγγυωμένων καὶ κωλυόντων,
ἀπιόντες ᾤχοντο εἰς ἄστυ. ὁ δὲ Ἀγόρατος καὶ οἱ ἐγ-
γυηταὶ καθίζουσιν ἐπὶ τὸν βωμὸν Μουνιχίασιν· ἐπειδὴ
δὲ ἐκεῖ ἦσαν, ἐβουλεύοντο τί χρὴ ποιεῖν. ἐδόκει οὖν
τοῖς ἐγγυηταῖς καὶ τοῖς ἄλλοις ἅπασιν ἐκποδὼν ποι-*
25 *ήσασθαι τὸν Ἀγόρατον ὡς τάχιστα, καὶ παρορμίσαντες
δύο πλοῖα [Μουνιχίασιν] ἐδέοντο αὐτοῦ παντὶ τρόπῳ
ἀπελθεῖν Ἀθήνηθεν, καὶ αὐτοὶ ἔφασαν συνεκπλευσεῖσθαι,
ἕως τὰ πράγματα κατασταίη, λέγοντες ὅτι, εἰ κομισθείη
εἰς τὴν βουλήν, βασανιζόμενος ἴσως ἀναγκασθήσεται
ὀνόματα εἰπεῖν Ἀθηναίων ὧν ἂν ὑποβάλωσιν οἱ βουλό-*
26 *μενοι κακόν τι ἐν τῇ πόλει ἐργάζεσθαι. ταῦτα ἐκείνων
δεομένων καὶ παρασκευασάντων πλοῖα καὶ αὐτῶν ἑτοί-*

---

1 *νῦν* Hude *τουτὶ* Herw 2 *ψηφίζεται* Scheibe: *ψηφίσετε* X, *ψηφίσατο* C, *ἐψηφίσατο* Rs 3 lemma in margine X 5 *αἱρεθέντες* Rs: *διαιρεθέντες* X, *δέκα αἱρ.* Wdn 6 *ἐν ⟨τῇ⟩ ἀγ.* Rs 10 *προήσεσθαι* C: *προσήσεσθαι* X *καὶ ὡμολ.* del. Halb, pone *δὲ* transpon. Haeberlin 11 *παράξειν* aliquando Cob 12 *τὸ ὄνομα τῶν* X *καὶ κωλ.* del. Halb, *καὶ διακωλ.* Wdn 13 *ἀνιόντες* Bake 15 *ἐκεῖ ἦσαν* Taylor: *ἐκίνησαν* X, *ἐκάθισαν* C, *ἱκετηρίαν ἔθεσαν* Wdn 16 *ποιήσασθαι* Foertsch: *ποιῆσαι* X 18 *Μουνιχίασιν* del. Dobr 19 *συνεκπλεύσεσθαι* Cob 22 *ὑποβάλωσιν* est in X[s] 24 *⟨τὰ⟩ πλοῖα* Wdn

μων ὄντων συνεκπλεῖν, οὐκ ἠθέλησε πείθεσθαι αὐτοῖς
Ἀγόρατος οὑτοσί. καίτοι, ὦ Ἀγόρατε, εἰ μή τί σοι ἦν
παρεσκευασμένον καὶ ἐπίστευες μηδὲν κακὸν πείσεσθαι,
πῶς οὐκ ἂν ᾤχου καὶ πλοίων παρεσκευασμένων καὶ τῶν
ἐγγυητῶν ἑτοίμων ὄντων σοι συνεκπλεῖν; ἔτι γὰρ οἷόν
τέ σοι ἦν, καὶ οὔπω ἡ βουλή σου ἐκράτει. ἀλλὰ μὲν δὴ 27
οὐχ ὅμοιά γε σοὶ καὶ ἐκείνοις ὑπῆρχε. πρῶτον μὲν γὰρ
Ἀθηναῖοι ἦσαν ὥστε οὐκ ἐδέδισαν βασανισθῆναι· ἔπειτα
πατρίδα σφετέραν αὑτῶν καταλιπόντες ἕτοιμοι ἦσαν
συνεκπλεῖν μετὰ σοῦ, ἡγησάμενοι ταῦτα μᾶλλον λυσιτε-
λεῖν ἢ τῶν πολιτῶν πολλοὺς καὶ ἀγαθοὺς ὑπὸ σοῦ ἀδί-
κως ἀπολέσθαι. σοὶ δὲ πρῶτον μὲν κίνδυνος ἦν βα-
σανισθῆναι ὑπομείναντι, ἔπειτα οὐ πατρίδα ἂν σαυτοῦ
κατέλιπες· ὥστ᾽ ἐκ παντὸς τρόπου σοὶ μᾶλλον ἢ ἐκεί- 28
νοις ἐκπλεῦσαι συνέφερεν, εἰ μή τι ἦν ᾧ ἐπίστευες.
νῦν δὲ ἄκων μὲν προσποιεῖ, ἑκὼν δὲ πολλοὺς καὶ ἀγα-
θοὺς Ἀθηναίων ἀπέκτεινας. ὡς δὲ παρεσκευάσθη
ἅπαντα ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι καὶ αὐτὸ τὸ
ψήφισμά σου τὸ τῆς βουλῆς καταμαρτυρήσει.

⟨ΜΑΡΤΥΡΕΣ⟩ ΨΗΦΙΣΜΑ.

Ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη καὶ ἦλθον 29
οἱ ἐκ τῆς βουλῆς Μουνιχίαζε, ἑκὼν ἀνέστη Ἀγόρατος
ἀπὸ τοῦ βωμοῦ· καίτοι νῦν γε βίᾳ φησὶν ἀφαιρεθῆναι.

---

3 *καὶ ἐπίστευες*] *ᾧ ἐπίστ.* Hirschig cf. § 28, *ᾧ καὶ ἐπίστ.* Wdn 4 *⟨τῶν⟩ πλοίων* Wdn 6 *ἀλλὰ γὰρ δὴ* Rs, *ἀλλὰ μὴν* Bake 7 *ὅμοια γάρ σοι* Cob *μὲν γὰρ* Mehler: *μέν γε* X, *ἐκεῖνοι* (vel *οἱ*) *μέν γε πρῶτον μὲν* Gebauer 8 *ἐδεδίεσαν* X 9 *πατρίδα ⟨τὴν⟩ σφ.* vel *ἔπειτα τὴν σφ.* Francken 14 *κατέλιπες* Hirschig: *ἀπέλιπες* X, *ἐξέλιπες* Wdn 16 *προσποιῇ* X 17 *ὡς δὲ* Taylor: *ὥστε* X 18 *ἅπαντα ᾗ ἐγὼ* Rs 19 *σου τὸ* Rs: *οὕτω* X, *αὐτοῦ τὸ* post Taylorum Sauppe, *τοῦτο τὸ* post Taylorum Wdn 20 *μάρτυρες* add. Markl *ψ.* in margine habet X

30 ἐπειδὴ δὲ εἰς τὴν βουλὴν ἐκομίσθησαν, ἀπογράφει Ἀγόρατος πρῶτον μὲν τῶν αὑτοῦ ἐγγυητῶν τὰ ὀνόματα, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων, ἔπειτα δὲ καὶ ἄλλων τινῶν πολιτῶν. ἡ δὲ ἀρχὴ αὕτη τοῦ παντὸς κακοῦ ἐγένετο. ὡς δὲ ἀπέγραψε τὰ ὀνόματα, οἶμαι μὲν καὶ αὐτὸν ὁμολογήσειν· εἰ δὲ μή, ἐπ' αὐτοφώρῳ ἐγὼ αὐτὸν ἐξελέγξω. Ἀπόκριναι δή μοι.

⟨ΕΡΩΤΗΣΙΣ.⟩

31 Ἐβούλοντο τοίνυν, ὦ ἄνδρες δικασταί, ἔτι πλειόνων αὐτὸν τὰ ὀνόματα ἀπογράψαι (οὕτω σφόδρα ἔρρωτο ἡ βουλὴ κακόν τι ἐργάζεσθαι), ⟨καὶ⟩ αὐτὸς οὐκ ἐδόκει αὐτῷ ἅπαντα τἀληθῆ πω κατηγορηκέναι. τούτους μὲν οὖν ἅπαντας ἑκὼν ἀπογράφει, οὐδεμιᾶς αὐτῷ ἀνάγκης οὔσης. [μετὰ τοῦτο προσαπογράφει ἑτέρους τῶν πολι-
32 τῶν.] ἐπειδὴ δὲ ἡ ἐκκλησία Μουνιχίασιν ἐν τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφόδρα τινὲς ἐπεμελοῦντο ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων μήνυσις γένοιτο (περὶ δὲ τῶν ἄλλων ἀπέχρη ἐν τῇ βουλῇ [μήνυσις] μόνη γεγενημένη), ὥστε καὶ ἐκεῖ παράγουσιν ⟨αὐτὸν⟩ εἰς τὸν δῆμον. Καί μοι ἀπόκριναι, ὦ Ἀγόρατε·

---

1 ἐκομίσθη Markl   Ἀγόρατος del. Herw, ἐκομίσθη, αὐτὸς ἀπογρ. Wdn   4 ἡ μὲν ἀρχὴ Gebauer, ἦν δ' ἀρχὴ et κακοῦ ⟨ὅ⟩ Wdn   8 titulum add. C   10 αὐτὸν Tayl: αὐτοὶ X   11 καὶ add. Sauppe, αὐτὸς vulg: ἐργάζεσθαι αὐτόν. οὐκ X, ἐργ. αὐτὸν ⟨ὥστ'⟩ οὐκ C, ἐργ. ὥστ' οὐκ P. Müller, ἐργ. ὥστε καὶ οὑτοσὶ οὐκ Kayser, ἐργ. καὶ οὐκ idem, ἐργ. καὶ οὗτος οὐκ Rauch, ἐργ. οὗτος (vel Ἀγόρατος) γὰρ οὐκ Frb, οὐκ οὖν ἐδ. Wdn, αὐτὸν . . . κατηγορηκέναι del. Herw, οὕτω σφόδρα . . . ἐργάζεσθαι deleverit Gebauer   12 αὐτῷ scripsi: αὐτοῖς X   14 μετὰ . . . πολιτῶν del. Dobr cf. § 56   19 μήνυσις del. Bremi   μόνη Frb (μόνη Rs, μόνον Rauch): μὲν ἡ X, del. Bremi, qui legit ⟨ἡ⟩ ἐν τῇ βουλῇ γεγενημένη, ἡ γεγενημένη Dobr, περὶ . . . γεγενημένη del. Poppelreuter   ἐκεῖ] ἐκεῖσε Kayser   20 αὐτὸν add. Gebauer, τοῦτον Herw, Ἀγόρατον παράγουσιν Wdn   εἰς τὸν δῆμον del. Reuss

ἀλλ' οἶμαί σε ἔξαρνον γενήσεσθαι ἃ ἐναντίον Ἀθηναίων ἁπάντων ἐποίησας.

⟨ΕΡΩΤΗΣΙΣ.⟩

Ὁμολογεῖ μὲν καὶ αὐτός, ὅμως δὲ καὶ τὸ ψήφισμα 33
ὑμῖν τοῦ δήμου ἀναγνώσεται.

ΨΗΦΙΣΜΑ.

Ὅτι μὲν ἀπέγραψεν Ἀγόρατος οὑτοσὶ τῶν ἀνδρῶν
ἐκείνων τὰ ὀνόματα, καὶ τὰ ἐν τῇ βουλῇ καὶ τὰ ἐν τῷ
δήμῳ, καὶ ἔστι φονεὺς ἐκείνων, σχεδόν τι οἶμαι ὑμᾶς
ἐπίστασθαι· ὡς τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ
πόλει ἐγένετο καὶ οὐδ' ὑφ' ἑνὸς αὐτὸν προσήκει ἐλε-
εῖσθαι, ἐγὼ οἶμαι ὑμῖν ἐν κεφαλαίοις ἀποδείξειν. ἐπειδὴ 34
γὰρ ἐκεῖνοι συλληφθέντες ἐδέθησαν, | τότε καὶ ὁ Λύ-
σανδρος εἰς τοὺς λιμένας τοὺς ὑμετέρους εἰσέπλευσε,
καὶ αἱ νῆες αἱ ὑμέτεραι Λακεδαιμονίοις παρεδόθησαν,
καὶ τὰ τείχη κατεσκάφη, καὶ οἱ τριάκοντα κατέστησαν,
καὶ τί οὐ τῶν δεινῶν τῇ πόλει ἐγένετο; ἐπειδὴ τοίνυν 35
οἱ τριάκοντα κατεστάθησαν εὐθέως κρίσιν τοῖς ἀνδράσι τούτοις ἐποίουν ἐν τῇ βουλῇ, ὁ δὲ δῆμος „ἐν τῷ δικαστηρίῳ ἐν δισχιλίοις“ ἐψήφιστο. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

---

1 *ἀλλ* ⟨*οὐκ*⟩ Scheibe, *ἀλλ* ⟨*οὐκ ἂν*⟩ Jacobs, *οὐ γὰρ ἂν οἶμαι* Rs *γενήσεσθαι* (vel ⟨*ἂν*⟩ *γενέσθαι*) Markl: *γενέσθαι* X 3 titulum add. C 4 *μὲν* ⟨*οὖν* vel *δὴ*⟩ Rs *τὸ ψήφισμα* Markl: *τὰ ψηφίσματα* X 5 ⟨*τὰ*⟩ *τοῦ δ.* Rs 6 *ψηφίσματα* in titulo Rs 8 *τὰ* utrumque quod est ante *ἐν* del. Rs An. II 58, *τὰ* ⟨*μὲν*⟩ *ἐν τῇ β., τὰ δὲ ἐν* Boblenz 12 *ἐπιδείξειν* Wdn 16 *κατεσκάφη καὶ* Rs: *κατεσκάφησαν* X *οἱ τριάκοντα κατέστησαν* del. Dobr, sed cf. And. I 80 17 *τί οὐ τῶν δεινῶν* Sauppe: *τοιοῦτον δεινὸν* X 18 *κατέστησαν* Scheibe 19 *ἐν τῷ δικαστηρίῳ* del. West 20 *ἐψήφιστο* Naber: *ἐψηφίσατο* X

ΨΗΦΙΣΜΑ.

36 *Εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσῴζοντο· ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε οὗ ἦν κακοῦ ἡ πόλις, ἐν ᾧ οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε· νῦν δ' εἰς τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν τριάκοντα εἰσάγουσιν. ἡ δὲ κρίσις τοιαύτη ἐγίγνετο, οἵαν καὶ ὑμεῖς αὐτοὶ*
37 *ἐπίστασθε. οἱ μὲν γὰρ τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις καθέζονται· δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην· τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι, τὴν μὲν καθαιροῦσαν ἐπὶ τὴν ὑστέραν, ὥστε ἐκ τίνος τρόπου ἔμελλέ τις αὐτῶν*
38 *σωθήσεσθαι; ἑνὶ δὲ λόγῳ, ὅσοι εἰς τὸ βουλευτήριον [ἐπὶ τῶν τριάκοντα] εἰσῆλθον κριθησόμενοι, ἁπάντων θάνατος κατεγιγνώσκετο καὶ οὐδενὸς ἀπεψηφίσαντο, πλὴν Ἀγοράτου τουτουί· τοῦτον δὲ ἀφεῖσαν ὡς εὐεργέτην ὄντα· ἵνα δὲ εἰδῆτε ὡς πολλοὶ ὑπὸ τούτου τεθνᾶσι, βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι.*

⟨ΟΝΟΜΑΤΑ.⟩

39 *Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες δικασταί, θάνατος αὐτῶν κατεγνώσθη καὶ ἔδει αὐτοὺς ἀποθνῄσκειν, μεταπέμ-*

---

1 titulus in margine X 4 *ἔτι* ⟨*αὐτοὶ*⟩ Zaka, *ἔτι* ⟨*ἄλλο ποιοῦντες*⟩ *ὠφελεῖσθαι ἐδ.* Wdn, sed cf. § 93, *οὐδὲν* ⟨*ἂν ἐνελίπετε*⟩ *ὅτι ὠφ.* Fuhr, *νῦν δ' ἐφ' ᾧ οὐδὲν ἔτι ὠφελεῖν δύναισθε εἰς* Francken, *ἐν ᾧ . . . ἐδύνασθε* pone *εἰσάγουσιν* transpon. post Taylorum Gebauer 5 *τὴν ἐπὶ τῶν τριάκοντα* del. Dobr 8 *τραπέζα* Cob 10 *καδδίσκους* X 11 *τὴν μὲν* ⟨*ἐπὶ τὴν πρώτην, τὴν δὲ*⟩ *καθαιροῦσαν* C, in quibus *ἀπολύουσαν* pone *μὲν* interponit Jebb, *σῴζουσαν* P. Müller; *τὴν δὲ σῴζουσαν ἐπὶ τὴν προτέραν* pone *ὑστέραν* inserit Aldus, *προτέραν, τὴν δὲ σῴζουσαν ἐπὶ τὴν* pone *ἐπὶ τὴν* add. West, ⟨*ἐπὶ*⟩ *τὴν μὲν καθαιροῦσαν,* ⟨*σῴζουσαν δ'*⟩ *ἐπὶ τὴν ὑστέραν* Wdn; *τὴν μὲν . . . ὑστέραν* del. Kayser 13 *ἐπὶ τῶν τριάκοντα* del. Sauppe 19 titulum add. C

πονται εἰς τὸ δεσμωτήριον ὁ μὲν ἀδελφήν, ὁ δὲ μητέρα, ὁ δὲ γυναῖκα, ὁ δ' ἥ τις ἦν ἑκάστῳ αὐτῶν προσήκουσα, ἵνα τὰ ὕστατα ἀσπασάμενοι τοὺς αὐτῶν οὕτω τὸν βίον τελευτήσειαν. καὶ δὴ καὶ Διονυσόδωρος μεταπέμπεται 40
τὴν ἀδελφὴν τὴν ἐμὴν εἰς τὸ δεσμωτήριον, γυναῖκα ἑαυτοῦ οὖσαν. πυθομένη δ' ἐκείνη ἀφικνεῖται, μέλαν τε ἱμάτιον ἠμφιεσμένη . . ., ὡς εἰκὸς ἦν ἐπὶ τῷ ἀνδρὶ αὐτῆς τοιαύτῃ συμφορᾷ κεχρημένῳ. ἐναντίον δὲ τῆς 41
ἀδελφῆς τῆς ἐμῆς Διονυσόδωρος τά τε οἰκεῖα τὰ αὐτοῦ διέθετο ὅπως αὐτῷ ἐδόκει, καὶ περὶ Ἀγοράτου τουτουὶ ἔλεγεν ὅτι ⟨οἱ⟩ αἴτιος ἦν τοῦ θανάτου, καὶ ἐπέσκηπτεν ἐμοὶ καὶ Διονυσίῳ τουτῳί, τῷ ἀδελφῷ τῷ αὐτοῦ, καὶ τοῖς φίλοις πᾶσι τιμωρεῖν ὑπὲρ αὐτοῦ Ἀγόρατον· καὶ 42
τῇ γυναικὶ τῇ αὐτοῦ ἐπέσκηπτε, νομίζων αὐτὴν κυεῖν ἐξ αὐτοῦ, ἐὰν γένηται αὐτῇ παιδίον, φράζειν τῷ γενομένῳ ὅτι τὸν πατέρα αὐτοῦ Ἀγόρατος ἀπέκτεινε, καὶ κελεύειν τιμωρεῖν ὑπὲρ αὐτοῦ ὡς φονέα ὄντα. ὡς οὖν ἀληθῆ λέγω, μάρτυρας τούτων παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

Οὗτοι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπ' Ἀγοράτου 43
ἀπογραφέντες ἀπέθανον· ἐπειδὴ δὲ τούτους ἐκποδὼν 21
ἐποιήσαντο οἱ τριάκοντα, σχεδὸν οἶμαι ὑμᾶς ἐπίστασθαι

---

1 *ἀδελφὴν* C: *ἀδελφὸν* X 2 *ὁ δ'* ante *ἥτις* olim del. Herw 5 *εἰς τὸ δεσμωτήριον* del. Halb 7 *τε* del. Rs, *τὸ* Markl, an *τι*? Hude lacunam ind. Rs, qui supplet *καὶ δακρύουσα* vel *δεδακρυμένη*, *καὶ ἀποκειραμένη* Kayser, *καὶ κεκαρμένη* P. Müller, *καὶ κλάουσα* Fuhr, *καὶ* Boblenz *ἀνδρὶ ⟨τῷ⟩ αὐτῆς* pp. Herw, *αὐτῆς* del. Es 9 *τὰ αὐτοῦ* del. Herw 10 *τουτουί* Cob: *τούτου* X 11 *οἱ* add. West, *αἴτιος ⟨αὐτῷ⟩* Cob 12 *τουτῳί* Cob: *τούτῳ* X 14 *κύειν* X 15 *ἐὰν ⟨ἄρρεν⟩* Halb cf. Ar. Eccl. 549 *γίγνηται* Wdn, qui in X esse „*γένηται* aut *γίνηται*" dicebat *τῷ*] *τούτῳ ἀνδρὶ* Anon. Mnem. III 336, *αὐτῷ ἀνδρὶ* Hamaker, *ἀνδρὶ αὐτῷ* P. Müller 20 *ὑπ'* corr. ex *ὑπὲρ* a pr. m. X[s] 21 *ἐπειδὴ* Fuhr: *ἐπεὶ* X 22 *σχεδόν ⟨τι⟩* pp. Herw

ὡς πολλὰ καὶ δεινὰ μετὰ ταῦτα τῇ πόλει ἐγένετο· ὧν οὗτος ἁπάντων αἴτιός ἐστιν ἀποκτείνας ἐκείνους. ἀνιῶμαι μὲν οὖν ὑπομιμνήσκων τὰς γεγενημένας συμφορὰς
44 τῇ πόλει, ἀνάγκη δ' ἐστίν, ὦ ἄνδρες δικασταί, ἐν τῷ παρόντι καιρῷ, ἵν' εἰδῆτε ὡς σφόδρα ὑμῖν ἐλεεῖν προσήκει Ἀγόρατον. ἴστε μὲν γὰρ τοὺς ἐκ Σαλαμῖνος τῶν πολιτῶν κομισθέντας, οἷοι ἦσαν καὶ ὅσοι, καὶ οἵῳ ὀλέθρῳ ὑπὸ τῶν τριάκοντα ἀπώλοντο· ἴστε δὲ τοὺς ἐξ Ἐλευσῖνος, ὡς πολλοὶ ταὐτῇ συμφορᾷ ἐχρήσαντο· μέμνησθε δὲ καὶ τοὺς ἐνθάδε διὰ τὰς ἰδίας ἔχθρας ἀπα-
45 γομένους εἰς τὸ δεσμωτήριον· οἳ οὐδὲν κακὸν τὴν πόλιν ποιήσαντες ἠναγκάζοντο αἰσχίστῳ καὶ ἀκλεεστάτῳ ὀλέθρῳ ἀπόλλυσθαι, οἱ μὲν γονέας [σφετέρους αὐτῶν] πρεσβύτας καταλείποντες, οἳ ἤλπιζον ὑπὸ τῶν σφετέρων αὐτῶν παίδων γηροτροφηθέντες, ἐπειδὴ τελευτήσειαν τὸν βίον, ταφήσεσθαι, | οἱ δὲ ἀδελφὰς ἀνεκδότους, οἱ
46 δὲ παῖδας μικροὺς πολλῆς ἔτι θεραπείας δεομένους· οὕς, ὦ ἄνδρες δικασταί, ποίαν τινὰ οἴεσθε γνώμην περὶ τούτου ἔχειν, ἢ ποίαν τινὰ ἂν ψῆφον θέσθαι, εἰ ἐπ' ἐκείνοις γένοιτο, ἀποστερηθέντας διὰ τοῦτον τῶν ἡδίστων; ἔτι δὲ τὰ τείχη ὡς κατεσκάφη καὶ αἱ νῆες τοῖς πολεμίοις παρεδόθησαν καὶ ⟨τὰ⟩ νεώρια καθῃρέθη καὶ Λακεδαιμόνιοι τὴν ἀκρόπολιν ἡμῶν εἶχον καὶ ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, ὥστε μηδὲν διαφέρειν τῆς

---

5 supra ἐλεεῖν recentiore manu μὴ additum in X, οὐκ add. Rs 9 ταὐτῇ post West Frb: ταύτῃ τῇ X 13 σφετέρους αὐτῶν del. Dobr 14 καταλείποντες Hamaker: καταλιπόντες X οἳ ἤλπιζον . . . 16 ταφήσεσθαι del. Hamaker 15 παίδων del. Wdn τελευτήσαιεν X 20 γένοιτο Tayl: γένοιντο X 21 ἴστε δὲ τὰ Scheibe, ὡς del. Rauch, ἔτι δὲ ⟨ἴστε⟩ τὰ . . . καὶ ⟨ὡς⟩ αἱ νῆες Gebauer, τείχη ὡμῶς κατ. Wdn, τείχη ὅλα κατ. coll. § 14 Herw 22 τὰ add. Rs 23 ὑμῶν cum Reiskio editores plerique ἔσχον Richards

ἐλαχίστης [πόλεως τὴν πόλιν]. πρὸς δὲ τούτοις τὰς 47
ἰδίας ⟨οὐσίας⟩ ἀπωλέσατε, καὶ τὸ τελευταῖον συλλήβδην
ἅπαντες ὑπὸ τῶν τριάκοντα ἐκ τῆς πατρίδος ἐξηλάθητε.
ταῦτα ἐκεῖνοι οἱ ἀγαθοὶ ἄνδρες αἰσθόμενοι οὐκ ἔφασαν
ἐπιτρέψειν τὴν εἰρήνην, ὦ ἄνδρες δικασταί, ποιήσασθαι·
οὓς σύ, Ἀγόρατε, βουλομένους ἀγαθόν τι πρᾶξαι τῇ 48
πόλει ἀπέκτεινας, μηνύσας αὐτοὺς [τῇ πόλει] ἐπιβου-
λεύειν τῷ πλήθει τῷ ὑμετέρῳ, καὶ αἴτιος εἶ ἁπάντων
τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. νῦν οὖν μνη-
σθέντες καὶ τῶν ἰδίων ἕκαστος δυστυχημάτων καὶ τῶν
κοινῶν τῆς πόλεως τιμωρεῖσθε τὸν αἴτιον τούτων.

Θαυμάζω δ᾽ ἔγωγε, ὦ ἄνδρες δικασταί, ὅ τί ποτε 49
τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι· δεῖ γὰρ αὐτὸν ἀπο-
δεῖξαι ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων οὐδ᾽ αἴτιος
αὐτοῖς ἐστι τοῦ θανάτου. ⟨ἀλλ᾽ οὐ⟩κ ἂν δύναιτο οὐ-
δέποτε [ἀποδεῖξαι]. πρῶτον μὲν γὰρ τὰ ψηφίσματα αὐ- 50
τοῦ τὰ ἐκ τῆς βουλῆς καὶ ⟨τὸ⟩ τοῦ δήμου καταμαρτυρεῖ,
διαρρήδην ἀγορεύοντα „περὶ ὧν Ἀγόρατος κατείρηκεν."
ἔπειτα ἡ κρίσις, ἣν ἐκρίθη ἐπὶ τῶν τριάκοντα καὶ ἀφείθη,
διαρρήδην λέγει, „διότι" φησίν „ἔδοξε τἀληθῆ εἰσαγ-
γεῖλαι." Καί μοι ἀνάγνωθι.

---

1 πόλεως τὴν πόλιν del. Bake, τὴν πόλιν del. Markl, πόλεως τὴν μεγίστην Gebauer, πόλεως τὴν πρότερον μεγίστην Wdn, p. 146, 21 ἔτι δὲ . . . 147, 1 τὴν πόλιν del. Hamaker τούτοις ⟨καὶ⟩ τὰς malit Rs 2 οὐσίας add. Ald, τὰ ἴδια Foertsch, τὰς οἰκίας Wdn 4 ταῦτα . . . 9 γεγενημένων del. Hamaker 5 ἐπιτρέψειν (vel οὐκ ⟨ἂν⟩ ἔφ.) Dobr: ἐπιτρέψαι X 6 βουλομένους Tayl: βουλόμενος X, βουλόμενός γε Ziel πρᾶξαι τὴν πόλιν Markl 7 τῇ πόλει del. Jacobs, τῇ βουλῇ Rs, αὐτοὺς . . . ὑμετέρῳ del. Dobr 9 τῷ πλήθ. τῷ ὑμ. del. Vanderheid 15 ἀλλ᾽ οὐκ ἂν cf. IV 5, XII 51 Cont, qui deinde pro οὐδέποτε legit οὐδὲ: κἂν X, ὃ οὐκ ἂν lib. Vindob, ὅπερ οὐκ ἂν C, τὸ δ᾽ οὐκ ἂν Gebauer, τοῦτο δ᾽ οὐκ ἂν Fuhr, ἀλλὰ ταῦτ᾽ οὐκ ἂν Wdn 16 ἀποδεῖξαι del. Scheibe 17 ἐκ del. Bake τὸ add. Cob ad Hyper. Epit. p. 56

ΨΗΦΙΣΜΑΤΑ. ΓΝΩΣΙΣ. [ΓΡΑΦΑΙ.]

51 *Ὡς μὲν οὖν οὐκ ἀπέγραψεν, οὐδενὶ τρόπῳ δύναιτ' ἂν ἀποδεῖξαι· δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα ἀποφαίνειν, ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ ὑμετέρῳ πράττοντας. οἴομαι ⟨δ'⟩ οὐδ' ἂν τοῦτο αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι. οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν δῆμον τὸν Ἀθηναίων ἠργάσαντο, οἱ τριάκοντα, δεδιότες μὴ καταλυθείη ἂν ὁ δῆμος, τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν, ἀλλ' οἶμαι πολὺ τοὐναντίον τούτου.*

52 *Ἀλλ' ἴσως φήσει ἄκων τοσαῦτα κακὰ ἐργάσασθαι. ἐγὼ δ' οὐκ οἶμαι, ὦ ἄνδρες δικασταί, οὐδ' ἐάν τις ὑμᾶς ὡς μάλιστα ἄκων μεγάλα κακὰ ἐργάσηται, ὧν μὴ οἷόν τε γενέσθαι ἐστὶν ὑπερβολήν, οὐ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι. εἶτα δὲ καὶ ἐκείνων μέμνησθε, ὅτι ἐξῆν Ἀγοράτῳ τουτῳί, πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτ' ἐπὶ τοῦ βωμοῦ ἐκάθητο Μουνιχίασι, σωθῆναι· καὶ γὰρ πλοῖα παρεσκεύαστο καὶ ⟨οἱ⟩ ἐγγυηταὶ ἕτοιμοι ἦσαν*
53 *συναπιέναι. καίτοι εἰ ἐκείνοις ἐπείθου καὶ ἠθέλησας ἐκπλεῦσαι μετ' ἐκείνων, οὔτ' ἂν ἑκὼν οὔτε ἄκων τοσούτους Ἀθηναίων ἀπέκτεινας· νῦν δὲ πεισθεὶς ὑφ' ὧν*

---

1 titulos in margine habet X *ΨΗΦΙΣΜΑΤΑ* del. Wecklein *ΚΡΙΣΙΣ* West *ΓΡΑΦΑΙ* del. West 3 *ταῦτα* del. Scheibe, *πάντας* Rs, *τοῦτο* Rauch 5 *δ'* add. C, ⟨*ἀλλ'*⟩ *οἴομαι οὐδ'* Wdn 6 *τοῦτο* Steph: *τοῦτον* X, *τοῦτό γ'* Rs, *τοιοῦτον* Wdn 7 *τὸν* Fuhr: *τῶν* X 8 *καταλυθείη ἂν* Markl: *καταλυθείησαν* X, *καταλυθείη* Bekker *δεδιότες . . . δῆμος* del. Dobr 9 *ἀπέκτειναν ἂν αὐτούς* malit Gebauer 10 *τούτου*] *τοῦτον* Bekker 13 *μεγάλα* del. Dobr, *τοιαῦτα* vel *τοσαῦτα* vel *τηλικαῦτα* malit Gebauer, *ἐργάσηται* ⟨*καὶ*⟩ *ὧν* Cob 14 *ὑπερβολὴν* C: *ὑπερβολή* X *οὐ* ante *τούτου* del. Dobr 15 *ἐκείνου* pp. Herw, *ἐκεῖνο* West *μέμνησθε* Tayl: *μεμνῆσθαι* X, *εἶτα δεῖ καὶ ἐκ. μεμνῆσθαι* Cont 16 *ἐξῆν* a pr. m. ex *ἐξὸν* X *τουτῳί* Cob: *τούτω* X 18 ⟨*τὰ*⟩ *πλοῖα* Wdn *οἱ* add. Markl 19 *ἐπίθου* Cob 21 *Ἀθηναίων*

τότε ἐπείσθης, εἰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων τὰ
ὀνόματα μόνον εἴποις, μέγα τι ᾤου παρ' αὐτῶν δια-
πράξεσθαι. οὔκουν τούτου ἕνεκα δεῖ σε παρ' ἡμῶν συγ-
γνώμης τινὸς τυχεῖν, ἐπεὶ οὐδὲ ἐκεῖνοι παρὰ σοῦ οὐδε-
μιᾶς ἔτυχον, οὓς σὺ ἀπέκτεινας. καὶ Ἱππίας μὲν ὁ Θά- 54
σιος καὶ Ξενοφῶν ὁ Κουριεύς, οἳ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ
τούτῳ ὑπὸ τῆς βουλῆς μετεπέμφθησαν, οὗτοι μὲν ἀπέ-
θανον, ὁ μὲν στρεβλωθείς, Ξενοφῶν, ὁ δὲ Ἱππίας οὕτω,
διότι οὐκ ἄξιοι ἐδόκουν τοῖς τριάκοντα σωτηρίας εἶναι
(οὐδένα γὰρ Ἀθηναίων ἀπώλλυσαν)· Ἀγόρατος δὲ
ἀφείθη, διότι ἐδόκει ἐκείνοις τὰ ἥδιστα πεποιηκέναι.

Ἀκούω δ' αὐτὸν καὶ εἰς Μενέστρατον ἀναφέρειν τι 55
περὶ τῶν ἀπογραφῶν τούτων. τὸ δὲ τοῦ Μενεστράτου
πρᾶγμα τοιοῦτον ἐγένετο. ὁ Μενέστρατος οὗτος ἀπε-
γράφη ὑπὸ τοῦ Ἀγοράτου καὶ συλληφθεὶς ἐδέδετο· |
Ἁγνόδωρος δ' ἦν Ἀμφιτροπαιεύς, δημότης τοῦ Μενεστρά-
του, Κριτίου κηδεστὴς τοῦ τῶν τριάκοντα. οὗτος οὖν,
ὅτε ἡ ἐκκλησία Μουνιχίασιν ἐν τῷ θεάτρῳ ἐγίγνετο,
ἅμα μὲν βουλόμενος τὸν Μενέστρατον σωθῆναι, ἅμα δὲ
ὡς πλείστους ἀπογραφέντας ἀπολέσθαι, παράγει αὐτὸν
εἰς τὸν δῆμον, καὶ εὑρίσκονται αὐτῷ κατὰ τὸ ψήφισμα
τουτὶ ἄδειαν.

---

lib. Vindob: ἀθηναίως X, Ἀθηναίους C 2 διαπράξεσθαι Markl: διαπράξασθαι X, εἰ . . . εἰπὼν μέγα . . . διαπράξασθαι, οὔκουν Bake 4 τινὸς Dobraeo suspectum, malit οὐδ' ἡστινοσοῦν 5 ἔτυχον ⟨ῥαστώνης⟩ Kayser 6 κουριεύς X^h, antea ferebatur esse καριεύς, inde Καριδεὺς (vel Καρυεὺς vel Καμιρεὺς) Bergk, Ἰκαριεὺς Palmer 8 Ξενοφῶν del. Cob pone οὕτω lacunam ind. Scheibe, quae non est in X, οὕτως ⟨ὡς ἴστε⟩ Rauch, ⟨ἀποτυμπανισθεὶς⟩ οὕτω Wdn, ὁ μὲν . . . οὕτω cum Kaysero delevit Gebauer 12 τι del. Francken 13 ἀπογραφῶν Auger: γραφῶν X 14 ὁ Μεν. del. Herw 17 τῶν in paginae initio repetivit X οὗτος Dobr: οὑτοσί X 18 ἐν μουνυχιάσιν X 21 εὑρίσκονται Rs: εὑρίσκων τε X

<ΨΗΦΙΣΜΑ.>

56 *Ἐπειδὴ δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο, μηνύει ὁ Με-
νέστρατος καὶ προσαπογράφει ἑτέρους τῶν πολιτῶν.
τοῦτον μέντοι οἱ μὲν τριάκοντα ἀφεῖσαν ὥσπερ Ἀγό-
ρατον τουτονί, δόξαντα τἀληθῆ εἰσαγγεῖλαι, ὑμεῖς δὲ
πολλῷ χρόνῳ ὕστερον λαβόντες ἐν δικαστηρίῳ ὡς ἀν-
δροφόνον ὄντα, θάνατον δικαίως καταψηφισάμενοι τῷ*
57 *δημίῳ παρέδοτε καὶ ἀπετυμπανίσθη. καίτοι εἰ ἐκεῖνος
ἀπέθανεν, ἦ που Ἀγόρατός γε δικαίως ἀποθανεῖται, ὅς
γε τόν τε Μενέστρατον ἀπογράψας αἴτιος ἐκείνῳ ἐστὶ
τοῦ θανάτου, καὶ τοῖς ὑπὸ Μενεστράτου ἀπογραφεῖσι
τίς αἰτιώτερος ἢ ὁ εἰς τοιαύτην ἀνάγκην ἐκεῖνον κατα-
στήσας;*
58 *Ἀνόμοιος δέ μοι δοκεῖ Ἀριστοφάνει γενέσθαι τῷ Χολ-
λήδῃ, ὃς ἐγγυητὴς τότε τούτου ἐγένετο καὶ τὰ πλοῖα
παρασκευάσας Μουνιχίασιν ἕτοιμος ἦν συνεκπλεῖν μετὰ
τούτου. καὶ τό γε ἐπ' ἐκεῖνον εἶναι ἐσώθης, καὶ οὔτ'
ἂν Ἀθηναίων οὐδένα ἀπώλεσας οὔτ' ἂν αὐτὸς σὺ εἰς*
59 *τοιούτους κινδύνους κατέστης· νῦν δὲ καὶ τὸν σωτῆρα
τὸν σαυτοῦ ἐτόλμησας ἀπογράψαι, καὶ ἀπογράψας <ἀπε-
κτεινας> καὶ ἐκεῖνον καὶ τοὺς ἄλλους ἐγγυητάς. τοῦτον
μέντοι ὡς οὐ καθαρῶς Ἀθηναῖον ὄντα ἐβούλοντό τινες*

---

1 titulus abest a X 4 *τοῦτον μὲν τοίνυν* Dobr 5 *τἀληθῆ* Auger: *ἀληθῆ* X 7 *δικαίως* ante *ἐκεῖνος* (v. 8) transpon. Scheibe 8 *δημίῳ* Schott: *δήμω* X, *δημοσίῳ* Heinrich *ἐκεῖνος* <*δικαίως*> Rs 9 *γε δικαίως*] *γε πολὺ δικαιότερον* Rs, <*σφόδρα*> *γε δικ.* Kayser, *δὶς δικ.* Dryander *ὅς γε* Toup: *ὥστε* X 10 *τε* pone *ἐκείνῳ* transpon. Rs 11 *ἀπογραφεῖσι. τίς γὰρ* <*ἂν ἄλλος εἴη*> Rs 14 *χολλίδη* X 17 *ἐπ' ἐκείνῳ* Scaliger, sed Prisc. inst. XVIII 263 Kr. accusativum tuetur: *καὶ τό γε ἐπ' ἐκεῖνον* (om. *εἶναι*) *ἐσώθης* 20 *ἀπέκτεινας* add. Jacobs, *ἐπέτριψας* (loco vocis *ἀπογράψας*) Rs, *ἐτολμ. ἀπολέσαι, καὶ ἀπέγραψας* Dobr, *καὶ ἀπογρ. . . . ἐγγ.* del. Frb, *καὶ ἐκ. . . . ἐγγ.* del. Gebauer 21 *τοῦτο μέντοι* X 22 *καθαρῶς* Tayl: *καλῶς* X

βασανισθῆναι, καὶ τουτὶ τὸ ψήφισμα τὸν δῆμον ἀναπείθουσι ψηφίζεσθαι.

⟨ΨΗΦΙΣΜΑ.⟩

Μετὰ τοῦτο τοίνυν προσιόντες τῷ Ἀριστοφάνει οἱ 60
πράττοντες τότε τὰ πράγματα ἐδέοντο αὐτοῦ κατειπεῖν καὶ σῴζεσθαι, καὶ μὴ κινδυνεύειν ἀγωνισάμενον τῆς ξενίας τὰ ἔσχατα παθεῖν. ὁ δὲ οὐκ ἔφη οὐδέποτε· οὕτω χρηστὸς ἦν καὶ περὶ τοὺς δεδεμένους καὶ περὶ τὸν δῆμον τὸν Ἀθηναίων, ὥστε εἵλετο μᾶλλον ἀποθανεῖν ἢ κατειπεῖν καὶ ἀδίκως τινὰς ἀπολέσαι. ἐκεῖνος μὲν τοίνυν 61
καὶ ὑπὸ σοῦ ἀπολλύμενος τοιουτοσὶ ἐγένετο [καὶ Ξενοφῶν ὁ στρεβλωθεὶς καὶ Ἱππίας ὁ Θάσιος]· σὺ δ' οὐδὲν τοῖς ἀνδράσιν ἐκείνοις συνειδώς, πεισθεὶς δὲ ὡς σύ γε, ἐὰν ἐκεῖνοι ἀπόλωνται, μεθέξεις τῆς τότε πολιτείας καθισταμένης, ἀπέγραφες καὶ ἀπέκτεινας Ἀθηναίων πολλοὺς καὶ ἀγαθούς.

Βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐπιδεῖξαι οἵων 62
ἀνδρῶν ὑπ' Ἀγοράτου ἀπεστέρησθε. εἰ μὲν οὖν ⟨μὴ⟩ πολλοὶ ἦσαν, καθ' ἕκαστον ἂν περὶ αὐτῶν ἠκούετε, νῦν δὲ συλλήβδην περὶ πάντων. οἱ μὲν γὰρ στρατηγήσαντες ὑμῖν πολλάκις μείζω τὴν πόλιν τοῖς διαδεχομένοις στρατηγοῖς παρεδίδοσαν· οἱ δ' ἑτέρας μεγάλας ἀρχὰς ἄρξαντες καὶ τριηραρχίας πολλὰς τριηραρχήσαντες οὐδε-

---

3 titulus a X abest, add. Rs 7 *οὐδέποτε ⟨ποιήσειν⟩* Rs 9 *τὸν* Fuhr: *τῶν* X 11 *καὶ ⟨αὐτὸς⟩ ὑπὸ* Rs, *κακῶς ὑπὸ* Wdn, *ὁ ὑπὸ* Kayser 12 *καὶ . . . Θάσιος* del. Dobr (*καὶ ὁ ξεν.* X) 14 *τότε* Markl: *τε* X *τότε καθ. πολ.* pp. Herw 15 *ἀπέγραφες* Tayl: *ἀπεγράφης* X, *ἀπέγραψας* Fuhr *ἀπέκτεινες* Wdn 18 *οὖν μὴ* Gebauer: *οὐ* X, *οὖν οὐ* C, *οἳ* (vel *καὶ*) *εἰ μὲν οὐ* Rs, *οἳ εἰ μὴ πάνυ* Wdn 20 *πάντων ⟨ἐρῶ* vel *ἀκούσετε⟩* Rs 21 *στρατηγοῖς* del. Dobr 22 *παρέδοσαν* Francken 23 *οὐδεπώποτε οὐδ' ὑφ'* X, sed *οὐδ'* a pr. m. deletum X, *οὐδεπ. οὐδεμίαν ὑφ' ὑμῶν* Boblenz, *οὐδεπ. οὐδ' ὑφ' ἑνὸς οὐδεμ.* Wdn

63 πώποτε ὑφ' ὑμῶν οὐδεμίαν αἰτίαν αἰσχρὰν ἔσχον. οἱ δ' αὐτῶν περιγενόμενοι καὶ σωθέντες, οὓς οὗτος μὲν ἀπέκτεινεν ὁμοίως καὶ θάνατος αὐτῶν κατεγνώσθη, ἡ δὲ τύχη καὶ ὁ δαίμων περιεποίησε — φυγόντες γὰρ ἐνθένδε καὶ [οὐ συλληφθέντες δὲ οὐδὲ ὑπομείναντες τὴν κρίσιν,] κατελθόντες ἀπὸ Φυλῆς τιμῶνται ὑφ' ὑμῶν ὡς ἄνδρες ἀγαθοὶ ὄντες.

64 Τούτους μὲν τοιούτους ὄντας Ἀγόρατος τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ φυγάδας ἐντεῦθεν ἐποίησε, τίς ὢν αὐτός; δεῖ γὰρ ὑμᾶς εἰδέναι ὅτι δοῦλος καὶ ἐκ δούλων ἐστίν, ἵν' εἰδῆτε οἷος ὢν ὑμᾶς ἐλυμαίνετο. τούτῳ μὲν γὰρ πατὴρ ἦν Εὐμάρης, ἐγένετο δὲ ὁ Εὐμάρης οὗτος Νικοκλέους καὶ Ἀντικλέους. Καί μοι ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

65 [Πάντα τοίνυν, ὦ ἄνδρες δικασταί, ὅσα κακὰ καὶ αἰσχρὰ καὶ τούτῳ καὶ τοῖς τούτου ἀδελφοῖς ἐπιτετήδευται, πολὺ ἂν εἴη ἔργον λέγειν. περὶ δὲ συκοφαντίας, ὅσας οὗτος ἢ δίκας ἰδίας συκοφαντῶν ἐδικάζετο ἢ γραφὰς ὅσας ἐγράφετο ἢ ἀπογραφὰς ἀπέγραφεν, οὐδέν με δεῖ καθ' ἕκαστον λέγειν· συλλήβδην γὰρ ὑμεῖς ἅπαντες καὶ ἐν τῷ δήμῳ καὶ ἐν τῷ δικαστηρίῳ συκοφαντίας |
66 αὐτοῦ κατέγνωτε καὶ ὦφλεν ὑμῖν μυρίας δραχμάς, ὥστε

2 περιγίγνονται σωθέντες pp. Herw 3 ὁμοίως Lipsius: ὠμῶς X καὶ ... κατεγνώσθη del. Halb 4 γὰρ del. Rs, τ' Wdn 5 οὐ ... 6 κρίσιν del. Kayser, καὶ et δὲ (hoc cum C) del. Frb, συλληφθέντες γε Scheibe 8 τούτους μέντοι C 11 ὢν ὑμᾶς] ὢν ὑ in versus initio a man. sec. restituta X^{pr} τουτῳὶ μὲν Sauppe 12 Εὐμάρης Steph: εὐμαρής X 15 §§ 65. 66 del. Hamaker, defendit Sauppe, pone § 68 transponit Bake (sed v. τούτων ἕκαστος § 69), pone § 69 transp. Heldmann, intercidisse plura in his dicit Wdn πάντα Jacobs: πολλὰ X, τἄλλα Dobr, μὲν add. Gebauer 17 ἔργον εἴη Sauppe 18 ἰδίας del. Wdn 19 ὅσας (pone γραφὰς) del. Rs 21 συκοφαντίαν Bekker 22 ὦφλεν Sauppe: ὤφλησεν X

τοῦτο μὲν ἱκανῶς ὑπὸ ὑμῶν ἁπάντων μεμαρτύρηται. γυναῖκας τοίνυν τῶν πολιτῶν τοιοῦτος ὢν μοιχεύειν καὶ διαφθείρειν ἐλευθέρας ἐπεχείρησε, καὶ ἐλήφθη μοιχός· καὶ τούτου θάνατος ἡ ζημία ἐστίν. Ὡς δὲ ἀληθῆ λέγω, μάρτυρας κάλει

ΜΑΡΤΥΡΕΣ.]

Ἦσαν τοίνυν οὗτοι, ὦ ἄνδρες δικασταί, τέτταρες 67
ἀδελφοί. τούτων εἷς μὲν ὁ πρεσβύτατος ἐν Σικελίᾳ
παραφρυκτωρευόμενος τοῖς πολεμίοις ληφθεὶς ὑπὸ Λα-
μάχου ἀπετυμπανίσθη· ὁ δὲ ἕτερος εἰς Κόρινθον μὲν
ἐντευθενὶ ἀνδράποδον ἐξήγαγεν, ἐκεῖθεν δὲ παιδίσκην
αὖθις ἐξαγαγὼν ἁλίσκεται, καὶ ἐν τῷ δεσμωτηρίῳ δεδε-
μένος ἀπέθανε· τὸν δὲ τρίτον Φαινιππίδης ἐνθάδε λω- 68
ποδύτην ἀπήγαγε, καὶ ὑμεῖς κρίναντες αὐτὸν ἐν τῷ
δικαστηρίῳ καὶ καταγνόντες αὐτοῦ θάνατον ἀποτυμπα-
νίσαι παρέδοτε. ὡς δὲ ἀληθῆ λέγω, καὶ αὐτὸν οἶμαι
ὁμολογήσειν τοῦτον καὶ μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

Πῶς οὖν οὐχ ἅπασι προσήκει ὑμῖν τούτου καταψη- 69
φίζεσθαι; εἰ γὰρ τούτων ἕκαστος δι' ἓν ἁμάρτημα θανάτου ἠξιώθη, ἦ που τοῦ γε πολλὰ ἐξημαρτηκότος καὶ δημοσίᾳ εἰς τὴν πόλιν καὶ ἰδίᾳ εἰς ἕκαστον ὑμῶν, ὧν

---

1 τοῦτό μοι Dobson ἱκανῶς Bekker: κακῶς X 5 μαρτ. ⟨μοι⟩ κάλει Wdn 7 οὗτοι] τούτῳ Bake 8 πρεσβύτατος Bake: πρεσβύτερος X Suid, qui s. παραφρυκτωρευόμενος et φρυκτὸς habet τούτων . . . ἀπετ. omissa voce μέν 9 τοῖς πολ. del. Francken 10 ἕτερος] δεύτερος pp. Herw 12 αὖθις secundum Reiskium An. II 61 Sauppe: αὐτὸς (vel ἀστὸς) X[f], ἀστῆς C, αὐτόσε Frb ἐξάγων Es, sed cf. X 10. 13 Φαινιππίδης C: φαινιππίδην X ἐνθάδε Markl: ἐνθένδε X 17 παρέξομαι West: παρεξόμεθα X 19 ⟨ἐφ'⟩ ἅπασι Bake 21 ἦ που C: ὑπὸ X τοῦ] τούτου Rs 22 εἰς ⟨ἕν'⟩ ἕκ. Wdn

ἑκάστου ἁμαρτήματος ἐν τοῖς νόμοις θάνατος ἡ ζημία ἐστί, δεῖ ὑμᾶς σφόδρα θάνατον αὐτοῦ καταψηφίσασθαι.

70 *Λέξει δέ, ὦ ἄνδρες δικασταί, καὶ ἐξαπατῆσαι ὑμᾶς πειράσεται, ὡς ἐπὶ τῶν τετρακοσίων Φρύνιχον ἀπέκτεινε, καὶ ἀντὶ τούτου φήσει αὐτὸν Ἀθηναῖον τὸν δῆμον ποιήσασθαι, ψευδόμενος, ὦ ἄνδρες δικασταί· οὔτε γὰρ Φρύνιχον ἀπέκτεινεν οὔτε Ἀθηναῖον αὐτὸν ὁ δῆμος*
71 *ἐποιήσατο. Φρυνίχῳ γάρ, ὦ ἄνδρες δικασταί, κοινῇ Θρασύβουλός τε ὁ Καλυδώνιος καὶ Ἀπολλόδωρος ὁ Μεγαρεὺς ἐπεβούλευσαν· ἐπειδὴ δὲ ἐπετυχέτην αὐτῷ βαδίζοντι, ὁ μὲν Θρασύβουλος τύπτει τὸν Φρύνιχον καὶ καταβάλλει πατάξας, ὁ δὲ Ἀπολλόδωρος οὐχ ἥψατο· ἀλλ' ἐν τούτῳ κραυγὴ γίγνεται καὶ ᾤχοντο φεύγοντες. Ἀγόρατος δὲ οὑτοσὶ οὔτε παρεκλήθη οὔτε παρεγένετο οὔτε οἶδε τοῦ πράγματος οὐδέν. ὡς δὲ ἀληθῆ λέγω, αὐτὸ ὑμῖν τὸ ψήφισμα δηλώσει.*

ΨΗΦΙΣΜΑ.

72 *Ὅτι μὲν οὐκ ἀπέκτεινε Φρύνιχον, ἐξ αὐτοῦ τοῦ ψηφίσματος δῆλον· οὐδαμοῦ γάρ ἐστιν „Ἀγόρατον Ἀθηναῖον εἶναι“ ὥσπερ Θρασύβουλον [καὶ Ἀπολλόδωρον]· καίτοι εἴπερ ἀπέκτεινε Φρύνιχον, ἔδει αὐτὸν ἐν τῇ αὐτῇ στήλῃ, ἵνα περ Θρασύβουλον [καὶ Ἀπολλόδωρον], Ἀθηναῖον πεποιημένον ⟨ἐγγεγράφθαι⟩· τὰ μέντοι ὀνόματα*

---

1 ἁμαρτήματος del. vel ἁμαρτημάτων West 2 αὐτοῦ del. Herw, θάνατον αὐτοῦ del. Wdn 4 ἐπὶ τῶν τετρ. del. Kayser 5 φήσει Kayser: φησὶν X ἀθηναίων X 7 ἀθηναῖον ex ἀθηναίων a pr. m. X[s] αὐτὸν ἑ δῆμος (sic) X 10 περιετυχέτην Cob, ἐνετ. Rs An. II 61 11 ⟨μόνῳ⟩ βαδίζοντι West 13 ἀλλ' ἐν C: ἀλλὰ X, ἀλλ' ἅμα Rs, ἅμα Scheibe 14 Ἀγ. δὲ Markl: ἀγ. τε X 15 οἶδε] εἶδε Dobr, ᾔδει Richards 16 ψήφισμα extat CIA I 59 = Ditt. Syll.[2] 50 19 γὰρ ἔστιν Herw, γὰρ ἔνεστιν Francken 20 et 22 καὶ Ἀπ. utrobique del. Röhl, ὥσπερ . . . Ἀγ. del. Halb 23 ἐγγεγράφθαι

διαπράττονται σφῶν αὐτῶν, δόντες ἀργύριον τῷ ῥήτορι, προσγραφῆναι εἰς τὴν στήλην ὡς εὐεργέτας ὄντας. καὶ ὡς ἀληθῆ λέγω, τοῦτο τὸ ψήφισμα ἐλέγξει.

ΨΗΦΙΣΜΑ.

Οὕτω μέντοι οὑτοσὶ πολὺ ὑμῶν κατεφρόνει, ὥστε οὐκ 73
ὢν Ἀθηναῖος καὶ ἐδίκαζε καὶ ἠκκλησίαζε καὶ γραφὰς
τὰς ἐξ ἀνθρώπων ἐγράφετο, ἐπιγραφόμενος Ἀναγυράσιος
εἶναι. ἔπειτα δὲ καὶ ἕτερον μέγα τεκμήριον ὡς οὐκ
ἀπέκτεινε Φρύνιχον, δι' ὃ Ἀθηναῖός φησι γεγενῆσθαι.
ὁ Φρύνιχος γὰρ οὗτος τοὺς τετρακοσίους κατέστησεν·
ἐπειδὴ δ' ἐκεῖνος ἀπέθανεν, οἱ πολλοὶ τῶν τετρακοσίων
ἔφυγον. πότερον οὖν δοκοῦσιν ὑμῖν οἱ τριάκοντα καὶ 74
ἡ βουλὴ ἡ τότε βουλεύουσα, οἳ αὐτοὶ ἦσαν ἅπαντες τῶν
τετρακοσίων τῶν φυγόντων, ἀφεῖναι ἂν λαβόντες τὸν
Φρύνιχον ἀποκτείναντα, ἢ τιμωρήσασθαι ὑπὲρ Φρυνί-
χου καὶ τῆς φυγῆς ἧς αὐτοὶ ἔφυγον; ἐγὼ μὲν οἶμαι
τιμωρεῖσθαι ἄν. εἰ μὲν οὖν μὴ ἀποκτείνας προσποιεῖται, 75
ὡς ἐγώ φημι, ἀδικεῖ· εἰ δὲ ἀμφισβητεῖς καὶ φῂς Φρύ-
νιχον ἀποκτεῖναι, δῆλον ὅτι μείζω τὸν δῆμον τὸν Ἀθη-
ναίων κακὰ ποιήσας τὴν ὑπὲρ Φρυνίχου αἰτίαν πρὸς

---

addidi, γεγράφθαι (vel φαίνεσθαι vel ὁρᾶσθαι) Rs, plura excidisse putat Tayl 1 ⟨τὰ⟩ σφῶν Sauppe τῷ ῥήτορι Herw 2 εὐεργέται ὄντες Francken, εὐεργετῶν ὄντων vel forsan delenda Herw 3 τουτὶ τὸ Herw, τὸ αὐτὸ Auger 5 οὑτοσὶ Sauppe: οὗτος X ἡμῶν X κατεφρόνει Cob: καταφρονεῖ X 6 ἠκκλησίαζε Frb cf. XII 73: ἐξεκκλησίαζε X 7 τὰς ἐξ ἀνθρώπων γρ. Hecker 8 οὐκ Cont: οὐκ ἂν X 9 δι' ὃ Sauppe: δι' ὃν X 11 ἐκεῖνος ἀπέθανεν C: ἐκεῖνοι ἀπέθανον X 13 ἡ τότε Cob: ὅτ' ἐπὶ τῶν λ′ (τῶν λ′ in ras.) X, ἡ ἐπὶ τῶν τριάκοντα C, ἡ βουλὴ . . . βουλεύουσα del. Herw 14 φυγόντων Tur: φευγόντων X, del. Kocks ἂν λαβόντες C: ἀναλαβόντες X 17 τιμωρεῖσθαι ἂν del. Wdn, τιμωρήσασθαι ἂν vel τετιμωρῆσθαι ἂν Rs προσποιεῖται sc. ἀποκτεῖναι 18 ὡς ἐγώ φημι, ἀδικεῖ Gebauer arg. 363: ἀδικεῖ, ὡς ἐγώ φημι X 19 et p. 156, 3 τὸν Ἀθ. Fuhr: τῶν ἀθ. X

τοὺς τριάκοντα ἀπελύσω· οὐδέποτε γὰρ πείσεις οὐδένα
ἀνθρώπων ὡς Φρύνιχον ἀποκτείνας ἀφείθης ἂν | ὑπὸ
τῶν τριάκοντα, εἰ μὴ μεγάλα τὸν δῆμον τὸν Ἀθηναίων
76 *καὶ ἀνήκεστα κακὰ ἠργάσω. ἐὰν μὲν οὖν φάσκῃ Φρύ-*
νιχον ἀποκτεῖναι, τούτων μέμνησθε, καὶ τοῦτον τιμω-
ρεῖσθε ἀνθ' ὧν ἐποίησεν· ἐὰν δ' οὐ φάσκῃ, ἔρεσθε αὐ-
τὸν δι' ὅ τι φησὶν Ἀθηναῖος ποιηθῆναι. ἐὰν δὲ μὴ ἔχῃ
ἀποδεῖξαι, τιμωρεῖσθε αὐτὸν ὅτι καὶ ἐδίκαζε καὶ ἠκκλη-
σίαζε καὶ ἐσυκοφάντει πολλοὺς ὡς Ἀθηναῖος τοὔνομα
ἐπιγραφόμενος.

77 *Ἀκούω δὲ αὐτὸν παρασκευάζεσθαι ἀπολογεῖσθαι, ὡς*
ἐπὶ Φυλήν τε ᾤχετο καὶ συγκατῆλθεν ἀπὸ Φυλῆς, καὶ
τοῦτο μέγιστον ἀγώνισμα εἶναι. ἐγένετο δὲ τοιοῦτον·
ἦλθεν οὗτος ἐπὶ Φυλήν· καίτοι πῶς ἂν γένοιτο ἄνθρω-
πος μιαρώτερος; ὅστις εἰδὼς ὅτι εἰσί τινες ἐπὶ Φυλῇ
τῶν ὑπὸ τούτου ἐκπεπτωκότων ἐτόλμησεν ἐλθεῖν ὡς
78 *τούτους. ἐπειδὴ δὲ εἶδον αὐτὸν τάχιστα, συλλαβόντες*
ἄγουσιν ἄντικρυς ὡς ἀποκτενοῦντες, οὗπερ καὶ τοὺς
ἄλλους ἀπέσφαττον, εἴ τινα λῃστὴν ἢ κακοῦργον συλ-
λάβοιεν. στρατηγῶν δὲ Ἄνυτος [ἐπὶ Φυλὴν] οὐκ ἔφη
χρῆναι ποιεῖν αὐτοὺς ταῦτα, λέγων ὅτι ⟨οὔπω⟩ οὕτω
διακέοιντο, ὥστε τιμωρεῖσθαί τινας τῶν ἐχθρῶν, ἀλλὰ
νῦν μὲν δεῖν αὐτοὺς ἡσυχίαν ἔχειν· εἰ δέ ποτε οἴκαδε
κατέλθοιεν, τότε καὶ τιμωρήσοιντο τοὺς ἀδικοῦντας.
79 *ταῦτα λέγων αἴτιος ἐγένετο τοῦ ἀποφυγεῖν τοῦτον ἐπὶ*

---

8 *ἐδίκαζε* Tayl: *ἐδικάζετο* X *ἠκκλησίαζε* cf. § 73 11 *παρεσκευάσθαι* malit Gebauer 14 *ἦλθε ⟨μὲν⟩* Herw *οὑτοσὶ* Sauppe *ἄνθρωπος ⟨τούτου⟩* pp. Herw, quam vocem subaudit Rs 15 *ἐπὶ Φυλῇ* Rauch: *ἐπὶ φυλὴν* X, del. Dobr 18 *ἀπάγουσιν* Naber *ὡς ἀποκτ.* del. Halb 20 *ἐπὶ Φυλὴν* del. Dobr 21 *οὔπω* add. Steph, *οὐχ* add. C 23 *δεῖν*] *δέοι* pp. Herw *ἡσυχ. ἄγειν* pp. Herw, sed cf. XXVIII 7 *οἴκαδε* del. olim Herw 25 *ἐπὶ Φυλῇ* West: *ἐπὶ φυλὴν* X, del. Dobr

Φυλῇ· ἀνάγκη δὲ ἦν στρατηγοῦ ἀνδρὸς ἀκροᾶσθαι, εἴπερ ἔμελλον σωθήσεσθαι. ἀλλ' ἕτερον· οὔτε γὰρ συσσιτήσας τούτῳ οὐδεὶς φανήσεται οὔτε σύσκηνος γενόμενος οὔτε ⟨ὁ⟩ ταξίαρχος εἰς τὴν φυλὴν κατατάξας, ἀλλ' ὥσπερ ἀλιτηρίῳ οὐδεὶς ἀνθρώπων αὐτῷ διελέγετο. Καί μοι κάλει τὸν ταξίαρχον.

ΜΑΡΤΥΡΙΑ.

Ἐπειδὴ δὲ ⟨αἱ⟩ διαλλαγαὶ πρὸς ἀλλήλους ἐγένοντο 80 καὶ ἔπεμψαν οἱ [πολῖται] ἐκ Πειραιῶς τὴν πομπὴν εἰς πόλιν, ἡγεῖτο μὲν Αἴσιμος [τῶν πολιτῶν], οὗτος δὲ οὕτω τολμηρὸς καὶ ἐκεῖ ἐγένετο· συνηκολούθει γὰρ λαβὼν τὰ ὅπλα καὶ συνέπεμπε τὴν πομπὴν μετὰ τῶν ὁπλιτῶν πρὸς τὸ ἄστυ. ἐπειδὴ δὲ πρὸς ταῖς πύλαις ἦσαν 81 καὶ ἔθεντο τὰ ὅπλα, πρὶν εἰσιέναι εἰς τὸ ἄστυ, ὁ μὲν Αἴσιμος αἰσθάνεται καὶ προσελθὼν τήν τε ἀσπίδα αὐτοῦ λαβὼν ἔρριψε, καὶ ἀπιέναι ἐκέλευσεν ἐς κόρακας ἐκ τῶν ὁπλιτῶν. οὐ γὰρ ἔφη δεῖν ἀνδροφόνον αὐτὸν ὄντα συμπέμπειν τὴν πομπὴν τῇ Ἀθηναίᾳ. τούτῳ τῷ τρόπῳ ὑπὸ Αἰσίμου ἀπηλάθη. Ὡς δ' ἀληθῆ λέγω, μάρτυρας ⟨παρέξομαι⟩.

ΜΑΡΤΥΡΕΣ.

Τούτῳ τῷ τρόπῳ, ὦ ἄνδρες δικασταί, καὶ ἐπὶ 82 Φυλῇ καὶ ἐν Πειραιεῖ πρὸς τοὺς ὁπλίτας διέκειτο·

---

1 ἀνδρὸς στρατηγοῦ Halb ἀνάγκη . . . 2 σωθήσεσθαι del. Kocks 3 τουτῳὶ Sauppe οὐδὲ σύσκηνος Wdn γενόμενος est in X 4 ὁ add. Sauppe 7 ΜΑΡΤΥΡΙΑ in margine X 8 αἱ add. Dobr 9 πολῖται del. Dobr 10 τῶν πολιτῶν del. Sauppe, τῶν ὁπλιτῶν Markl 11 ἐκεῖ Brulart: ἐκεῖνος X, τότε C 13 ὁπλιτῶν Dobr: πολιτῶν X πύλαις Palmer: φυλαῖς X 17 ὁπλιτῶν scripsi: πολιτῶν X, ἐκ τῶν πολιτῶν del. Naber 18 Ἀθηναίᾳ Fuhr cf. Meisterhans² p. 25: ἀθηνᾷ X 19 μάρτυρας παρέξομαι lib. Coisl. Sauppe: μάρτυρες X, deinde lacunam, in margine titulum habet X¹ 23 Φυλῇ C: φυλὴν X πρὸς τοὺς πολίτας cum Tayloro plerique

*[οὐδεὶς γὰρ αὐτῷ διελέγετο ὡς ἀνδροφόνῳ ὄντι, τοῦ τε μὴ
ἀποθανεῖν Ἄνυτος ἐγένετο αὐτῷ αἴτιος]. ἐὰν οὖν τῇ
ἐπὶ Φυλὴν ὁδῷ ἀπολογίᾳ χρῆται, ὑπολαμβάνειν χρὴ εἰ
Ἄνυτος αὐτῷ ἐγένετο αἴτιος μὴ ἀποθανεῖν ἑτοίμων ὄν-
των τιμωρεῖσθαι, καὶ ἔρριψεν αὐτοῦ Αἴσιμος τὴν ἀσπίδα
καὶ οὐκ εἴα [μετὰ τῶν πολιτῶν] συμπέμπειν τὴν πομπήν,
[καὶ εἴ τις αὐτὸν ταξίαρχος εἰς τάξιν τινὰ κατέταξε].*
83 *Μήτε οὖν ταῦτα αὐτοῦ ἀποδέχεσθε, μήτ᾽ ἐὰν λέγῃ
ὅτι πολλῷ χρόνῳ ὕστερον τιμωρούμεθα. οὐ γὰρ οἶμαι
οὐδεμίαν τῶν τοιούτων ἀδικημάτων προθεσμίαν εἶναι,
ἀλλ᾽ ἐγὼ μὲν οἶμαι, εἴτ᾽ εὐθὺς εἴτε χρόνῳ τις τιμωρεῖ-
ται, τοῦτον δεῖν ἀποδεικνύναι ὡς οὐ πεποίηκε περὶ ὧν*
84 *ἐστιν ἡ αἰτία. οὗτος τοίνυν τοῦτο ἀποφαινέτω, ἢ ὡς
οὐκ ἀπέκτεινεν ἐκείνους ἢ ὡς δικαίως, κακόν τι ποι-
οῦντας τὸν δῆμον τὸν Ἀθηναίων. εἰ δὲ πάλαι δέον
τιμωρεῖσθαι ὕστερον ἡμεῖς τιμωρούμεθα, τὸν χρόνον
κερδαίνει ὃν ἔζη οὐ προσῆκον αὐτῷ, οἱ δὲ ἄνδρες ὑπὸ
τούτου οὐδὲν ἧττον τεθνήκασιν.*
85 *Ἀκούω δ᾽ αὐτὸν καὶ ⟨τούτῳ⟩ διισχυρίζεσθαι, ὅτι ἐπ᾽
αὐτοφώρῳ τῇ ἀπαγωγῇ ἐπιγέγραπται, πάντων ἐγὼ οἶμαι
εὐηθέστατα· ὡς εἰ μὲν τὸ ἐπ᾽ αὐτοφώρῳ μὴ προσεγέ-
γραπτο, ἔνοχος ⟨ἂν⟩ ὢν τῇ ἀπαγωγῇ· διότι δὲ τοῦτο |*

1 *οὐδεὶς . . . 2 αἴτιος* del. Dobr 3 *εἰ*] *ὅτι* Richards
4 *αἴτιος ⟨τοῦ⟩ μὴ* Cont *ἑτοίμων ⟨ὑμῶν⟩ ὄντων* Rs 6 *μετὰ
τῶν πολ.* del. Sauppe *συμπέμπειν* Fuhr: *πέμπειν* X
7 *καὶ εἴ . . . κατέταξε* del. Halb, *οὐδ᾽ εἴ τις . . . κατατάξειεν*
Wdn totam § 82 del. Hamaker 8 *μήτ᾽ ἐὰν* Cob: *μήτε
ἂν* X 11 *ἐγὼ μὲν οἶμαι* del. Rs *τιμωρεῖταί ⟨τινα⟩* post
Augerum Rauch, *τιμ. ⟨αὐτὸν⟩* Frei, *τιμ., τὸν τοιοῦτον δεῖν* Wdn
15 *τὸν* Fuhr: *τῶν* X 19 *τούτῳ* add. Kayser, *τῳδὶ ἰσχυρ.* Rs
20 et 22 *ἐπαγωγῇ* utrobique X *προσγέγραπται* Halb 21 *εὐ-
ηθέστατα* scripsi: *εὐηθέστατον* X Wdn, cf. Gebauer Lys. I 502,
Lys. IV 7, ⟨ὃ⟩ *πάντων . . . εὐηθέστατον* C 22 *ἂν* add. Herw,
ἔνοχον ἂν ὄντα Wdn

προσγέγραπται, [ἔνοχος ὢν] ῥᾳστώνην τινὰ οἴεται αὐτῷ
εἶναι. τοῦτο δὲ οὐδὲν ἄλλ' ὡς ἔοικεν ἢ ὁμολογεῖν ἀπο-
κτεῖναι, μὴ ἐπ' αὐτοφώρῳ δέ, καὶ περὶ τούτου διισχυρί-
ζεσθαι, ὥσπερ, εἰ μὴ ἐπ' αὐτοφώρῳ μέν, ἀπέκτεινε δέ,
τούτου ἕνεκα δέον αὐτὸν σῴζεσθαι. δοκοῦσι δ' ἔμοιγε 86
οἱ ἕνδεκα οἱ παραδεξάμενοι τὴν ἀπαγωγὴν ταύτην, ⟨οὐκ⟩
οἰόμενοι Ἀγοράτῳ συμπράττειν τότε διισχυριζομένῳ,
σφόδρα ὀρθῶς ποιῆσαι Διονύσιον τὴν ἀπαγωγὴν ἀπά-
γοντ' ἀναγκάζοντες προσγράψασθαι τό γε ἐπ' αὐτοφώρῳ·
ἢ οὐκ ἂν εἴη ⟨ὃς⟩ πρῶτον μὲν ἐναντίον πεντακοσίων
[ἐν τῇ βουλῇ], εἶτα πάλιν ἐναντίον Ἀθηναίων ἁπάντων
[ἐν τῷ δήμῳ] ἀπογράψας τινὰς ἀποκτείνειε [καὶ αἴτιος
γένοιτο τοῦ θανάτου]; οὐ γὰρ δήπου τοῦτο μόνον οἴει 87
τὸ ἐπ' αὐτοφώρῳ, ἐάν τις ξύλῳ ἢ μαχαίρᾳ πατάξας
καταβάλῃ, ἐπεὶ ἔκ γε τοῦ σοῦ λόγου οὐδεὶς φανήσεται
ἀποκτείνας τοὺς ἄνδρας οὓς σὺ ἀπέγραψας· οὔτε γὰρ
ἐπάταξεν αὐτοὺς οὐδεὶς οὔτ' ἀπέσφαξεν, ἀλλ' ἀναιρε-

---

1 ἔνοχος ὢν del. Dobr 2 οὐδὲν ἄλλ' ὡς Gebauer: οὐδενὶ ἄλλῳ X, ἢ ⟨τῷ⟩ ὁμ. Rs, οὐδὲν ἄλλο Sauppe, τούτῳ δὲ οὐδὲν ἄλλο West μὲν add. pone ἀποκτ. Cont, pone ὁμολ. Rs 6 οὐκ add. Tayl 7 τότε διισχυριζομένῳ scripsi: τότε καὶ διισχυριζόμενοι X, τόδε καὶ διισχυριζομένῳ Dryander, τοῦτο καὶ διισχυριζομένῳ Gebauer, καὶ τότε διισχυριζομένῳ Kocks, τότε ἀλλὰ διισχυριζόμενοι Tayl, τῷ δὲ δικαίῳ διισχυριζόμενοι post Frohbergerum, qui δὲ omiserat, Halb 8 ἀπάγοντ' Falk: ἀπάγειν X, ἣν ἀπάγει Sauppe 9 τό γε Sluiter: τότε X, τὸ Rs, del. Herw 10 οὐκ ἂν εἴη Boblenz: ὅπου ἂν ᾖ X, πῶς οὐκ ἂν εἴη Sauppe, ὃ πῶς οὐκ ἂν εἴη ⟨εἴ τις⟩ πρῶτον pp. Herw ὃς add. Gebauer, ὅστις Francke, πῶς ἂν εἴη μᾶλλον ἢ εἴ τις cf. Ant. V 92 Fuhr 11 ἐν τῇ βουλῇ et 12 ἐν τῷ δήμῳ del. Kayser 12 καὶ ... 13 θανάτου del. Gebauer 10 ἢ πῶς οὐκ ἂν εἴη ... 12 ἀπογράψας; deletis ceteris Benker 10 ὅπου ... 13 θανάτου del. Schnee 13 οἴει τὸ West: οἴεται X, νοεῖ τὸ Herw, νομίζεται Cont, δύναται Bake, ὁμολογεῖται Dryander, οἴει εἶναι Rauch 17 ἀναιρεθέντες scripsi cf. XIX 64, Demosth. XXVIII 17: ἀναγκασθέντες X, ἀναρπασθέντες vel ἀπαχθέντες Sauppe, καταγνωσθέντες Dryander, ἀπογρα

*θέντες ὑπὸ τῆς σῆς ἀπογραφῆς ἀπέθανον. οὐκ οὖν ⟨ὁ⟩
αἴτιος τοῦ θανάτου, οὗτος ἐπ' αὐτοφώρῳ ἐστί; τίς οὖν
ἄλλος αἴτιος ἢ σὺ ἀπογράψας; ὥστε πῶς οὐκ ἐπ' αὐτο-
φώρῳ σὺ εἶ ὁ ἀποκτείνας;*

88 *Πυνθάνομαι δ' αὐτὸν καὶ περὶ τῶν ὅρκων καὶ περὶ
τῶν συνθηκῶν μέλλειν λέγειν, ὡς παρὰ τοὺς ὅρκους
καὶ τὰς συνθήκας ἀγωνίζεται ἃς συνεθέμεθα πρὸς τοὺς
ἐν ἄστει οἱ ἐν [τῷ] Πειραιεῖ. σχεδὸν μὲν οὖν τούτοις
ἰσχυριζόμενος ὁμολογεῖ ἀνδροφόνος εἶναι· ἐμποδὼν γοῦν
ἢ ὅρκους ἢ συνθήκας ἢ χρόνον ἢ ἐπ' αὐτοφώρῳ τι ποι-
εῖται, αὐτῷ δὲ τῷ πράγματι οὔ τι πιστεύει καλῶς ἀγω-*
89 *νιεῖσθαι. ὑμῖν δέ, ὦ ἄνδρες δικασταί, οὐ προσήκει περὶ
τούτων ⟨ἐὰν λέγῃ⟩ ἀποδέχεσθαι· ἀλλ' ὡς οὐκ ἀπέ-
γραψεν οὐδὲ οἱ ἄνδρες τεθνᾶσι, περὶ τούτων κελεύετε
αὐτὸν ἀπολογεῖσθαι. ἔπειτα τοὺς ὅρκους καὶ τὰς συν-
θήκας οὐδὲν ἡγοῦμαι προσήκειν ἡμῖν πρὸς τοῦτον. οἱ
γὰρ ὅρκοι τοῖς ἐν ἄστει πρὸς τοὺς ἐν Πειραιεῖ γεγένην-*
90 *ται. εἰ μὲν οὖν οὗτος μὲν ἐν ἄστει ἡμεῖς δ' ἐν Πει-
ραιεῖ ἦμεν, εἶχον ⟨ἄν⟩ τινα λόγον αὐτῷ αἱ συνθῆκαι·
νῦν δὲ καὶ οὗτος ἐν Πειραιεῖ ἦν καὶ ἐγὼ καὶ Διονύσιος
καὶ οὗτοι ἅπαντες οἱ τοῦτον τιμωρούμενοι· ὥστε οὔκ*

φέντες ⟨ὑπὸ σοῦ⟩ Gebauer Fuhr, *⟨τὸ κώνειον πιεῖν αὐτοὶ ὑφ' ἑαυτῶν⟩ ἀπέθανον* Rs 1 *ὁ* add. Emperius, malim *⟨καὶ τούτων ὁ φανερῶς γενόμενος⟩ αἴτιος*: *θανάτου ⟨ἐναντίον πολλῶν γενόμενος⟩* Frb, *οὐκ οὖν . . . ἐστί* del. Dobr 3 *ἄλλος ⟨αὐτοῖς⟩ αἴτιος* pp. Herw, *ἄλλος τοιοῦτος* Gebauer 4 *ὁ ἀποκτ.* del. Halb 5 *τοῦτο* pone *καὶ* add. Kayser *περὶ . . .* 6 *συνθηκῶν* del. West 8 *τῷ* del. Baiter 10 *ὅρκους καὶ συνθ.* P. Müller *τι* del. Rs, *ἢ τὸ ἐπ' αὐτ. ποιεῖται* Dobr 11 *πράγματι* Rs: *γράμματι* X *οὔ τι* Rs: *οὔτε* X 13 *ἐὰν λέγῃ* add. Gebauer, *λέγοντος* vel *ἀπολογουμένου* Rs, *λέγοντος αὐτοῦ* Frb, *περὶ τούτων* del. Dobr, *οὐδὲν τούτων* pp. Herw, *τοῦτο* Boblenz 14 *περὶ τούτων* altero loco del. Frb 19 *ἂν* add. Baiter 21 *οὔκ εἰσιν* West: *οὐκ ἔστιν* X, qua voce servata *ἐμποδὼν ⟨οὐδὲν⟩* Rs

εἰσιν ἡμῖν ἐμποδών· οὐδένα γὰρ ὅρκον οἱ ἐν Πειραιεῖ ⟨τοῖς ἐν Πειραιεῖ οὐδ' οἱ ἐν ἄστει⟩ τοῖς ἐν ἄστει ὤμοσαν.

[Ἐκ παντὸς δὲ τρόπου ἔμοιγε δοκεῖ οὐχ ἑνὸς θανάτου 91
ἄξιος εἶναι, ὅστις φησὶ μὲν ὑπὸ τοῦ δήμου ⟨πεποιῆσθαι⟩, τὸν δὲ δῆμον, ὃν αὐτός φησι πατέρα αὑτοῦ εἶναι, φαίνεται κακώσας, καθυφεὶς καὶ προδοὺς πάντα ἐξ ὧν ⟨ἂν⟩ ἐκεῖνος μείζων καὶ ἰσχυρότερος ἐγίγνετο. ὅστις οὖν τόν τε γόνῳ πατέρα τὸν αὑτοῦ ἔτυπτε καὶ οὐδὲν παρεῖχε τῶν ἐπιτηδείων, τόν τε ποιητὸν πατέρα ἀφείλετο ἃ ἦν ὑπάρχοντα ἐκείνῳ ἀγαθά, πῶς οὐ καὶ διὰ τοῦτο κατὰ τὸν τῆς κακώσεως νόμον ἄξιός ἐστι θανάτῳ ζημιωθῆναι;]

Προσήκει δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἅπασι τιμω- 92
ρεῖν ὑπὲρ ἐκείνων τῶν ἀνδρῶν ὁμοίως ὥσπερ ἡμῶν ἑνὶ ἑκάστῳ. ἀποθνήσκοντες γὰρ ἐπέσκηψαν καὶ ἡμῖν καὶ τοῖς φίλοις ἅπασι τιμωρεῖν ὑπὲρ σφῶν αὐτῶν Ἀγόρατον τουτονὶ ὡς φονέα ὄντα, καὶ κακῶς ποιεῖν καθ' ὅσον ἂν ἔμβραχυ ἕκαστος δύνηται. εἰ τοίνυν τι ἐκεῖνοι ἀγαθὸν τὴν πόλιν ἢ τὸ πλῆθος τὸ ὑμέτερον φανεροί εἰσι πεποιηκότες, ὃ καὶ αὐτοὶ ὑμεῖς ὁμολογεῖτε, ἀνάγκη ὑμᾶς ἐστι πάντας ἐκείνοις φίλους καὶ ἐπιτηδείους εἶναι, ὥστε οὐδὲν μᾶλλον ἡμῖν ἢ καὶ ὑμῶν ἑνὶ ἑκάστῳ ἐπέσκηψαν.
οὔκουν οὔτε ὅσιον οὔτε νόμιμον ὑμῖν ἐστιν ἀνεῖναι 93

---

1 *οὐ γὰρ ὅρκους* Wdn 2 *τοῖς ἐν Πειραιεῖ οὐδ' οἱ ἐν ἄστει* add. Wecklein, *ἢ* „nisi" add. Baiter, *εἰ μὴ* add. Sluiter, *οἱ ἐν Π. τοῖς ἐν Π.* Palmer *ὠμόσαμεν* pp. Herw 3 § 91 del. Blass, qui nunc ab ipso oratore postea additam existimat 4 *πεποιῆσθαι* add. Rs 6 *καθυφεὶς* Francken: *καὶ ἀφεὶς* X, *καὶ* delevit Fuhr *προδοὺς πάντα* Rs: *προδόντα* X, *προδοὺς* C, *προδοὺς τὰ* Francken *ἂν* add. Sauppe 7 post *ἐγίγνετο* lacunam esse volebat Gebauer 10 *κατὰ* Emperius: *καὶ διὰ* X 13 *ἡμῶν* C corr: *ὑμῶν* X 14 *γὰρ ὑμῖν ἐπ.* X, *ὑμῖν* del. Sauppe 15 *φίλοις* Sauppe: *ἄλλοις* X 16 *ὡς φονέα ὄντα* deleverit Herw 17 *ἔμβραχυ* Dobr: *βραχὺ* X, del. Wdn 19 *ὃ* Herw: *ἃ* X 22 *ἀφεῖναι* Markl, sed cf. Demosth. XIX 229

Ἀγόρατον τουτονί. ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, νυνὶ δή, ἐπεὶ ἐν τῷ τότε χρόνῳ, ἐν ᾧ ἐκεῖνοι ἀπέθνησκον, οὐχ οἷοί τε ἦστε ἐπαρκέσαι διὰ τὰ πράγματα τὰ περιεστηκότα, νυνί, ἐν ᾧ δύνασθε, τιμωρήσατε τὸν ἐκείνων φονέα. ἐνθυμεῖσθε δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ πάντων ἔργον σχετλιώτατον ἐργάσησθε. εἰ γὰρ ἀποψηφιεῖσθε Ἀγοράτου | τουτουί, οὐ μόνον τοῦτο διαπράττεσθε, ἀλλὰ καὶ ἐκείνων τῶν ἀνδρῶν, οὓς ὁμολογεῖτε ὑμῖν εὔνους εἶναι, τῇ αὐτῇ ψήφῳ ταύτῃ θάνατον
94 καταψηφίζεσθε· ἀπολύοντες γὰρ τὸν αἴτιον ὄντα ἐκείνοις τοῦ θανάτου οὐδὲν ἄλλο γιγνώσκετε ἢ ἐκείνους δικαίως ὑπὸ τούτου τεθνηκέναι. καὶ οὕτως ἂν δεινότατα πάντων πάθοιεν, εἰ οἷς ἐπέσκηπτον ἐκεῖνοι ὡς φίλοις οὖσι τιμωρεῖν ὑπὲρ αὐτῶν, οὗτοι ὁμόψηφοι κατ᾽ ἐκείνων
95 τῶν ἀνδρῶν τοῖς τριάκοντα γενήσονται. μηδαμῶς, ὦ ἄνδρες δικασταί, πρὸς θεῶν Ὀλυμπίων, μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ θάνατον ἐκείνων τῶν ἀνδρῶν καταψηφίσησθε, οἳ πολλὰ κἀγαθὰ ὑμᾶς ποιήσαντες διὰ ταῦτα ὑπὸ τῶν τριάκοντα καὶ Ἀγοράτου τουτουὶ ἀπέθανον. ἀναμνησθέντες οὖν ἁπάντων τῶν δεινῶν, καὶ τῶν κοινῶν τῇ πόλει καὶ τῶν ἰδίων, ὅσα ἑκάστῳ ἐγένετο ἐπειδὴ ἐκεῖνοι οἱ ἄνδρες ἐτελεύτησαν, τιμωρήσατε τὸν αἴτιον τούτων. ἀποδέδεικται δ᾽ ὑμῖν [ἅπαντα] καὶ ἐκ

---

2 νυνὶ δὴ del. Dobr 3 ἦστε ἐπαρκέσαι lex. Vindob. (p. 99 ed. Nauck), quod laudat verba οὐχ . . . ἐπαρκέσαι: ἐκείνοις ἐπαρκ. γεγόνατε X 4 περιεστηκότα Markl: παρεστηκότα X νυνὶ ⟨δὴ⟩ Dobr 6 σχετλιώτατον ἔργον Dobr ἐργάσεσθε Baiter 7 τοῦτο C: τουτ (sic) X, ἄτοπόν τι Wdn διαπράξεσθε et 10 καταψηφιεῖσθε Bake 9 εἶναι ἀλλὰ τῇ X, ἀλλὰ om. C, ἅμα Dobr, ἅμα τῇ ψήφῳ Wdn 15 τῶν ἀνδρῶν del. Markl, κατ᾽ ἐκ. τῶν ἀνδρ. del. Francken 21 ἐγένετο Sauppe: ἐγένοντο X 23 τούτων C: τοῦτον X ἅπαντα del. Taylor, πάντα Frb, ἁπανταχόθεν Rs, πανταχόθεν Wdn, σαφέστατα vel ἀκριβέστατα Gebauer

τῶν ψηφισμάτων καὶ ἐκ τῶν ἀπογραφῶν καὶ ἐκ τῶν
ἄλλων ἁπάντων Ἀγόρατος ὢν αὐτοῖς αἴτιος τοῦ θανά-
του. ἔτι δὲ καὶ προσήκει ὑμῖν ἐναντία τοῖς τριάκοντα 96
ψηφίζεσθαι· ὧν μὲν τοίνυν ἐκεῖνοι θάνατον κατέγνω-
σαν, ὑμεῖς ἀποψηφίσασθε· ὧν δ' ἐκεῖνοι θάνατον οὐ
κατέγνωσαν, ὑμεῖς καταψηφίσασθε. οἱ τριάκοντα τοίνυν
τῶν μὲν ἀνδρῶν τούτων, οἳ ἦσαν ὑμέτεροι φίλοι, θά-
νατον κατέγνωσαν[, ὧν δεῖ ὑμᾶς ἀποψηφίζεσθαι]· Ἀγο-
ράτου δὲ ἀπεψηφίσαντο, διότι ἐδόκει προθύμως τούτους
ἀπολλύναι· [οὗ προσήκει καταψηφίζεσθαι.] ἐὰν οὖν τὰ 97
ἐναντία τοῖς τριάκοντα ψηφίζησθε, πρῶτον μὲν οὐχ 11
ὁμόψηφοι ⟨τοῖς ἐχθίστοις⟩ γίγνεσθε, ἔπειτα τοῖς ὑμε-
τέροις αὐτῶν φίλοις τετιμωρηκότες ἔσεσθε, ἔπειτα τοῖς
πᾶσιν ἀνθρώποις δόξετε δίκαια καὶ ὅσια ψηφίσασθαι.

14.

ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ ΛΙΠΟΤΑΞΙΟΥ.

Ἡγοῦμαι μέν, ὦ ἄνδρες δικασταί, οὐδεμίαν ὑμᾶς πο- 1
θεῖν ἀκοῦσαι πρόφασιν παρὰ τῶν βουλομένων Ἀλκι-
βιάδου κατηγορεῖν· τοιοῦτον γὰρ πολίτην ἑαυτὸν ἐξ

---

3 τἀναντία Herw 5 ἀποψηφίζεσθε pp. Herw 6 καταψηφίσασθε Fuhr: καταγινώσκετε X 8 ὧν δεῖ ὑμᾶς ἀποψηφίζεσθαι et 10 οὗ προσήκει καταψηφίζεσθαι ut languida delevi 9 ἀπεψηφίσαντο] ἀπέγνωσαν Gebauer coll. XXII 17 ἐδόκει Markl: δοκεῖ X 12 τοῖς ἐχθίστοις addidi secundum Reiskium, qui volebat τοῖς ἀνοσιωτάτοις καὶ ὑμῶν ἐχθίστοις. τοῖς ἐχθροῖς add. Francken, ἐὰν οὖν τοῦτο ποιῆτε, πρῶτον μὲν οὐχ ὁμόψηφοι τοῖς τριάκοντα γίγνεσθε Dobr, ταῦτα γὰρ ἂν ποιῆτε vel κἂν ταῦτα ποιῆτε vel καὶ ταῦτα ποιοῦντες πρῶτον μὲν τοῖς ὑμετέροις αὐτῶν Gebauer, ἐὰν οὖν ταῦτα ψηφίζησθε (vel ψηφίσησθε), πρῶτον μὲν τοῖς τρ. οὐχ ὁμοψ. γενήσεσθε Wdn γίγνεσθε] γενήσεσθε Cont, ἔσεσθε Francken, deleta hac voce in versu proximo 16 XIV. cf. Harp. Ἀλκιβιάδης λειποταξίου X et Harp. sed cf. Lipsius Att. Proz. 464, Att. Recht 425 17 μὲν a manu altera X[s]: με m. pr.

ἀρχῆς παρέσχεν, ὥστε καὶ εἰ μή τις ἰδίᾳ ἀδικούμενος
ὑπ' αὐτοῦ τυγχάνει, οὐδὲν ἧττον προσήκει ἐκ τῶν ἄλλων
2 ἐπιτηδευμάτων ἐχθρὸν αὐτὸν ἡγεῖσθαι. οὐ γὰρ μικρὰ
τὰ ἁμαρτήματα οὐδὲ συγγνώμης ἄξια, οὐδ' ἐλπίδα παρ-
έχοντα ὡς ἔσται τοῦ λοιποῦ βελτίων, ἀλλ' οὕτω πεπραγ-
μένα καὶ εἰς τοσοῦτον κακίας ἀφιγμένα, ὥστ' εἰπεῖν
ἕκασθ' ὧν οὗτος φιλοτιμεῖται τοὺς ἐχθροὺς αἰσχύνεσθαι.
ἐγὼ μέντοι, ὦ ἄνδρες δικασταί, καὶ πρότερον πρὸς τῶν
πατέρων ἡμῖν διαφορᾶς ὑπαρχούσης, καὶ πάλαι τοῦτον
πονηρὸν ἡγούμενος, καὶ νῦν ὑπ' αὐτοῦ πεπονθὼς κα-
κῶς, πειράσομαι ὑπὲρ πάντων τῶν πεπραγμένων μεθ'
3 ὑμῶν αὐτὸν τιμωρήσασθαι. περὶ μὲν ⟨οὖν⟩ τῶν ἄλλων
Ἀρχεστρατίδης ἱκανῶς κατηγόρησε· καὶ γὰρ τοὺς νόμους
ἐπέδειξε καὶ μάρτυρας πάντων παρέσχετο· ὅσα δ' οὗτος
παραλέλοιπεν, ἐγὼ καθ' ἕκαστον ὑμᾶς διδάξω. [Ἀνάγνωθι
δέ μοι τὸν νόμον.

ΝΟΜΟΣ.]

4 Εἰκὸς τοίνυν ἐστίν, ὦ ἄνδρες δικασταί, ἐξ οὗ τὴν
εἰρήνην ἐποιησάμεθα, πρῶτον περὶ τούτων νυνὶ δικά-
ζοντας μὴ μόνον δικαστὰς ἀλλὰ καὶ νομοθέτας αὐτοὺς
γενέσθαι, εὖ εἰδότας ὅτι, ὅπως ἂν ὑμεῖς νυνὶ περὶ αὐ-
τῶν γνῶτε, οὕτω καὶ τὸν ἄλλον χρόνον ἡ πόλις αὐτοῖς
χρήσεται. δοκεῖ δέ μοι καὶ πολίτου χρηστοῦ καὶ δι-

---

5 οὕτω ⟨βδελυρῶς vel μιαρῶς⟩ Rs 6 τοσοῦτο ex τοσοῦτον corr. a m. pr. X^s εἰπεῖν ἕκασθ' scripsi: ἐπινικίοις X, ἐπ' ἐνίοις Rs, ἐπ' ἐκείνοις οἷς Tayl 7 ⟨καὶ⟩ τοὺς ἐχθροὺς Jacobs, ⟨αὐτοὺς⟩ τοὺς ἐχθ. pp. Herw, τοὺς ἑτέρους Emperius, ⟨καὶ⟩ τοὺς ἑταίρους Reuss 8 τῶν πατέρων Frb: τοὺς πατέρας X 9 ἡμῖν] ἡμῶν Scal 10 πονηρὸν post Reiskium Schoell: πότερον X, ἐχθρὸν C 11 ὑπὲρ Frb: περὶ X, del. Herw πεπραγμένων O: προγεγραμμένων X 12 οὖν add. C 15 ἀνάγνωθι . . . 17 ΝΟΜΟΣ del. Bake 18 ἐστὶν ⟨ὑμᾶς⟩, ὦ Halb, sed cf. VII 42 XII 85 19 πρώτους Halb 20 ⟨τοὺς⟩ αὐτοὺς post Dobraeum Halb, αὐτοὺς ἡγεῖσθαι Francken

καστου̃ δικαίου ἔργον εἶναι ταύτῃ τοὺς νόμους διαλαμβάνειν, ὅπῃ εἰς τὸν λοιπὸν χρόνον μέλλει συνοίσειν
τῇ πόλει. τολμω̃σι γάρ τινες | λέγειν ὡς οὐδεὶς ἔνοχός 5
ἐστι λιποταξίου οὐδὲ δειλίας· μάχην γὰρ οὐδεμίαν γεγονέναι, τὸν δὲ νόμον κελεύειν, ἐάν τις λίπῃ τὴν τάξιν εἰς τοὐπίσω δειλίας ἕνεκα, μαχομένων τω̃ν ἄλλων, περὶ τούτου τοὺς στρατιώτας δικάζειν. ὁ δὲ νόμος οὐ περὶ τούτων κελεύει μόνον, ἀλλὰ καὶ ὁπόσοι ἂν μὴ παρω̃σιν ἐν τῇ πεζῇ στρατιᾷ. Ἀνάγνωθί μοι τὸν νόμον.

ΝΟΜΟΣ.

Ἀκούετε, ὦ ἄνδρες δικασταί, ὅτι περὶ ἀμφοτέρων 6
κεῖται, καὶ ὅσοι ἂν μάχης οὔσης εἰς τοὐπίσω ἀναχωρήσωσι, καὶ ὅσοι ἂν ἐν τῇ πεζῇ στρατιᾷ μὴ παρω̃σι. σκέψασθε δὲ τίνες εἰσὶν οὓς δεῖ παρεῖναι. οὐχ οἵτινες ἂν τὴν ἡλικίαν ταύτην ἔχωσιν; οὐχ οὓς ἂν οἱ στρατηγοὶ
καταλέξωσιν; ἡγου̃μαι δ', ὦ ἄνδρες δικασταί, ὅλῳ τῷ 7
νόμῳ μόνον αὐτὸν τω̃ν πολιτω̃ν ἔνοχον εἶναι. ἀστρατείας μὲν γὰρ δικαίως ἂν αὐτὸν ἁλω̃ναι, ὅτι καταλεγεὶς ὁπλίτης οὐ συνεξῆλθε μεθ' ὑμω̃ν ⟨στρατευσόμενος, λιποταξίου δὲ ὅτι ἐν τῷ πεζῷ⟩ στρατοπέδῳ μόνος οὐ παρέσχε μετὰ τω̃ν ἄλλων ἑαυτὸν τάξαι, δειλίας δέ, ὅτι δεῖν αὐτὸν μετὰ τω̃ν ὁπλιτω̃ν κινδυνεύειν ἱππεύειν

---

3 οὐδεὶς] οὐδαμω̃ς pp. Herw 4 λειποταξίου X 6 εἰς τοὐπίσω deleverit Dobr, ἀναχωρω̃ν addere malit Rs 7 στρατιώτας] στρατηγοὺς Schott, στρατηγου̃ντας Markl 12 ἐὰν X 15 ταύτην del. vel τὴν τακτὴν ἡλ. Rs An. II 64 17 ἀστρατίας X 18 ὅτι] ὅτι ὃ X^{bk}, ὃ X^{h} 19 ὁπλίτης Steph: ὁ πατὴρ X οὐ συνεξῆλθε scripsi: οὐκ ἐπεξῆλθε X, οὐκ ἐξῆλθε Rs λιποταξίου δὲ ὅτι hic add. Dobr (ante οὐκ ἐπεξῆλθε add. C), ἐν τῷ add. Dobr στρατευσόμενος et 20 πεζῷ addidi Jahn. ann. CXV 271, ὅτι ὁπλ. καταλ. οὐ παρῆν, λιπ. δὲ ὅτι οὐκ ἐξῆλθε μεθ' ὑμω̃ν στρατοπεδευσόμενος, οὐδὲ παρέσχε Frb 22 δεῖν αὐτὸν Schott: δεῖ ἕκαστον X, δεῖν ἕκαστον Bekker ὁπλιτω̃ν Steph: πολιτω̃ν X

8 *εἵλετο. καίτοι φασὶν αὐτὸν ταύτην τὴν ἀπολογίαν ποιήσεσθαι, ὡς ἐπειδήπερ ἵππευεν, οὐδὲν ἠδίκει τὴν πόλιν. ἐγὼ δ' ἡγοῦμαι διὰ τοῦθ' ὑμᾶς δικαίως ἂν αὐτῷ ὀργίζεσθαι, ὅτι τοῦ νόμου κελεύοντος, ἐάν τις ἀδοκίμαστος ἱππεύῃ, ἄτιμον εἶναι, ἐτόλμησεν ἀδοκίμαστος ἱππεύειν. Καί μοι ἀνάγνωθι τὸν νόμον.*

ΝΟΜΟΣ.

9 *Οὗτος τοίνυν εἰς τοῦτ' ἦλθε πονηρίας, καὶ οὕτως ὑμῶν κατεφρόνησε καὶ τοὺς πολεμίους ἔδεισε καὶ ἱππεύειν ἐπεθύμησε καὶ τῶν νόμων οὐκ ἐφρόντισεν, ὥστε οὐδὲν αὐτῷ τούτων τῶν κινδύνων ἐμέλησεν, ἀλλ' ἐβουλήθη καὶ ἄτιμος εἶναι [καὶ τὰ χρήματ' αὐτοῦ δημευθῆναι] καὶ πάσαις ταῖς κειμέναις ζημίαις ἔνοχος γενέσθαι μᾶλλον ἢ μετὰ τῶν πολιτῶν εἶναι καὶ ὁπλίτης*
10 *γενέσθαι. καὶ ἕτεροι μὲν οὐδεπώποτε ὁπλιτεύσαντες, ἱππεύσαντες δὲ καὶ τὸν ἄλλον χρόνον καὶ πολλὰ κακὰ τοὺς πολεμίους πεποιηκότες, οὐκ ἐτόλμησαν ἐπὶ τοὺς ἵππους ἀναβῆναι, δεδιότες ὑμᾶς καὶ τὸν νόμον· οὕτω γὰρ ἦσαν παρεσκευασμένοι, οὐχ ὡς ἀπολουμένης τῆς πόλεως, ἀλλ' ὡς σωθησομένης καὶ μεγάλης ἐσομένης καὶ τιμωρησομένης τοὺς ἀδικοῦντας· Ἀλκιβιάδης δ' ἐτόλμησεν ἀναβῆναι, οὔτε εὔνους ὢν τῷ πλήθει οὔτε πρότερον ἱππεύσας οὔτε νῦν ἐπιστάμενος οὔτε ὑφ' ὑμῶν δοκιμασθείς, ὡς οὐκ ἐξεσόμενον τῇ πόλει δίκην παρὰ*
11 *τῶν ἀδικούντων λαμβάνειν. ἐνθυμηθῆναι δὲ χρὴ ὅτι,*

1 *ποιήσεσθαι* Markl: *ποιήσασθαι* X 8 *οὗτος* C: *ὅτι* X, *ἔτι* Cont, *ὁδὶ* Rs, *ὅδε* Auger 12 *καὶ* . . . 13 *δημευθῆναι* delevi 14 *πολιτῶν*] *ὁπλιτῶν* Rs, *καὶ ὁπλ. γενέσθαι* del. Frb ad Reiskii mentem 16 *ἱππεύσαντες* Steph: *ἵππου ὄντες* X, *ἱππεύοντες* Emperius *καὶ* ⟨*πάντα*⟩ *τὸν* Rs, *καὶ* om. C et Bekker *χρ. πολλὰ καὶ κακ.* Francken 25 *χρὴ ὅτι* C: *χρὴ ὅτ'* X

*εἰ ἐξέσται ὅ τι ἄν τις βούληται ποιεῖν, οὐδὲν ὄφελος νόμους κεῖσθαι ἢ ὑμᾶς συλλέγεσθαι ἢ στρατηγοὺς αἱρεῖσθαι. θαυμάζω δέ, ὦ ἄνδρες δικασταί, εἴ τις ἀξιοῖ, ἐὰν μέν τις προσιόντων τῶν πολεμίων τῆς πρώτης τάξεως τεταγμένος τῆς δευτέρας γένηται, τούτου μὲν δειλίαν καταψηφίζεσθαι, ἐὰν δέ τις ἐν τοῖς ὁπλίταις τεταγμένος ἐν τοῖς ἱππεῦσιν ἀναφανῇ, τούτῳ συγγνώ-
μην ἔχειν. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ἡγοῦμαι* 12
*δικάζειν ὑμᾶς οὐ μόνον τῶν ἐξαμαρτανόντων ἕνεκα, ἀλλ' ἵνα καὶ τοὺς ἄλλους τῶν ἀκοσμούντων σωφρονεστέρους ποιῆτε. ἐὰν μὲν τοίνυν τοὺς ἀγνῶτας κολάζητε, οὐδεὶς ἔσται τῶν ἄλλων βελτίων· οὐδεὶς γὰρ εἴσεται τὰ ὑφ' ὑμῶν καταψηφισθέντα· ἐὰν δὲ τοὺς ἐπιφανεστάτους τῶν ἐξαμαρτανόντων τιμωρῆσθε, πάντες πεύσονται, ὥστε τούτῳ παραδείγματι χρώμενοι βελτίους ἔσον-
ται οἱ πολῖται. ἐὰν τοίνυν τούτου καταψηφίσησθε, οὐ* 13
*μόνον οἱ ἐν τῇ πόλει εἴσονται, ἀλλὰ καὶ οἱ σύμμαχοι αἰσθήσονται καὶ οἱ πολέμιοι πεύσονται, καὶ ἡγήσονται πολὺ πλείονος ἀξίαν εἶναι τὴν πόλιν, ἐὰν ὁρῶσιν ἐπὶ τοῖς τοιούτοις τῶν ἁμαρτημάτων μάλισθ' ὑμᾶς ὀργιζομένους καὶ μηδεμιᾶς συγγνώμης τοὺς ἀκοσμοῦντας ἐν
τῷ πολέμῳ τυγχάνοντας. ἐνθυμεῖσθε δ', ὦ ἄνδρες δι-* 14
*καστaί, ὅτι τῶν στρατιωτῶν οἱ μὲν κάμνοντες ἐτύγχανον, οἱ δὲ ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, καὶ ἡδέως ἂν οἱ μὲν ἐν ταῖς πόλεσι καταμείναντες ἐθεραπεύοντο, οἱ δὲ οἴκαδ' ἀπελθόντες τῶν οἰκείων | ἐπεμέλοντο, οἱ δὲ ψιλοὶ
ἐστρατεύοντο, οἱ δ' ἐν τοῖς ἱππεῦσιν ἐκινδύνευον· ἀλλ'* 15

---

12 *εἴσεται τὸν ὑφ'* Rs, *τὰ ὑφ' ὑμῶν ψηφισθέντα* Frb 16 *οἱ* ante *πολῖται* del. Dobr *καταψηφίσησθε* Coraes: *καταψηφιεῖσθε* X, quo servato idem Cor. *εἰ* scribi iubet 17 *εἴσονται* C: *ἔσονται* X 26 *ψιλοὶ* Cont: *φίλοι* X, *ἐν ψιλοῖς* Rs 27 *ἐκινδύνευον* del. Dobr

ὅμως οὐκ ἐτολμᾶτε ἀπολιπεῖν τὰς τάξεις οὐδὲ τἀρεστὰ ὑμῖν αὐτοῖς αἱρεῖσθαι, ἀλλὰ πολὺ μᾶλλον ἐφοβεῖσθε τοὺς τῆς πόλεως νόμους ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον. ὧν χρὴ μεμνημένους ὑμᾶς νυνὶ τὴν ψῆφον ⟨φέρειν⟩, καὶ πᾶσι φανερὸν ποιεῖν ὅτι Ἀθηναίων οἱ μὴ βουλόμενοι τοῖς πολεμίοις μάχεσθαι ὑφ' ὑμῶν κακῶς πείσονται.

16 Ἡγοῦμαι δέ, ὦ ἄνδρες δικασταί, περὶ μὲν τοῦ νόμου καὶ αὐτοῦ τοῦ πράγματος οὐχ ἕξειν αὐτοὺς ὅ τι λέξουσιν· ἀναβαίνοντες δ' ὑμᾶς ἐξαιτήσονται καὶ ἀντιβολήσουσιν, οὐκ ἀξιοῦντες τοῦ Ἀλκιβιάδου ὑέος τοσαύτην ζημίαν καταγνῶναι, ὡς ἐκεῖνον πολλῶν ἀγαθῶν ἀλλ' οὐχὶ πολλῶν κακῶν αἴτιον γεγενημένον, ⟨ὃν⟩ εἰ τηλικοῦτον ὄντα ἀπεκτείνατε, ὅτε πρῶτον εἰς ὑμᾶς ἐλάβετε ἐξαμαρτάνοντα, οὐκ ἂν ἐγένοντο συμφοραὶ τοσαῦται τῇ
17 πόλει. δεινὸν δέ μοι δοκεῖ, ὦ ἄνδρες δικασταί, εἶναι, εἰ αὐτοῦ μὲν ἐκείνου θάνατον κατέγνωτε, τοῦ δὲ ὑέος ἀδικοῦντος δι' ἐκεῖνον ἀποψηφιεῖσθε, ὃς αὐτὸς μὲν οὐκ ἐτόλμα μεθ' ὑμῶν μάχεσθαι, ὁ δὲ πατὴρ αὐτοῦ μετὰ τῶν πολεμίων ἠξίου στρατεύεσθαι. καὶ ὅτε μὲν παῖς ὢν οὔπω δῆλος ἦν ὁποῖός τις ἔσται, διὰ τὰ ⟨τοῦ⟩ πατρὸς ἁμαρτήματα ὀλίγου τοῖς ἕνδεκα παρεδόθη· ἐπειδὴ δὲ πρὸς τοῖς ἐκείνῳ πεπραγμένοις ἐπίστασθε καὶ τὴν τούτου πονηρίαν, διὰ τὸν πατέρα ἐλεεῖν αὐτὸν ἀξιώσετε;

---

3 πολεμίους lib. Vind.: πολέμους X 5 φέρειν add. C, lacunam habet X 10 ἀναβάντες Boekmeijer ὑμᾶς αἰτήσονται Auger, ὑμᾶς pone ἀντιβολήσουσιν transponit Frb, sed cf. [XX] 35 11 ὑιέος a pr. m. ex ὑιέως X 12 ζημίαν scripsi: δειλίαν X, δίκην Halb, τοσ. δειλ. del. Hirschig ἐκείνου . . . γεγενημένου Rs 13 ὃν add. C, Cont 16 εἶναι del. Halb, pone δοκεῖ transpon. Gebauer, sed cf. XIII 47 19 ὑμῶν C: ἡμῶν X 20 ⟨ἐφ' ὑμᾶς⟩ στρατ. malit Rs 21 ὢν Markl, οὔπω C (qui habet ἦν καὶ οὔπω): ὅτε μὲν παῖς ἦν· οὕτω δῆλος X τὰ τοῦ Rs: τὰ X, τοῦ C

οὐκ οὖν δεινόν, ὦ ἄνδρες δικασταί, τούτους μὲν οὕτως 18
εὐτυχεῖς εἶναι ὥστ', ἐπειδὰν ἐξαμαρτάνοντες ληφθῶσι,
διὰ τὸ αὐτῶν γένος σῴζεσθαι, ἡμᾶς δέ, εἰ ἐδυστυχήσα-
μεν διὰ τοὺς οὕτως ἀτακτοῦντας, μηδὲν ἂν δύνασθαι
παρὰ τῶν πολεμίων ἐξαιτήσασθαι μηδ' ἂν τὰς τῶν προ-
γόνων ἀρετάς; καίτοι πολλαὶ καὶ μεγάλαι καὶ ὑπὲρ ἁπάν- 19
των τῶν Ἑλλήνων γεγόνασι, καὶ οὐδὲν ὅμοιαι τοῖς ὑπὸ
τούτων περὶ τὴν πόλιν πεπραγμένοις, ὦ ἄνδρες δικασταί.
εἰ δ' ἐκεῖνοι δοκοῦσι βελτίους εἶναι σῴζοντες τοὺς φί-
λους, δῆλον ὅτι καὶ ὑμεῖς ἀμείνους δόξετε εἶναι τιμω-
ρούμενοι τοὺς ἐχθρούς. ἀξιῶ δ', ὦ ἄνδρες δικασταί, 20
ἐὰν μέν τινες τῶν συγγενῶν αὐτὸν ἐξαιτῶνται, ὀργί-
ζεσθαι ὅτι τούτου μὲν οὐκ ἐπεχείρησαν δεηθῆναι, ἢ
δεηθέντες οὐκ ἐδύναντο εὑρέσθαι, ποιεῖν τὰ ὑπὸ τῆς
πόλεως προσταττόμενα, ὑμᾶς δὲ πείθειν πειρῶνται ὡς
οὐ χρὴ παρὰ τῶν ἀδικούντων δίκην λαμβάνειν· ἐὰν δέ 21
τινες τῶν ἀρχόντων βοηθῶσιν αὐτῷ ἐπίδειξιν μὲν τῆς
ἑαυτῶν δυνάμεως ποιούμενοι, φιλοτιμούμενοι δὲ ὅτι καὶ
τοὺς φανερῶς ἡμαρτηκότας σῴζειν δύνανται, ὑμᾶς δὲ
χρὴ ὑπολαμβάνειν πρῶτον μὲν ὅτι, εἰ πάντες Ἀλκιβιάδῃ
ὅμοιοι ἐγένοντο, οὐδὲν ἂν ἔδει αὐτοὺς στρατηγεῖν (οὐδὲ
γὰρ εἶχον ὅτου ἡγοῦντο), ἔπειθ' ὅτι πολὺ μᾶλλον αὐ-
τοὺς προσήκει τῶν λιπόντων τὴν τάξιν κατηγορεῖν ἢ
ὑπὲρ τῶν τοιούτων ἀπολογεῖσθαι. τίς γὰρ ἔστιν ἐλπὶς

---

4 *μηδὲν* Tayl: *μηδένα* X, quo servato *μηδὲ διὰ τὰς* C, id quod multis placuit, *μηδ' ἂν διὰ* Dobr, *ἀρετὰς* ⟨*λέγῃ*⟩ Rs; *μηδ' αὐτὰς τὰς* Auger 13 *ἢ δεηθέντες . . .* 14 *εὑρέσθαι* del. Lipsius 15 *προσταττόμενα* C, Steph: *πραττόμενα* X, ut infra *ὑμᾶς* C: *ὑμεῖς* X 18 *ποιοῦνται φιλοτιμούμενοι ὅτι* Rs 19 *δὲ* pone *ὑμᾶς* del. Cob 21 *ἂν* C, Markl: *ἀλλ'* X *αὐτοὺς* P. Müller: *τοῦ* X, *τῶν στρατηγῶν* Rs 22 *γὰρ* ⟨*ἂν*⟩ *εἶχον* Baiter *ἡγοῖντο* Markl 23 *προσῆκε* pp. Herw 24 *γὰρ ἔστιν* scripsi: *γάρ ἐστιν* X

τοὺς ἄλλους ἐθελήσειν ποιεῖν τὰ ὑπὸ τῶν στρατηγῶν
προσταττόμενα, ὅταν αὐτοὶ οὗτοι τοὺς ἀκοσμοῦντας
22 σῴζειν πειρῶνται; ἐγὼ τοίνυν ἀξιῶ, ἐὰν μὲν ἀποδείξω-
σιν οἱ λέγοντες καὶ αἰτούμενοι ὑπὲρ Ἀλκιβιάδου ὡς
ἐστρατεύσατο ἐν τοῖς ὁπλίταις ἢ ὡς ἵππευε δεδοκιμα-
σμένος, ἀποψηφίσασθαι· ἐὰν δὲ μηδὲν ἔχοντες δίκαιον
κελεύωσιν αὐτοῖς χαρίζεσθαι, μεμνῆσθαι χρὴ ὅτι διδά-
σκουσιν ὑμᾶς ἐπιορκεῖν καὶ τοῖς νόμοις μὴ πείθεσθαι,
καὶ ὅτι λίαν προθύμως τοῖς ἀδικοῦσι βοηθοῦντες πολ-
λοὺς τῶν αὐτῶν ἔργων ἐπιθυμεῖν ποιήσουσι.
23 Θαυμάζω δὲ μάλιστα, ὦ ἄνδρες δικασταί, εἴ τις ὑμῶν
τὸν Ἀλκιβιάδην ἀξιώσει διὰ μὲν τοὺς βοηθοῦντας σῴ-
ζεσθαι, διὰ δὲ τὴν αὐτοῦ πονηρίαν μὴ ἀπολέσθαι. ἧς
ἄξιον ὑμᾶς ἀκοῦσαι, ἵν' ἐπίστησθε ὅτι οὐκ ἂν εἰκότως
αὐτοῦ ἀποψηφίζοισθε, ὡς ταῦτα μὲν ἡμαρτηκότος, τὰ δ'
ἄλλα πολίτου χρηστοῦ γεγενημένου· ἐκ γὰρ τῶν ἄλλων
τῶν τούτῳ πεπραγμένων δικαίως ἂν αὐτοῦ θάνατον
24 καταψηφίζοισθε. προσήκει δ' ὑμῖν περὶ αὐτῶν εἰδέναι·
ἐπειδὴ γὰρ καὶ τῶν | ἀπολογουμένων ἀποδέχεσθε λεγόν-
των τὰς σφετέρας αὐτῶν ἀρετὰς καὶ τὰς τῶν προγόνων
εὐεργεσίας, εἰκὸς ὑμᾶς καὶ τῶν κατηγόρων ἀκροάσασθαι,
ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πολλὰ εἰς ὑμᾶς ἡμαρ-
τηκότας καὶ τοὺς προγόνους αὐτῶν πολλῶν κακῶν αἰτί-
25 ους γεγενημένους. Οὗτος γὰρ παῖς μὲν ὢν παρ' Ἀρχε-
δήμῳ τῷ γλάμωνι, οὐκ ὀλίγα τῶν ὑμετέρων ὑφῃρημένῳ,

2 πραττόμενα, ὅταν X 5 ἵππευε Markl: ἱππεύειν X, ἱππεύει Scal, ἱππεύειν ⟨ἦν⟩ Bartelt 7 αὐτοῖς χαρίζεσθαι Dobr: αὐτοὶ ὀργισθέσθαι X[1], αὐτοὶ χαρίζεσθαι Auger, αὐτῷ χαρίζεσθαι Foertsch, αὐτῷ ⟨μὴ⟩ ὀργίζεσθαι Markl 13 τὴν αὑτοῦ πον. Markl 14 οὐδ' ἂν εἰκ. malit Frb 19 ἀποδέχεσθαι X 21 ἀκροάσασθαι P. Müller cf. XXX 1: ἀκροᾶσθαι W 23 αἰτίους ⟨ὑμῖν⟩ γεγ. malit Rs 24 παῖς μὲν ⟨ἔτι⟩ ὢν Dobr 25 ⟨τῷ⟩ οὐκ Rs

πολλῶν ὁρώντων ἔπινεν ὑπὸ τῷ αὐτῷ ἱματίῳ κατακείμενος, ἐκώμαζε ⟨δὲ⟩ μεθ' ἡμέραν, ἄνηβος ἑταίραν ἔχων, μιμούμενος τοὺς ἑαυτοῦ προγόνους, καὶ ἡγούμενος οὐκ ἂν δύνασθαι πρεσβύτερος ὢν λαμπρὸς γενέσθαι, εἰ μὴ νέος ὢν πονηρότατος δόξει εἶναι. μετεπέμφθη δ' ὑπὸ **26** *Ἀλκιβιάδου, ἐπειδὴ φανερῶς ἐξημάρτανε. καίτοι ποῖόν τινα χρὴ αὐτὸν ὑφ' ὑμῶν νομίζεσθαι εἶναι, ὅστις κἀκείνῳ τοιαῦτ' ἐπιτηδεύων διεβέβλητο, ὃς τοὺς ἄλλους ταῦτ' ἐδίδασκε; μετὰ Θεοτίμου δὲ ἐπιβουλεύσας τῷ πατρὶ Ὄρνους προὔδωκεν. ὁ δὲ παραλαβὼν τὸ χωρίον πρότερον μὲν ὕβριζεν αὐτὸν ὡραῖον ὄντα, τελευτῶν δὲ δήσας ἀργύριον εἰσεπράττετο. ὁ δὲ πατὴρ αὐτὸν οὕτως ἐμίσει* 27 *σφόδρα, ὥστ' οὐδ' ⟨ἂν⟩ ἀποθανόντος ἔφασκε τὰ ὀστᾶ κομίσασθαι. τελευτήσαντος δ' ἐκείνου ἐραστὴς γενόμενος Ἀρχεβιάδης αὐτὸν ἐλύσατο. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατακυβεύσας τὰ ὄντα, ἐκ Λευκῆς ἀκτῆς ὁρμώμενος τοὺς φίλους κατεπόντιζεν. ὅσα μὲν οὖν, ὦ ἄνδρες δικασταί,* 28 *ἢ εἰς τοὺς πολίτας ἢ εἰς τοὺς ξένους ἢ περὶ τοὺς αὑτοῦ οἰκείους ἢ περὶ τοὺς ἄλλους ἡμάρτηκε, μακρὸν ἂν εἴη λέγειν· Ἱππόνικος δὲ πολλοὺς παρακαλέσας ἐξέπεμψε τὴν*

---

1 πολλῶν ⟨μὲν⟩ ὁρ. Rauch ἔπινεν Rs: ἔτι μὲν X, ἔπινε ⟨μὲν⟩ Tur αὐτῷ ἱματίῳ Tayl: αὐτόματι X, αὐτῷ στρωματεῖ Rs, ἐπὶ τῷ αὐτῷ στρώματι Cont, αὐτῷ εἵματι Jacobs
2 δὲ add. Rs 5 δόξει lib. Coisl. et Vind.: δείξει X, δόξειεν C ἀπεπέμφθη Frb, immo Athenis pater filium in Thraciam arcessivit 6 Ἀρχιβιάδου Tayl, Ἀρχεβιάδου Rs 7 αὐτὸν et εἶναι del. Francken 8 ὃς C, Rs: ὡς X 10 Ὄρνους Lipsius cf. Hierocles synecdem. p. 632 Wess. 390 Bekk. Nepos Alc. 7, 4: ὀρνεοὺς X, ὠρεοὺς C, Ὀρνεὰς Markl, Ὀρεοὺς Bekker
11 τελευτῶν δὲ C, Tayl: τελευτῶντά τε X δήσας corr. ex δείσας X 12 ἐμίσει C: μισεῖ X 13 οὐδ' ἂν Rs: οὐδὲ X
15 Ἀρχεβιάδης Rs: ἀρχιβιάδης X 16 κατα(σκευασ)κυβεύσας X Λευκῆς ἀκτῆς cf. Harp. 17 ὦ] ὠὶ X[s] 18 τοὺς ξένους ἢ περὶ τοὺς αὑτοῦ οἰκείους Frb: τοὺς οἰκείους ἢ περὶ τοὺς αὑτοῦ ξένους X

αὐτοῦ γυναῖκα, φάσκων τοῦτον οὐχ ὡς ἀδελφὸν αὐτῆς
ἀλλ' ὡς ἄνδρα ἐκείνης εἰς τὴν οἰκίαν εἰσιέναι τὴν αὐ-
29 τοῦ. καὶ τοιαῦθ' ἡμαρτηκότι καὶ οὕτω δεινὰ ⟨καὶ⟩ πολλὰ
καὶ μεγάλα πεποιηκότι οὔτε τῶν γεγενημένων αὐτῷ μέ-
λει οὔτε τῶν μελλόντων ἔσεσθαι, ἀλλ' ὃν ἔδει κοσμιώ-
τατον εἶναι τῶν πολιτῶν, ἀπολογίαν ποιούμενον τὸν
ἑαυτοῦ βίον τῶν τοῦ πατρὸς ἁμαρτημάτων, οὗτος ἑτέ-
ρους ὑβρίζειν πειρᾶται, ὥσπερ δυνάμενος ἂν πολλοστὸν
μέρος ὀνειδῶν τῶν ἑαυτῷ προσόντων τοῖς ἄλλοις μετα-
[Isocr. XVI 10] δοῦναι, καὶ ταῦθ' ὑὸς ὢν Ἀλκιβιάδου, ⟨ὃς⟩ ἔπεισε μὲν
30 Δεκέλειαν Λακεδαιμονίους ἐπιτειχίσαι, ἐπὶ δὲ τὰς νή-
σους ἀποστήσων ἔπλευσε, διδάσκαλος δὲ τῶν τῆς πόλεως
κακῶν ἐγένετο, πλεονάκις δὲ μετὰ τῶν ἐχθρῶν ἐπὶ τὴν
πατρίδα ἐστρατεύσατο ἢ μετὰ τῶν πολιτῶν ἐπ' ἐκείνους.
ἀνθ' ὧν καὶ ὑμῖν καὶ τοῖς μέλλουσιν ἔσεσθαι τιμω-
31 ρεῖσθαι προσήκει ὅντινα λαμβάνετε τούτων. καίτοι σφό-
δρα εἴθισται λέγειν ὡς οὐκ εἰκός ἐστι τὸν μὲν πατέρα
αὐτοῦ κατελθόντα δωρειὰς παρὰ τοῦ δήμου λαβεῖν, τοῦ-
τον δ' ἀδίκως διὰ τὴν φυγὴν τὴν ἐκείνου διαβεβλῆσθαι.
[Isocr. XVI 11] ἐμοὶ δὲ δοκεῖ δεινὸν εἶναι, εἰ τὰς μὲν δωρειὰς αὐτοῦ
ἀφείλεσθε ὡς οὐ δικαίως δεδωκότες, τούτου δὲ ἀδικοῦν-
τος ἀποψηφιεῖσθε ὡς τοῦ πατρὸς χρηστοῦ περὶ τὴν πό-

1 οὐχ ὡς Cont: ὡς οὐκ X, quibus servatis alterum ὡς del. Kayser αὐτῆς del. Scheibe, ὄντα Zaka 2 ἀλλ' ὡς ἄνδρα ἐκ. del. Herw 3 καὶ e libr. Vindob. add. Rs 4 γεγενημένων a pr. m. corr. ex γεγραμμένων X, πεπραγμένων vulgo μέλει Kayser: μεταμέλει X, μεταμ. ⟨οὐδὲν⟩ Francken 5 μέλει add. pone οὔτε Rs, pone ἔσεσθαι Frb ἀλλ' ὃν Rs: ὃν μᾶλλον X 8 πολοστὸν X 9 ὀνειδῶν scripsi: τῶν εἰδῶν X, τῶν ὀνειδῶν Markl προσόντων Cob: προσηκόντων X 10 ὃς add. C 11 δεκέλλειαν X 12 δὲ ⟨πάντων⟩ τῶν Cob 16 λαμβάνετε C: λαμβάνεται X, ἂν λαμβάνητε Rs 17 εἰκός ἐστιν X[1] 19 ἀδίκως del. Boekmeijer, cf. XVI 1 20 δωρεὰς ἐκείνου Auger

λιν γεγενημένου. Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ἄλλων 32
τε πολλῶν ἄξιον ἕνεκα αὐτοῦ καταψηφίσασθαι, καὶ ὅτι
ταῖς ὑμετέραις ἀρεταῖς χρῆται παραδείγμασι περὶ τῆς
ἑαυτοῦ πονηρίας. τολμᾷ γὰρ λέγειν ὡς Ἀλκιβιάδης [Isocr. XVI 12
οὐδὲν δεινὸν εἴργασται ἐπὶ τὴν πατρίδα στρατεύσας· καὶ 33
γὰρ ὑμᾶς φεύγοντας Φυλὴν καταλαβεῖν καὶ δένδρα τε-
μεῖν καὶ πρὸς τὰ τείχη προσβαλεῖν, καὶ ταῦτα ποιήσαν-
τας οὐκ ὄνειδος τοῖς παισὶ καταλιπεῖν, ἀλλὰ τιμὴν παρὰ
πᾶσιν ἀνθρώποις κτήσασθαι, ὡς τῶν αὐτῶν ὄντας ἀξί-
ους ὅσοι φυγόντες μετὰ τῶν πολεμίων ἐπὶ τὴν χώραν
ἐστράτευσαν, καὶ ὅσοι κατῄεσαν Λακεδαιμονίων ἐχόντων
τὴν πόλιν. καὶ μὲν δὴ πᾶσιν ἡγοῦμαι δῆλον εἶναι ὅτι 34
οὗτοι μὲν ἐζήτουν κατιέναι ὡς τὴν μὲν τῆς θαλάττης
ἀρχὴν Λακεδαιμονίοις παραδώσοντες, αὐτοὶ δ' ὑμῶν
ἄρξοντες. τὸ δ' ὑμέτερον πλῆθος κατελθὸν τοὺς μὲν
πολεμίους ἐξήλασε, τῶν δὲ πολιτῶν καὶ τοὺς βουλομέ-
νους δουλεύειν ἠλευθέρωσεν· | ὥστ' οὐχ ὁμοίων τῶν
ἔργων ἀμφοτέροις γεγενημένων τοὺς λόγους ποιεῖται.
Ἀλλ' ὅμως τοσούτων συμφορῶν καὶ οὕτως αὐτῷ μεγά- 35
λων ὑπαρχουσῶν ἐπὶ τῇ τοῦ πατρὸς πονηρίᾳ φιλοτιμεῖ-
ται, καὶ λέγει ὡς οὕτως ἐκεῖνος μέγα ἐδύνατο, ὥστε τῇ
πόλει πάντων ⟨τῶν⟩ κακῶν αἴτιος γεγένηται. καίτοι τίς
οὕτως ἄπειρος τῆς ἑαυτοῦ πατρίδος, ὃς οὐκ ἂν βουλό-
μενος εἶναι πονηρὸς εἰσηγήσαιτο μὲν τοῖς πολεμίοις ἃ
χρὴ καταλαβεῖν τῶν χωρίων, δηλώσειε δ' ἂν ἃ κακῶς

---

2 *εἵνεκα* X 3 *παραδείγμασι* Cob, cf. Isocr. XII 16, Demosth. IV 3: *παραδείγματι* X 4 *τῆς αὐτοῦ* vel *τῆς τοῦ πατρὸς* Bake, *τῆς ἐκείνου* malit Frb 5 *στρατεύσας* Markl: *στρατεύσασθαι* X, *στρατευσάμενος* Cont 6 *Φυλὴν* C: *φυλακὴν* X 16 *βουλομένους* a pr. m. corr. ex *βουλομένοις* X 18 *γεγενημένων* ⟨*ὡς περὶ ὁμοίων* vel *μάτην*⟩ *τοὺς* malit Rs 19 *αὐτῷ* a pr. m. postea additum in X, del. Scheibe 22 *τῶν* add. Cob

φυλάττεται τῶν φρουρίων, διδάξειε δ' ἂν ἃ πονηρῶς
ἔχει τῶν πραγμάτων, μηνύσειε δ' ἂν τοὺς βουλομένους
36 ἀφίστασθαι τῶν συμμάχων; οὐ γὰρ δήπου, ὅτε μὲν
ἔφευγε, διὰ τὴν δύναμιν κακῶς οἷός τ' ἦν ποιεῖν τὴν
πόλιν, ἐπειδὴ δὲ ὑμᾶς ἐξαπατήσας κατῆλθε καὶ πολλῶν
ἦρξε τριήρων, οὔτε τοὺς πολεμίους ἐδύνατο ἐκ τῆς χώ-
ρας ἐκβαλεῖν, οὔτε Χίους οὓς ἀπέστησε πάλιν φίλους ποι-
Isocr. XVI 11] ῆσαι, οὔτε ἄλλο οὐδὲν ἀγαθὸν ὑμᾶς ἐργάσασθαι. ὥστ'
37 οὐ χαλεπὸν γνῶναι ὅτι Ἀλκιβιάδης δυνάμει μὲν οὐδὲν
τῶν ἄλλων διέφερε, πονηρίᾳ δὲ τῶν πολιτῶν πρῶτος ἦν.
ἃ μὲν γὰρ ᾔδει τῶν ὑμετέρων κακῶς ἔχοντα, μηνυτὴς
αὐτῶν Λακεδαιμονίοις ἐγένετο· ἐπειδὴ δ' ἔδει αὐτὸν
στρατηγεῖν, οὐδὲν κακὸν ποιεῖν ἐκείνους ἐδύνατο, ἀλλ'
ὑποσχόμενος δι' ἑαυτὸν παρέξειν βασιλέα χρήματα, πλεῖν
38 ἢ διακόσια τάλαντα τῆς πόλεως ὑφείλετο. καὶ οὕτω πολλὰ
ἐνόμιζεν εἰς ὑμᾶς ἡμαρτηκέναι, ὥστε λέγειν δυνάμενος
καὶ φίλων ὄντων καὶ χρήματα κεκτημένος οὐδέποτ' ἐλθὼν
εὐθύνας ἐτόλμησε δοῦναι, ἀλλὰ φυγὴν αὑτοῦ καταγνοὺς
καὶ Θρᾴκης καὶ πάσης πόλεως ἐβούλετο πολίτης γενέσθαι
μᾶλλον ἢ τῆς πατρίδος εἶναι τῆς ἑαυτοῦ. καὶ τὸ τελευ-
ταῖον, ὦ ἄνδρες δικασταί, ὑπερβολὴν ποιησάμενος τῆς
προτέρας πονηρίας ἐτόλμησε τὰς ναῦς Λυσάνδρῳ μετὰ
39 Ἀδειμάντου προδοῦναι. ὥστε εἴ τις ὑμῶν ἢ τοὺς τεθνεῶ-
τας ἐν ⟨τῇ⟩ ναυμαχίᾳ ἐλεεῖ, ἢ ὑπὲρ τῶν δουλευσάντων
τοῖς πολεμίοις αἰσχύνεται, ἢ τῶν τειχῶν καθῃρημένων
ἀγανακτεῖ, ἢ Λακεδαιμονίους μισεῖ, ἢ τοῖς τριάκοντα
ὀργίζεται, τούτων ἁπάντων χρὴ τὸν τούτου πατέρα αἴ-

3 ὅτε C: ὅταν X 4 διὰ τὴν δύναμιν ante ὅτε transp. Francken, perperam, quamquam multis placuit 5 κατῆλθε ⟨καὶ παντὸς τοῦ στρατοῦ ἡγήσατο⟩ καὶ vel simile quid add. Roehl 10 πολιτῶν] πάντων Rs An. II 66 12 αὐτῶν Markl: αὐτοῖς X, αὐτὸς Cont 24 τῇ add. Rs

τιον ἡγεῖσθαι, καὶ ἐνθυμηθῆναι ὅτι Ἀλκιβιάδην μὲν τὸν πρόπαππον αὐτοῦ καὶ τὸν πρὸς μητρὸς πάππον Μεγακλέα οἱ ὑμέτεροι πρόγονοι δὶς ἀμφοτέρους ἐξωστράκισαν, τοῦ δὲ πατρὸς αὐτοῦ οἱ πρεσβύτεροι ὑμῶν θάνατον κατέγνωσαν· ὥστε νῦν χρὴ ἡγησαμένους πατρικὸν **40** *ἐχθρὸν τοῦτον εἶναι τῇ πόλει καταψηφίσασθαι, καὶ μήτε ἔλεον μήτε συγγνώμην μήτε χάριν μηδεμίαν περὶ πλείονος ποιήσασθαι τῶν νόμων τῶν κειμένων καὶ τῶν ὅρκων οὓς ὠμόσατε.*

Σκέψασθαι δὲ χρή, ὦ ἄνδρες δικασταί, διὰ τί ἄν τις **41** *τοιούτων ἀνδρῶν φείσαιτο; πότερον ὡς πρὸς μὲν τὴν πόλιν δεδυστυχήκασιν, ἄλλως δὲ κόσμιοί εἰσι καὶ σωφρόνως βεβιώκασιν; ⟨ἀλλ'⟩ οὐχ οἱ μὲν πολλοὶ αὐτῶν ἡταιρήκασιν, οἱ δ' ἀδελφαῖς συγγεγόνασι, τοῖς δ' ἐκ θυγατέρων παῖδες γεγόνασιν, οἱ δὲ μυστήρια πεποιήκασι* **42** *καὶ τοὺς Ἑρμᾶς περικεκόφασι καὶ περὶ πάντας τοὺς θεοὺς ἠσεβήκασι καὶ εἰς ἅπασαν τὴν πόλιν ἡμαρτήκασιν, ἀδίκως καὶ παρανόμως καὶ πρὸς τοὺς ἄλλους πολιτευόμενοι καὶ πρὸς σφᾶς αὐτοὺς διακείμενοι, οὐδεμιᾶς τόλμης ἀπεχόμενοι, οὐδὲ ἔργου δεινοῦ ἄπειροι γεγενημένοι; ἀλλὰ καὶ πεπόνθασιν ἅπαντα καὶ πεποιήκασιν ἅπερ πε-*

---

2 *τὸν πρὸς μητρὸς* X, *πάππον* add. Harp. v. *Ἀλκιβιάδης: πρόπαππος τοῦ προειρημένου, ὅν φησι Λυσίας . . . αὐτόν τε καὶ τὸν πρὸς μητρὸς (πατρὸς* BCFHK) *πάππον δὶς ἐξοστρακισθῆναι. πατρὸς* pone *τὸν* add. Tur, *τὸν τοῦ πατρὸς πάππον τὸν πρὸς μητρὸς* Frb, sed errasse orator videtur 3 *ἡμέτεροι* X 13 *ἀλλ'* add. Frb 15 *δὲ τὰ μυστήρια* Hirschig 18 *πολιτευόμενοι καὶ π. σφ. αὐ. διακείμενοι* Bekker: *διακείμενοι καὶ π. σφ. αὐ. πολιτευόμενοι* X 20 *οὐδὲ] οὐδενὸς* Steph *ἔργου ⟨οὐδενὸς⟩* Frb 21 *ἀλλὰ . . . πεπόνθασιν* scripsi: *ἀλλ' ἅτε πεπόνθασιν ἅπαντα ἃ πεποιήκασι καὶ πεπόνθασιν* X, *ἀλλὰ καὶ πεπόνθασι καὶ πεποιήκασιν ἅπαντα* C, *ἀλλ' ἅ γε πεπόνθασιν, ἅπαντα αὐτοὶ πεποιηκότες καὶ δικαίως πεπόνθασι* Rs, *ἀλλὰ πεπόνθασί τε ἅπαντα καὶ πεποιήκασι* Frb, *ἀλλ' ἅπερ πε-*

πόνθασιν. οὕτω γὰρ διάκεινται, ὥστ' ἐπὶ μὲν τοῖς καλοῖς
43 *αἰσχύνεσθαι, ἐπὶ δὲ τοῖς κακοῖς φιλοτιμεῖσθαι. Καὶ μὲν*
δή, ὦ ἄνδρες δικασταί, ἤδη τινῶν ἀπεψηφίσασθε ἀδικεῖν
μὲν νομίσαντες, οἰόμενοι δ' εἰς τὸ λοιπὸν χρησίμους
ὑμῖν ἔσεσθαι. τίς οὖν ἐλπὶς ὑπὸ τούτου τι ἀγαθὸν πεί-
σεσθαι τὴν πόλιν, ὃν ὑμεῖς, ὅτι μὲν οὐδενὸς ἄξιός ἐστιν,
ἐπειδὰν ἀπολογῆται, εἴσεσθε, ὅτι δὲ πονηρός ἐστιν ἐκ
44 *τῶν ἄλλων ἐπιτηδευμάτων ᾔσθησθε; Ἀλλὰ μὲν δὴ οὐδ'*
ἂν ἐξελθὼν ἐκ τῆς πόλεως οὐδὲν δύναιτο κακὸν ὑμᾶς
ἐργάσασθαι, | δειλὸς ὢν καὶ πένης καὶ πράττειν ἀδύνα-
τος καὶ τοῖς οἰκείοις διάφορος καὶ ὑπὸ τῶν ἄλλων μισού-
μενος. ὥστ' οὐδὲ τούτων ἕνεκα αὐτὸν ἄξιον φυλάττεσθαι,
45 *ἀλλὰ πολὺ μᾶλλον παράδειγμα ποιῆσαι καὶ τοῖς ἄλλοις*
καὶ τοῖς τούτου φίλοις, οἳ τὰ μὲν προσταττόμενα ποιεῖν
οὐκ ἐθέλουσι, τοιούτων δ' ἔργων ἐπιθυμοῦσι, καὶ περὶ
τῶν σφετέρων αὐτῶν κακῶς βουλευσάμενοι περὶ τῶν
ὑμετέρων δημηγοροῦσιν.

46 *Ἐγὼ μὲν οὖν ὡς ἐδυνάμην ἄριστα κατηγόρηκα, ἐπίστα-*
μαι δ' ὅτι οἱ μὲν ἄλλοι τῶν ἀκροωμένων θαυμάζουσιν,
ὅπως ποθ' οὕτως ἀκριβῶς ἐδυνήθην ἐξευρεῖν τὰ τούτων
ἁμαρτήματα, οὗτος δέ μου καταγελᾷ, ὅτι οὐδὲ πολλοστὸν
47 *μέρος εἴρηκα τῶν τούτοις ὑπαρχόντων κακῶν. ὑμεῖς οὖν*
καὶ τὰ εἰρημένα καὶ τὰ παραλελειμμένα ἀναλογισάμενοι
πολὺ μᾶλλον αὐτοῦ καταψηφίσασθε, ἐνθυμηθέντες ὅτι
ἔνοχος μέν ἐστι τῇ γραφῇ, μεγάλη δ' εὐτυχία τὸ τοιού-

πόνθασιν, ἅπαντα πεποιήκασι, καὶ ἃ πεποιήκασι καὶ πεπόνθασιν Scheibe, *ἀλλὰ πεπόνθασιν ἅπαντα ἃ πεποιήκασι, καὶ πεποιήκασιν ἅπαντα ἃ πεπόνθασιν* P. Müller 2 *κακοῖς*] *αἰσχροῖς* malit Markl 7 *ἀπολογῆται* est in X 8 *ᾔσθησθε* Dobr: *εἴσεσθε* X, *ἐπίστασθε* Cont, *ἴστε* Rs 21 *οὐδὲ τὸ πολοστὸν* X, *τὸ* om. C, *οὐδὲ πολλοστόν τι* Frb, *οὐδέπω πολλ.* Halb

των πολιτῶν ἀπαλλαγῆναι ⟨τῇ⟩ πόλει. Ἀνάγνωθι δ' αὐτοῖς τοὺς νόμους καὶ τοὺς ὅρκους καὶ τὴν γραφήν· καὶ τούτων μεμνημένοι ψηφιοῦνται τὰ δίκαια.

⟨ΝΟΜΟΙ. ΟΡΚΟΙ. ΓΡΑΦΗ.⟩

15.

ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ ΑΣΤΡΑΤΕΙΑΣ.

Ἐγὼ μέν, ὦ ἄνδρες δικασταί, καὶ ὑμᾶς αἰτοῦμαι τὰ 1
δίκαια ψηφίσασθαι, καὶ τῶν στρατηγῶν δέομαι, ἐπεὶ καὶ
ἐν τῇ ἄλλῃ ἀρχῇ πολλοῦ ἄξιοι τῇ πόλει γεγόνασι, καὶ
περὶ τῶν τῆς ἀστρατείας γραφῶν κοινοὺς εἶναι τῷ τε
διώκοντι καὶ τῷ φεύγοντι, καὶ μὴ βοηθοῦντας ᾧ ἂν
βούλωνται πᾶσαν προθυμίαν ἔχειν παρὰ τὸ δίκαιον ὑμᾶς
ψηφίσασθαι, ἐνθυμουμένους ὅτι σφόδρ' ἂν ἠγανακτεῖτε, 2
εἰ ⟨ἐν⟩ τῇ ὑμετέρᾳ δοκιμασίᾳ οἱ θεσμοθέται ἀναβάντες
ὑμῶν ἐδέοντο καταψηφίσασθαι, ἡγούμενοι δεινὸν εἶναι
εἰ οἱ τιθέντες τὸν ἀγῶνα καὶ τὴν ψῆφον διδόντες παρακελεύσονται τῶν μὲν μὴ ⟨καταψηφίζεσθαι τῶν δὲ⟩ καταψηφίζεσθαι.
τί δ' ἂν αἴσχιον ἔθος ἢ δεινότερον πρᾶγμα 3
τούτου ⟨ἐν⟩ τῇ πόλει γένοιτο, εἰ τολμήσει ὁ μὲν ἄρχων
ἐν ταῖς τῶν ἐπικλήρων δίκαις ἀντιβολεῖν καὶ ἱκετεύειν
τοὺς δικαστὰς ὅ τι ἂν βούληται πραχθῆναι, ὁ δὲ πολέ-

1 τῇ secundum Marklandum add. Rs. An. II 66, πόλιν (vel del.) Lipsius, τὴν πόλιν Rauch 3 ψηφιοῦνται C: ψηφίσονται X 4 titulos add. O, Auger 5 XV. 10 ἀστρατίας X κοινοὺς C, Tayl: κοινωνοὺς X 11 ᾧ ἂν Rs: ὡς ἂν X, οἷς ἂν Markl 12 ὑμᾶς ⟨αἰτεῖσθαι⟩ Kayser 14 ἐν add. Rs 15 ἡμῶν ἐδέοντο Dobr ⟨μὴ⟩ καταψ. C, καταψηφίζεσθαι ⟨ἢ μὴ καταψηφίζεσθαι⟩ Emperius 16 διδόντες Tayl: διαδιδόντες X 17 τῶν μὲν Steph: τὸν μὲν X ⟨καταψ. τῶν δὲ⟩ add. Cont, τῶν μὲν καταψηφίζεσθαι τῶν δὲ μὴ Markl, τῶν μέν, τῶν δὲ μὴ καταψ. Rs 19 ἐν add. Frb ⟨ἢ⟩ εἰ Meier τολμήσει ὁ Markl: τολμήσειε X, τολμήσειε μὲν ⟨ὁ⟩ Rs 20 ἐν ταῖς (ante τῶν) Rs: ἐμβὰς X, ἀναβὰς ἐν ταῖς Halb

μαρχος καὶ οἱ ἕνδεκα δεήσονται ἐν ταῖς δίκαις ταῖς ὑφ'
4 ἑαυτῶν εἰσαγομέναις, [ὥσπερ καὶ νῦν]; χρὴ τοίνυν καὶ
ὑπὲρ ὑμῶν αὐτῶν τὴν αὐτὴν γνώμην ἔχειν, ἐνθυμου-
μένους ὅτι οὐδὲν διοίσει ὑμᾶς ἰδίᾳ περὶ τῆς ἀστρατείας
βοηθεῖν, ἢ τούτων τινὰς δεῖσθαι αὐτοὺς τὴν ψῆφον δι-
5 δόντας. σκέψασθε δέ, ὦ ἄνδρες δικασταί, ἐὰν ἱκανὸν γέ-
νηται τεκμήριον ὅτι οὐδείς πω τῶν ἀρχόντων ἐν τῷ
στρατοπέδῳ Ἀλκιβιάδῃ ἦν παρεσκευασμένος. ἐχρῆν γὰρ
αὐτούς, εἴπερ ἀληθῆ λέγουσιν, ἀνακαλεῖν μὲν Πάμφι-
λον, ὅτι ἀφελὼν τὸν ἵππον ἱππέως ἀπεστέρει τὴν πόλιν,
ἐπιβάλλειν δὲ τῷ φυλάρχῳ, ὅτι ἐξελαύνων Ἀλκιβιάδην
ἐκ τῆς φυλῆς ἄκυρον ἐποίει τὴν τούτων τάξιν, κελεύειν
δὲ τὸν ταξίαρχον ἐξαλείφειν αὐτὸν ἐκ τοῦ τῶν ὁπλιτῶν
6 καταλόγου. νῦν δὲ τούτων οὐδὲν ἐποίησαν, ἀλλ' ἐν μὲν
τῷ στρατοπέδῳ περιεώρων αὐτὸν ὑπὸ πάντων προπηλα-
κιζόμενον κἀν τοῖς ἱπποτοξόταις ἱππεύοντα. ἐπειδὴ δὲ
ὑμᾶς δεῖ παρὰ τῶν ἀδικούντων δίκην λαμβάνειν, χαρι-
ζόμενοι μαρτυροῦσιν ὑφ' ἑαυτῶν αὐτὸν τετάχθαι. καί-
τοι δεινόν, ὦ ἄνδρες δικασταί, αὐτοὺς μὲν τοὺς στρατη-
γοὺς ὑπὸ τοῦ δήμου χειροτονηθέντας μὴ ἂν τολμῆσαι
πρότερον ἡμῶν ἡγήσασθαι, ἕως ἐδοκιμάσθησαν κατὰ
τοὺς νόμους, Ἀλκιβιάδην δὲ τολμᾶν παρὰ τοὺς τῆς πό-
7 λεως νόμους ὑπ' αὐτῶν ταχθῆναι. δεινὸν δέ μοι δοκεῖ
εἶναι, ὦ ἄνδρες δικασταί, εἰ τῶν μὲν | δεδοκιμασμένων

---

1 δεήσονται et ταῖς δίκαις del. Francken 2 ὥσπερ καὶ νῦν del. Dobr, post 4 ἰδίᾳ transp. Zaka, ὥσπερ καὶ νῦν ⟨ὑμεῖς⟩ Frb, ὥσπερ ἐκεῖνοι νῦν Rauch, sed ὑμῶν § 4 ad praetores redit 4 διοίσει Bekker, δεήσει X 5 τούτων C: τούτου ὧν X 6 φαίνηται Zaka, εἰ . . . γεγένηται Earle 9 ἐγκαλεῖν μὲν Παμφίλῳ Markl 10 ἀφελὼν Markl: φένων X, ἀφαιρῶν C 16 κἀν] κοὐδ' ἐν pp. Herw 21 ὑμῶν ἡγ. Ald ἕως Dobr: ἕως ἂν X 22 ⟨ὁμολογῆσαι⟩ τολμᾶν et 23 ὑφ' αὐτῶν Lipsius, τολμᾶν ⟨μαρτυρεῖν⟩ Zaka, τολμᾶν ⟨ἀδοκίμαστον⟩ Dobr ὑπ' αὐτῶν del. Francken

ἱππέων οὐκ ἐπὶ τούτοις ἐστὶν ὅντινα βούλονται αὐτοὶ εἰς τοὺς ὁπλίτας καταλέξαι, τῶν δὲ ὁπλιτῶν ἀδοκιμάστων ὄντων ἐπὶ τούτοις ἔσται ὅντιν' ἂν βούλωνται ἱππεύειν. εἰ 8 *μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ὄντες κύριοι πολλῶν* [XVI 13 *βουλομένων μηδένα τῶν ἄλλων ἱππεύειν εἴασαν, οὐκ ἂν δικαίως χαρίζοισθε αὐτοῖς· εἰ δ' ἄκυροι ὄντες ὁμολογήσουσι τάξαι, ἐνθυμεῖσθαι χρὴ ὅτι ὀμωμόκατε τὰ δίκαια γνώσεσθαι, ἀλλ' οὐχ ὅ τι ἂν οὗτοι κελεύωσι ψηφιεῖσθαι· ὥστε οὐδένα χρὴ τῶν δεομένων περὶ πλείονος ὑμῶν αὐτῶν καὶ τῶν ὅρκων ποιεῖσθαι. καὶ μὲν δή, ὦ ἄνδρες* 9 *δικασταί, εἴ τῳ δοκεῖ μεγάλη ἡ ζημία εἶναι καὶ λίαν ἰσχυρὸς ὁ νόμος, μεμνῆσθαι χρὴ ὅτι οὐ νομοθετήσοντες περὶ αὐτῶν ἥκετε, ἀλλὰ κατὰ τοὺς κειμένους νόμους ψηφιούμενοι, οὐδὲ τοὺς ἀδικοῦντας ἐλεήσοντες, ἀλλὰ πολὺ μᾶλλον αὐτοῖς ὀργιούμενοι καὶ ὅλῃ τῇ πόλει βοηθήσοντες, εὖ εἰδότες ὅτι ὑπὲρ τῶν παρεληλυθότων ὀλίγους τιμωρησάμενοι πολλοὺς ποιήσετε κοσμιωτέρους ἐν τοῖς μέλλουσι κινδυνεύειν. χρὴ δέ, ὦ ἄνδρες δικασταί, ὥσπερ* **10** *οὗτος ἀμελήσας τῆς πόλεως τὴν αὑτοῦ σωτηρίαν ἐσκέψατο, οὕτως ὑμᾶς ἀμελήσαντας τούτου τῇ πόλει τὰ βέλτιστα ψηφίσασθαι, ἄλλως τε καὶ ὅρκους ὀμωμοκότας καὶ περὶ Ἀλκιβιάδου μέλλοντας ψηφίσασθαι, ὃς ἐὰν ὑμᾶς ἐξαπατήσῃ, καταγελῶν τῆς πόλεως ἄπεισιν· οὐ γὰρ δὴ χάριν γε ὑμῖν ἀποδώσει τῇ ψήφῳ κρύβδην εὖ παθών, ὃς τῶν φίλων τοὺς φανερῶς αὐτὸν εὖ ποιήσαντας κακῶς ποιεῖ. ὑμεῖς οὖν, ὦ ἄνδρες δικασταί, τὰς τούτων* **11**

1 *τούτων* superscripto *οις* a m. pr. (ante *ἐστὶν*) X 6 *χαρίζοισθε*] *ὀργίζοισθε* Foertsch, *οὐκ ἂν ἀδίκως χαρ.* Markl, *εἰ καὶ μὴ δικαίως, χαρίζοισθε ἂν* Rs, *οὐδ' ἀνάγκη χαρίζεσθαι* Bake 11 *μεγάλη ἡ ζημία* Rs: *μεγάλης ζημίας* X 18 *κινδυνεύειν* del. Frb (vel *κινδύνοις*), *ἐν τοῖς μέλλουσι* utique pro neutro habendum; *κοσμιωτέρως* Kohm 22 *ψηφιεῖσθαι* Cob *ὃς ἂν* C, Steph: *οἷς ἂν* X

δεήσεις περὶ ἐλάττονος ⟨τῶν νόμων⟩ ποιησάμενοι τὰ
δίκαια ψηφίσασθε. ἀποδέδεικται δὲ καταλεγεὶς εἰς τοὺς
ὁπλίτας καὶ λιπὼν τὴν τάξιν καὶ τῶν νόμων κωλυόντων
ἀδοκίμαστος ἱππεύσας, καὶ περὶ ὧν οἱ νόμοι διαρρήδην
οὔτε στρατηγὸν οὔτε ἵππαρχον οὔτε ἄλλον οὐδένα κυ-
ριώτερον ἐκείνων ἀποδεικνύουσι, περὶ τούτων ἰδιώτης
12 *ὢν τὴν ἐξουσίαν αὑτῷ δεδωκώς. ἐγὼ μὲν οὖν καὶ φίλῳ*
ὄντι Ἀρχεστρατίδῃ βοηθῶν, καὶ Ἀλκιβιάδην ἐχθρὸν ὄντα
ἐμαυτοῦ τιμωρούμενος, δέομαι τὰ δίκαια ψηφίσασθαι·
ὑμᾶς δὲ χρὴ τὴν αὐτὴν γνώμην ἔχοντας τὴν ψῆφον φέ-
ρειν, ἥνπερ ὅτε ᾤεσθε πρὸς τοὺς πολεμίους διακινδυ-
νεύσειν.

16.

ΕΝ ΒΟΥΛΗΙ ΜΑΝΤΙΘΕΩΙ ΔΟΚΙΜΑΖΟΜΕΝΩΙ ΑΠΟΛΟΓΙΑ.

1 *Εἰ μὴ συνῄδειν, ὦ βουλή, τοῖς κατηγόροις βουλομέ-*
νοις ἐκ παντὸς τρόπου κακῶς ἐμὲ ποιεῖν, πολλὴν ἂν αὐ-
τοῖς χάριν εἶχον ταύτης τῆς κατηγορίας· ἡγοῦμαι γὰρ
τοῖς ἀδίκως διαβεβλημένοις τούτους εἶναι μεγίστων
ἀγαθῶν αἰτίους, οἵτινες ἂν αὐτοὺς ἀναγκάζωσιν εἰς
2 *ἔλεγχον τῶν αὐτοῖς βεβιωμένων καταστῆναι. ἐγὼ γὰρ*
οὕτω σφόδρα ἐμαυτῷ πιστεύω, ὥστ' ἐλπίζω καὶ εἴ τις
πρός με τυγχάνει ἀηδῶς [ἢ κακῶς] διακείμενος, ἐπειδὰν

---

1 *ἐλάττονος* Markl: *ἐλαττόνων* X *τῶν νόμων* (vel *τῶν ὅρκων*) add. P. Müller 2 *τοῦ δικαίου* Zaka 3 *ὁπλίτας* in marg. a man sec. X: *πολίτας* X 6 *ἀποδεικνύασι* Cob 8 *ἀρχιστρατίδῃ* X 11 *διακινδυνεύσειν* Dobr: *διακινδυνεύειν* 13 XVI. Mantitheum, cuius nomen in titulo solo traditur, eundem esse atque eum, qui apud Demosth. XXXIX 27 commemoratur, U. Koehler probabiliter coniecit Herm. V 10, cf. Kirchner, Prosop. Att. II 50 18 *εἶχον* cf. Poll. V 142 21 *τῶν αὐτοῖς* Wdn, *αὐτοῖς* abesse malit Herw 23 *ἢ κακῶς* del. Rs

ἐμοῦ λέγοντος ἀκούσῃ περὶ τῶν πεπραγμένων, μεταμε-
λήσειν αὐτῷ καὶ πολὺ βελτίω με εἰς τὸν λοιπὸν χρόνον
ἡγήσεσθαι. ἀξιῶ δέ, ὦ βουλή, ἐὰν μὲν τοῦτο μόνον ὑμῖν 3
ἐπιδείξω, ὡς εὔνους εἰμὶ τοῖς καθεστηκόσι πράγμασι καὶ
ὡς ἠνάγκασμαι τῶν αὐτῶν κινδύνων μετέχειν ὑμῖν, μη-
δέν πώ μοι πλέον εἶναι. ἐὰν δὲ φαίνωμαι καὶ τὰ ἄλλα
μετρίως βεβιωκὼς καὶ πολὺ παρὰ τὴν δόξαν καὶ παρὰ
τοὺς λόγους τοὺς τῶν ἐχθρῶν, δέομαι ὑμῶν ἐμὲ μὲν
δοκιμάζειν, τούτους δὲ ἡγεῖσθαι χείρους εἶναι. πρῶτον
δὲ ἀποδείξω ὡς οὐκ ἵππευον [οὔτ' ἐπεδήμουν] ἐπὶ τῶν
τριάκοντα, οὐδὲ μετέσχον τῆς τότε πολιτείας.

Ἡμᾶς γὰρ ὁ πατὴρ πρὸ τῆς ἐν Ἑλλησπόντῳ συμφορᾶς 4
ὡς Σάτυρον τὸν ἐν τῷ Πόντῳ διαιτησομένους ἐξέπεμψε,
καὶ οὔτε | τῶν τειχῶν καθαιρουμένων ⟨ἐπεδημοῦμεν⟩
οὔτε μεθισταμένης τῆς πολιτείας, ἀλλ' ἤλθομεν πρὶν
τοὺς ἀπὸ Φυλῆς εἰς τὸν Πειραιᾶ κατελθεῖν πρότερον
πένθ' ἡμέραις. καίτοι οὔτε ἡμᾶς εἰκὸς ἦν εἰς τοιοῦτον 5
καιρὸν ἀφιγμένους ἐπιθυμεῖν μετέχειν τῶν ἀλλοτρίων
κινδύνων, οὔτ' ἐκεῖνοι φαίνονται τοιαύτην γνώμην ἔχον-
τες ὥστε καὶ τοῖς ἀποδημοῦσι καὶ τοῖς μηδὲν ἐξαμαρτά-
νουσι μεταδιδόναι τῆς πολιτείας, ἀλλὰ μᾶλλον ἠτίμαζον
καὶ τοὺς συγκαταλύσαντας τὸν δῆμον. Ἔπειτα δὲ ἐκ μὲν 6
τοῦ σανιδίου τοὺς ἱππεύσαντας σκοπεῖν εὔηθές ἐστιν·

---

4 ἀποδείξω pp. Herw 5 ἠναγκασμένος . . . μετεῖχον malit Dobr 6 καὶ Herw: περὶ X, καὶ περὶ Rs 8 post ἐχθρῶν add. ἠριστευκὼς Dobr, πεπολιτευμένος Wdn 10 οὔτ' ἐπεδήμουν del. Rauch, οὐδ' ἐπ. Tur, ὅτ' ἐπεδήμουν Heldmann, οὔτ' ἐπ' . . . πολιτείας del. Roehl 14 ἐπεδημοῦμεν hoc loco add. Kayser (pone πολιτείας Markl), ἐπεδήμουν Sauppe 15 μεθισταμένῃ τῇ πολιτείᾳ X: corr. Ald ἤλθομεν] ἐπανήλθομεν post Halb. Kayser 17 ἦν del. Wdn 19 σχόντες Sauppe 20 τοῖς ἀποδημοῦσι καὶ del. Kayser τοῖς altero loco del. Francken, sed cf. Xen. Hell. II 4, 14 21 ⟨πολὺ⟩ μᾶλλον Wdn

*ἐν τούτῳ γὰρ πολλοὶ μὲν τῶν ὁμολογούντων ἱππεύειν
οὐκ ἔνεισιν, ἔνιοι δὲ τῶν ἀποδημούντων ἐγγεγραμμένοι
εἰσίν. ἐκεῖνος δ' ἐστὶν ἔλεγχος μέγιστος· ἐπειδὴ γὰρ
κατήλθετε, ἐψηφίσασθε τοὺς φυλάρχους ἀπενεγκεῖν τοὺς
ἱππεύσαντας, ἵνα τὰς καταστάσεις ἀναπράξητε παρ' αὐ-*
7 *τῶν. ἐμὲ τοίνυν οὐδεὶς ἂν ἀποδείξειεν οὔτ' ἀπενεχθέντα
ὑπὸ τῶν φυλάρχων οὔτε παραδοθέντα τοῖς συνδίκοις
οὔτε κατάστασιν καταβαλόντα. καίτοι πᾶσι ῥᾴδιον τοῦτο
γνῶναι, ὅτι ἀναγκαῖον ἦν τοῖς φυλάρχοις, εἰ μὴ ἀποδεί-
ξειαν τοὺς ἔχοντας τὰς καταστάσεις, αὐτοῖς ζημιοῦσθαι.
ὥστε πολὺ ἂν δικαιότερον ἐκείνοις τοῖς γράμμασιν ἢ
τούτοις πιστεύοιτε· ἐκ μὲν γὰρ τούτων ῥᾴδιον ἦν ἐξα-
λειφθῆναι τῷ βουλομένῳ, ἐν ἐκείνοις δὲ τοὺς ἱππεύσαν-*
8 *τας ἀναγκαῖον ἦν ὑπὸ τῶν φυλάρχων ἀπενεχθῆναι. Ἔτι
δέ, ὦ βουλή, εἴπερ ἵππευσα, οὐκ ἂν ἦν ἔξαρνος ὡς δει-
νόν τι πεποιηκώς, ἀλλ' ἠξίουν, ἀποδείξας ὡς οὐδεὶς ὑπ'
ἐμοῦ τῶν πολιτῶν κακῶς πέπονθε, δοκιμάζεσθαι. ὁρῶ
δὲ καὶ ὑμᾶς ταύτῃ τῇ γνώμῃ χρωμένους, καὶ πολλοὺς
μὲν τῶν τότε ἱππευσάντων βουλεύοντας, πολλοὺς δ' αὐ-
τῶν στρατηγοὺς καὶ ἱππάρχους κεχειροτονημένους. ὥστε
μηδὲν δι' ἄλλο με ἡγεῖσθε ταύτην ποιεῖσθαι τὴν ἀπο-*

---

1 *ὁμολογουμένων* pp. Herw, *ἱππεῦσαι* Bake, *ὁμολογούντως ἱππευόντων* Francken 2 *ἐγγεγραμμένοι* Markl: *ἐπιγεγραμμένοι* X 4 *ψηφίσασθαι δὲ* Harp. qui sub *κατάστασις* verba laudat hinc usque ad *αὐτῶν* 5 *ἀναπράξητε* Harp: *ἀναπράττηται* X, *ἀναπράττητε* C, *ἀναπράξαιτε* Sauppe 8 *καταβαλόντα* Bake: *παραλαβόντα* X, quod Harp. quoque legisse videtur, *πραχθέντα* Zaka; *συνδ. ὡς κατ. παραλαβόντα* Fuhr, *οὔτε κατ. παρ.* del. Halb 9 *ὅτι* Kayser: *διότι* X, *διαγνῶναι ὅτι* Wdn *ἀποδείξαιεν* X 12 *ἐξαλειφθῆναι* ⟨*ἢ ἐγγραφῆναι*⟩ Wdn *ἐκ μὲν γὰρ* . . . 14 *ἀπενεχθῆναι* del. Halb 14 *ἦν* ante *ὑπὸ* deleverit Herw 19 *αὐτῶν* abesse malit Herw 20 *ὥστε μηδὲν δι' ἄλλο με* Taylor: *ὥστ' εἰ μηδὲν διαβάλλομαι* X

λογίαν, ἢ ὅτι περιφανῶς ἐτόλμησάν μου καταψεύσασθαι. Ἀνάβηθι δέ μοι καὶ μαρτύρησον.

ΜΑΡΤΥΡΙΑ.

Περὶ μὲν τοίνυν αὐτῆς τῆς αἰτίας οὐκ οἶδ' ὅ τι δεῖ 9
πλείω λέγειν· δοκεῖ δέ μοι, ὦ βουλή, ἐν μὲν τοῖς ἄλλοις
ἀγῶσι περὶ αὐτῶν μόνων τῶν κατηγορημένων προσήκειν
ἀπολογεῖσθαι, ἐν δὲ ταῖς δοκιμασίαις δίκαιον εἶναι παν-
τὸς τοῦ βίου λόγον διδόναι. δέομαι οὖν ὑμῶν μετ' εὐ-
νοίας ἀκροάσασθαί μου. ποιήσομαι δὲ τὴν ἀπολογίαν ὡς
ἂν δύνωμαι διὰ βραχυτάτων.

Ἐγὼ γὰρ πρῶτον μὲν οὐσίας μοι οὐ πολλῆς κατα- 10
λειφθείσης διὰ τὰς συμφορὰς καὶ τὰς τοῦ πατρὸς καὶ
τὰς τῆς πόλεως, δύο μὲν ἀδελφὰς ἐξέδωκα ἐπιδοὺς τριά-
κοντα μνᾶς ἑκατέρᾳ, πρὸς τὸν ἀδελφὸν δ' οὕτως ἐνει-
μάμην ὥστ' ἐκεῖνον πλέον ὁμολογεῖν ἔχειν ἐμοῦ τῶν
πατρῴων, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας οὕτως βεβίωκα
ὥστε μηδεπώποτέ μοι μηδὲ πρὸς ἕνα μηδὲν ἔγκλημα γε-
νέσθαι. καὶ τὰ μὲν ἴδια οὕτως διῴκηκα· περὶ δὲ τῶν 11
κοινῶν μοι μέγιστον ἡγοῦμαι τεκμήριον εἶναι τῆς ἐμῆς
ἐπιεικείας, ὅτι τῶν νεωτέρων ὅσοι περὶ κύβους ἢ πότους
ἢ [περὶ] τὰς τοιαύτας ἀκολασίας τυγχάνουσι τὰς διατρι-
βὰς ποιούμενοι, πάντας αὐτοὺς ὄψεσθέ μοι διαφόρους
ὄντας, καὶ πλεῖστα τούτους περὶ ἐμοῦ λογοποιοῦντας καὶ
ψευδομένους. καίτοι δῆλον ὅτι, εἰ τῶν αὐτῶν ἐπεθυμοῦ-
μεν, οὐκ ἂν τοιαύτην γνώμην εἶχον περὶ ἐμοῦ. ἔτι δ', 12

3 titulus in lacuna omissus, in margine *μαρτυρία* ex *μάρτυρες* a manu rec. corr. X[s] 4 *αὐτῆς* Frb: *ταύτης* X 6 *μόνον*, cui *ων* superscriptum a m. pr. X 16 et 18 *οὕτως* habet X et pone *ἅπαντας* et pone *ἴδια* 18 *διῴκηκα* Sauppe: *διώκησα* X 21 *περὶ* del. Fuhr cf. Theopomp. apud Ath. VI 261[a], XII 527[a], 532[d], *ἑτέρας* Cob 22 *αὐτοὺς* del. Herw, *καὶ ἄλλως* Wdn, *τούτους* Halb deleta quae v. 23 sequitur voce *τούτους* 24 *ἐπεθύμουν* Markl

ὦ βουλή, οὐδεὶς ἂν ἀποδεῖξαι περὶ ἐμοῦ δύναιτο οὔτε δίκην αἰσχρὰν οὔτε γραφὴν οὔτε εἰσαγγελίαν γεγενημένην· καίτοι ἑτέρους ὁρᾶτε πολλάκις εἰς τοιούτους ἀγῶνας καθεστηκότας. πρὸς τοίνυν τὰς στρατείας καὶ τοὺς κινδύνους τοὺς πρὸς τοὺς πολεμίους σκέψασθε οἷον
13 ἐμαυτὸν παρέχω τῇ πόλει. πρῶτον μὲν γάρ, ὅτε τὴν συμ-
μαχίαν ἐποιήσασθε πρὸς Βοιωτοὺς καὶ εἰς Ἁλίαρτον ἔδει
βοηθεῖν, ὑπὸ Ὀρθοβούλου κατειλεγμένος ἱππεύειν ἐπειδὴ
XV 8] πάντας ἑώρων τοῖς μὲν ἱππεύουσιν ἀσφάλειαν εἶναι
δεῖν νομίζοντας, τοῖς δ' ὁπλίταις κίνδυνον ἡγουμένους,
ἑτέρων ἀναβάντων ἐπὶ τοὺς ἵππους ἀδοκιμάστων παρὰ
| τὸν νόμον ἐγὼ προσελθὼν ἔφην τῷ Ὀρθοβούλῳ ἐξ-
αλεῖψαί με ἐκ τοῦ καταλόγου, ἡγούμενος αἰσχρὸν εἶναι
τοῦ πλήθους μέλλοντος κινδυνεύειν ἄδειαν ἐμαυτῷ παρα-
σκευάσαντα στρατεύεσθαι. Καί μοι ἀνάβηθι, Ὀρθόβουλε.

ΜΑΡΤΥΡΙΑ.

14 Συλλεγέντων τοίνυν τῶν δημοτῶν πρὸ τῆς ἐξόδου, εἰδὼς αὐτῶν ἐνίους πολίτας μὲν χρηστοὺς ὄντας καὶ προθύμους, ἐφοδίων δὲ ἀποροῦντας, εἶπον ὅτι χρὴ τοὺς ἔχοντας παρέχειν τὰ ἐπιτήδεια τοῖς ἀπόρως διακειμένοις. καὶ οὐ μόνον τοῦτο συνεβούλευον τοῖς ἄλλοις, ἀλλὰ καὶ αὐτὸς ἔδωκα δυοῖν ἀνδροῖν τριάκοντα δραχμὰς ἑκατέρῳ,

---

7 πρὸς Βοιωτοὺς Pertz: πρὸς τοὺς Β. X 10 δεῖν cf. Aesch. III 170, Thuc. IV 10, 4, del. Auger, ἂν Frb, δεινὸν Scheibe, πολλὴν Fuhr, ἀσφ. εἶναι καὶ ἄδειαν vel voce ἀσφ. deleta εἶναι ἄδειαν Sauppe, ἀσφ. παρεῖναι νομ. Hundeck, ἀσφ. ἂν εἶναι δεινῶν Hertlein ἡγουμένους del. Kayser, <ἐφεστάναι> ἡγ. Wdn 11 παρὰ τὸν νόμον del. Halb 12 ἔφην C: ἔτι X, quod defendit Roehl, εἶπον Dobr, del. Wdn 13 καταλόγου <ἐκέλευσα> Roehl, με <ἐκέλευον> Wdn, ἐδεόμην addere malit Fuhr 14 παρασκευάσαντα marg. Ald: παρασκευάσαντι X, παρασκευάσαντ' ἐκστρατ. Wdn 16 titulum in marg. habet X

οὐχ ὡς πολλὰ κεκτημένος, ἀλλ' ἵνα παράδειγμα τοῦτο τοῖς ἄλλοις γένηται. Καί μοι ἀνάβητε.

ΜΑΡΤΥΡΕΣ.

Μετὰ ταῦτα τοίνυν, ὦ βουλή, εἰς Κόρινθον ἐξόδου 15
γενομένης καὶ πάντων προειδότων ὅτι δεήσει κινδυνεύ-
ειν, ἑτέρων ἀναδυομένων ἐγὼ διεπραξάμην ὥστε τῆς
πρώτης τεταγμένος μάχεσθαι τοῖς πολεμίοις· καὶ μάλιστα
τῆς ἡμετέρας φυλῆς δυστυχησάσης, καὶ πλείστων ἐν-
αποθανόντων, ὕστερος ἀνεχώρησα τοῦ σεμνοῦ Στειριῶς
τοῦ πᾶσιν ἀνθρώποις δειλίαν ὠνειδικότος. καὶ οὐ πολ- 16
λαῖς ἡμέραις ὕστερον μετὰ ταῦτα ἐν Κορίνθῳ χωρίων
ἰσχυρῶν κατειλημμένων, ὥστε τοὺς πολεμίους μὴ δύνα-
σθαι προσιέναι, Ἀγησιλάου δ' εἰς τὴν Βοιωτίαν ἐμβα-
λόντος ψηφισαμένων τῶν ἀρχόντων ἀποχωρίσαι τάξεις
αἵτινες βοηθήσουσι, φοβουμένων ἁπάντων (εἰκότως, ὦ
βουλή· δεινὸν γὰρ ἦν ἀγαπητῶς ὀλίγῳ πρότερον σεσωσ-
μένους ἐφ' ἕτερον κίνδυνον ἰέναι) προσελθὼν ἐγὼ τὸν
ταξίαρχον ἐκέλευον ἀκληρωτὶ τὴν ἡμετέραν τάξιν πέμ-
πειν. ὥστ' εἴ τινες ὑμῶν ὀργίζονται τοῖς τὰ μὲν τῆς 17
πόλεως ἀξιοῦσι πράττειν, ἐκ δὲ τῶν κινδύνων ἀποδι-
δράσκουσιν, οὐκ ἂν δικαίως περὶ ἐμοῦ τὴν γνώμην ταύ-
την ἔχοιεν· οὐ γὰρ μόνον τὰ προσταττόμενα ἐποίουν
προθύμως, ἀλλὰ καὶ κινδυνεύειν ἐτόλμων. καὶ ταῦτ'
ἐποίουν οὐχ ὡς οὐ δεινὸν ἡγούμενος εἶναι Λακεδαιμο-
νίοις μάχεσθαι, ἀλλ' ἵνα, εἴ ποτε ἀδίκως εἰς κίνδυνον

---

2 ἀνάβητε, ⟨μάρτυρες⟩ Steph, sed cf. [XX] 29   3 titulum in marg. habet X   7 πρώτης ⟨τάξεως⟩ Cob, sed cf. Isocr. XII 180   8 ἐναποθανόντων Markl: ἐνθανόντων X, ἀποθανόντων P. Müller, καὶ . . . ἐνθαν. del. Halb   9 ὕστερος Cont: ὕστερον X   στειριέως τοῖς πᾶσιν X, Στ. τοῦ τοῖς π. Rs, Στ. τοῦ τότε π. Wdn   13 παριέναι Herbst   14 ἀποκληρῶσαι Markl   17 προελθὼν Wdn

καθισταίμην, διὰ ταῦτα βελτίων ὑφ' ὑμῶν νομιζόμενος ἁπάντων τῶν δικαίων τυγχάνοιμι. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

18 *Τῶν τοίνυν ἄλλων στρατειῶν καὶ φρουρῶν οὐδεμιᾶς ἀπελείφθην πώποτε, ἀλλὰ πάντα τὸν χρόνον διατετέλεκα μετὰ τῶν πρώτων μὲν τὰς ἐξόδους ποιούμενος, μετὰ τῶν τελευταίων δὲ ἀναχωρῶν. καίτοι χρὴ τοὺς φιλοτίμως καὶ κοσμίως πολιτευομένους ἐκ τῶν τοιούτων σκοπεῖν, ἀλλ' οὐκ εἴ τις κομᾷ, διὰ τοῦτο μισεῖν· τὰ μὲν γὰρ τοιαῦτα ἐπιτηδεύματα οὔτε τοὺς ἰδιώτας οὔτε τὸ κοινὸν τῆς πόλεως βλάπτει, ἐκ δὲ τῶν κινδυνεύειν ἐθελόντων*
19 *πρὸς τοὺς πολεμίους ἅπαντες ὑμεῖς ὠφελεῖσθε. ὥστε οὐκ ἄξιον ἀπ' ὄψεως, ὦ βουλή, οὔτε φιλεῖν οὔτε μισεῖν οὐδένα, ἀλλ' ἐκ τῶν ἔργων σκοπεῖν· πολλοὶ μὲν γὰρ μικρὸν διαλεγόμενοι καὶ κοσμίως ἀμπεχόμενοι μεγάλων κακῶν αἴτιοι γεγόνασιν, ἕτεροι δὲ τῶν τοιούτων ἀμελοῦντες πολλὰ κἀγαθὰ ὑμᾶς εἰσιν εἰργασμένοι.*

20 *Ἤδη δέ τινων ᾐσθόμην, ὦ βουλή, καὶ διὰ ταῦτα ἀχθομένων μοι, ὅτι νεώτερος ὢν ἐπεχείρησα λέγειν ἐν τῷ δήμῳ. ἐγὼ δὲ τὸ μὲν πρῶτον ἠναγκάσθην ὑπὲρ τῶν ἐμαυτοῦ πραγμάτων δημηγορῆσαι, ἔπειτα μέντοι καὶ ἐμαυτῷ δοκῶ φιλοτιμότερον διατεθῆναι τοῦ δέοντος, ἅμα μὲν τῶν προγόνων ἐνθυμούμενος, ὅτι οὐδὲν πέ-*
21 *παυνται τὰ τῆς πόλεως πράττοντες, ἅμα δὲ ὑμᾶς ὁρῶν (τὰ γὰρ ἀληθῆ χρὴ λέγειν) τοὺς τοιούτους μόνους ἀξίους ⟨τινὸς⟩ νομίζοντας εἶναι· ὥστε ὁρῶν ὑμᾶς ταύτην*

---

1 *κατασταίην* Wdn 4 titulum in marg. habet X 10 *κομᾷ* Hamaker, cf. Ar. Equ. 580, lex. Vind. 113, 8: *τολμᾷ* X 16 *ἀμπεχόμενοι* Dobr: *ἀπερχόμενοι* X, *περιερχόμενοι* Emperius 25 *τὰ τῆς* Dobr: *τῶν τῆς* X 26 *τοὺς τοιούτους* Francken: *τούτους* X 27 *τινὸς* post Dobraeum add. P. Müller, *λόγου*

τὴν γνώμην ἔχοντας τίς οὐκ ἂν ἐπαρθείη πράττειν καὶ λέγειν ὑπὲρ τῆς πόλεως; ἔτι δὲ τί ἂν τοῖς τοιούτοις ἄχθοισθε; οὐ γὰρ ἕτεροι περὶ αὐτῶν κριταί εἰσιν, ἀλλ' ὑμεῖς.

17.

| ΔΗΜΟΣΙΩΝ ΑΔΙΚΗΜΑΤΩΝ.

1 *Ἴσως τινὲς ὑμῶν, ὦ ἄνδρες δικασταί, διὰ τὸ βούλεσθαί με ἄξιον εἶναί τινος ἡγοῦνται καὶ εἰπεῖν ἂν μᾶλλον ἑτέρου δύνασθαι· ἐγὼ δὲ τοσούτου δέω περὶ τῶν μὴ προσηκόντων ἱκανὸς εἶναι λέγειν, ὥστε δέδοικα μὴ καὶ περὶ ὧν ἀναγκαῖόν μοί ἐστι [λέγειν], ἀδύνατος ὦ τὰ δέοντα εἰπεῖν. οἴομαι μὲν οὖν, ἐὰν πάντα διηγήσωμαι τὰ πεπραγμένα ἡμῖν πρὸς Ἐράτωνα καὶ τοὺς ἐκείνου παῖδας, ῥᾳδίως ἐξ αὐτῶν ὑμᾶς εὑρήσειν ἃ προσήκει σκέψασθαι περὶ ταύτης τῆς διαδικασίας. ἐξ ἀρχῆς οὖν ἀκούσατε.*

2 *Ἐράτων ὁ Ἐρασιφῶντος πατὴρ ἐδανείσατο παρὰ τοῦ ἐμοῦ πάππου τάλαντα δύο. ὅτι μὲν οὖν ἔλαβε τἀργύριον καὶ ὡς τοσοῦτόν γε ἐδεήθη δανεῖσαι, ὧν ἐναντίον ἐδόθη, μάρτυρας ὑμῖν παρέξομαι· ἃ δ' ἐχρήσατο αὐτῷ καὶ ὅσα ὠφελήθη, οἱ μᾶλλόν τε ἐμοῦ εἰδότες καὶ παραγεγενημένοι οἷς ἐκεῖνος ἔπραττε διηγήσονται ὑμῖν καὶ μαρτυρήσουσι. Καί μοι κάλει μάρτυρας.*

---

add. post Reiskium Auger, *πολλοῦ* add. Cob 4 Deesse nonnulla Francken suspicatur 6 Or. XVII. tit. corruptus. *δημ. χρημάτων* Schott, *περὶ δημ. χρημ.* Bekker. Debebat esse *περὶ τῶν Ἐράτωνος χρημάτων πρὸς τὸ δημόσιον*, ut ait Hoelscher 11 *λέγειν* altero loco del. Cob 17 *τοῦ* supra versum a pr. m. X 19 *γε* Steph: *τε* X *δανεῖσαι καὶ ὧν* X 20 *ἃ* est in X, *εἰς ἃ* Markl, *ὡς* (cum C) West 21 *μᾶλλόν γε* Markl

ΜΑΡΤΥΡΕΣ.

3 Ἕως τοίνυν ὁ Ἐράτων ἔζη, τούς τε τόκους ἀπελαμβάνομεν καὶ τἆλλα τὰ συγκείμενα· ἐπειδὴ δὲ ἐτελεύτησε καταλιπὼν ὑεῖς τρεῖς, Ἐρασιφῶντα καὶ Ἐράτωνα καὶ Ἐρασίστρατον, οὗτοι οὐδὲν ἔτι ἡμῖν τῶν δικαίων ἐποίουν. ἐν μὲν οὖν τῷ πολέμῳ, διότι οὐκ ἦσαν δίκαι, οὐ δυνατοὶ ἦμεν παρ' αὐτῶν ἃ ὤφειλον πράξασθαι· ἐπειδὴ δὲ εἰρήνη ἐγένετο, ὅτε περ πρῶτον αἱ ἀστικαὶ δίκαι ἐδικάζοντο, λαχὼν ὁ πατὴρ παντὸς τοῦ συμβολαίου Ἐρασιστράτῳ, ὅσπερ μόνος τῶν ἀδελφῶν ἐπεδήμει, κατεδικά-
401/0] σατο ἐπὶ Ξεναινέτου ἄρχοντος. μάρτυρας δὲ καὶ τούτων παρέξομαι ὑμῖν. Καί μοι κάλει μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

4 Ὅτι μὲν τὰ Ἐράτωνος δικαίως ἂν ἡμέτερα εἴη, ἐκ τούτων ῥᾴδιον εἰδέναι, ὅτι δὲ πάντα δημεύεται, ἐξ αὐτῶν ⟨τῶν⟩ ἀπογραφῶν· τρεῖς γὰρ καὶ τέτταρες ἕκαστα ἀπογεγράφασι. καίτοι τοῦτό γε παντὶ εὔγνωστον, ὅτι οὐκ ἂν παραλιπόντες, εἴ τι ἄλλο τῶν Ἐράτωνος οἷόν τε ἦν δημεύειν, ὡς ὄντα Ἐράτωνος ἀπέγραφον καὶ ἃ ἐγὼ πολὺν ἤδη χρόνον κέκτημαι. ὡς μὲν οὖν ἡμῖν οὐδ' ἑτέ-

---

2 ἀπελαμβάνομεν Hertlein: ἀπελάμβανον ἐγὼ X, ἀπ. ἐγὼ καὶ ὁ πατὴρ Francken 3 τἆλλα ⟨κατὰ⟩ Markl 4 υἱοὺς X 13 titulus deest in X 14 μὲν ⟨οὖν vel τοίνυν⟩ Dobr, sed cf. § 10 15 δεδήμευται aliquando Rs 16 τῶν add. Rs ἀπογραφῶν Schott: ἀπογράφω X γὰρ ἢ Schott, τρὶς γὰρ καὶ τετράκις marg. Ald 19 ὡς ὄντα Emperius: τὴν πάντα τὰ X ἃ ἐγὼ Rs: λέγω X, ἣν οἱ δημεύοντες πάντα . . . ἀπέγραφον εἰ καὶ ἃ ἐγὼ Sauppe, δημεύειν πάντα . . . ἀπέγραφον ⟨ἀπογράφοντες⟩ καὶ ἃ ἐγὼ Scheibe, οὐκ ἂν παρέλιπον, εἴ τι . . . οἱ πάντα τὰ Ἔρ. ἀπογράφοντες (cum C) καὶ ἃ ἐγὼ Cob, τὴν πάντα τὰ Ἐρ. del. Francken, οὐκ ἂν παρέλιπον, εἴ τι . . . οἵτινες πάντα τὰ Ἐρ. ⟨ἀπογράφοντες⟩ ἀπέγραφον καὶ ἃ Halb, παραλιπόντες . . . δημεύειν πάντα τὰ Ἐ. . . . ⟨οἳ⟩ καὶ ἃ West

*ρωθεν εἰσπράξασθαι οἷόν τε, ἐὰν ὑμεῖς ταῦτα δημεύ-
σητε, εὔγνωστόν μοι δοκεῖ εἶναι· ὡς δὲ τὴν ἀμφισβή-* 5
*τησιν ἐποιησάμην πρός τε ὑμᾶς καὶ τοὺς ἰδιώτας, ἔτι
ἀκούσατε. ἕως μὲν γὰρ ἡμῖν οἱ Ἐρασιφῶντος οἰκεῖοι
τούτων τῶν χρημάτων ἠμφεσβήτουν, ἅπαντα ἠξίουν ἐμὰ
εἶναι, διότι ὑπὲρ ἅπαντος τοῦ χρέως ἀντιδικῶν πρὸς
τὸν πατέρα ὁ Ἐρασίστρατος ἡττήθη· καὶ τὰ μὲν Σφηττοῖ
ἤδη τρία ἔτη μεμίσθωκα, τῶν δὲ Κικυννοῖ καὶ τῆς οἰ-
κίας ἐδικαζόμην τοῖς ἔχουσι. πέρυσι μὲν οὖν διεγράψαντό
μου τὰς δίκας, ἔμποροι φάσκοντες εἶναι· νυνὶ δὲ λαχόν-
τος ἐν τῷ Γαμηλιῶνι μηνὶ οἱ ναυτοδίκαι οὐκ ἐξεδίκασαν.
ἐπειδὴ δ' ὑμῖν τὰ Ἐρασιφῶντος δημεύειν ἔδοξεν, ἀφεὶς* 6
*τῇ πόλει τὼ δύο μέρει τὰ Ἐρασιστράτου ἀξιῶ μοι ψη-
φισθῆναι, διότι ταῦτά γε ἤδη καὶ πρότερον ἐγνώκατε
ἡμέτερα εἶναι. ὡρισάμην οὖν ἐμαυτῷ τὸ τρίτον μέρος
τῆς ἐκείνων οὐσίας οὐ τὴν ἀκρίβειαν ἐπισκεψάμενος,
ἀλλὰ πολλῷ πλέον ἢ τὼ δύο μέρει τῷ δημοσίῳ ὑπολι-
πών. ῥᾴδιον δὲ γνῶναι ἐκ τοῦ τιμήματος τοῦ ἐπιγεγραμ-* 7
*μένου τοῖς χρήμασιν. ἅπαντα μὲν γὰρ πλείονος ἢ τα-
λάντου τετίμηνται, ὧν δ' ἐγὼ ἀμφισβητῶ τῷ μὲν πέντε
μνᾶς τῷ δὲ χιλίας δραχμὰς ἐπεγραψάμην· καὶ εἰ πλεί-
ονος ἄξιά ἐστιν ἢ τοσούτου, ἀποκηρυχθέντων τὸ περιτ-
τὸν ἡ πόλις λήψεται. ἵνα οὖν εἰδῆτε ὅτι ταῦτα ἀληθῆ* 8
ἐστι, μάρτυρας ὑμῖν παρέξομαι πρῶτον μὲν τοὺς με-

---

2 *τὴν* ⟨*αὐτὴν*⟩ Cob 5 *ἠμφισβήτουν* X 6 *χρέως* Sauppe: *χρέους* X 8 *κινδυνοι* X 9 *διεγράψαντο* Meier: *διέγραψαν* X 10 *ἔμπορον* Francken *λαχόντος* Bekker: *λαχόντες* X 12 *Ἐρασιφῶντος*] *Ἐράτωνος* Meier, quod multis placuit, iniuria cf. § 2 *ὁ Ἐρασιφ. πατήρ*, § 5 *οἱ Ἐρασιφ. οἰκεῖοι* *ἀφιεὶς* Cob 13 *τὼ* hic et infra 17 habet X *μέρη* hic et infra X 20 *τετίμηται* Scal., sed intellegendi *οἱ ἀπογράφοντες* 22 *ἀποκηρυχθέντων* C: *ἐπικηρυχθέντων* X

μισθωμένους παρ' ἐμοῦ τὸ Σφηττοῖ χωρίον, ἔπειτα τοῦ | Κικυννοῖ τοὺς γείτονας, οἳ ἴσασιν ἡμᾶς ἤδη τρία ἔτη ἀμφισβητοῦντας, ἔτι δὲ τούς τε πέρυσιν ἄρξαντας, πρὸς
9 *οὓς αἱ δίκαι ἐλήχθησαν, καὶ τοὺς νῦν ναυτοδίκας. ἀναγνωσθήσονται δὲ ὑμῖν καὶ αὗται αἱ ἀπογραφαί· ἐκ τούτων γὰρ μάλιστα γνώσεσθε ὅτι οὔτε νεωστὶ ταῦτα τὰ χρήματα ἀξιοῦμεν ἡμέτερα εἶναι, οὔτε νυνὶ τῷ δημοσίῳ πλειόνων ἀμφισβητοῦμεν ἢ τῷ ἔμπροσθεν χρόνῳ τοῖς ἰδιώταις. Καί μοι κάλει μάρτυρας.*

ΜΑΡΤΥΡΕΣ.

10 *Ὅτι μέν, ὦ ἄνδρες δικασταί, οὐ παρὰ τὸ δίκαιον ἀξιῶ μοι ψηφίσασθαι τὸ διαδίκασμα, ἀλλ' αὐτὸς τῇ πόλει πολλὰ τῶν ἐμαυτοῦ ἀφεὶς τοῦτο ἀξιῶ μοι ἀποδοθῆναι, ἀποδέδεικται. ἤδη δέ μοι δοκεῖ δίκαιον εἶναι καὶ δεηθῆναι ὑμῶν τε καὶ τῶν συνδίκων ἐναντίον ὑμῶν.*

---

1 *τοῦ* Bekker: *τὸ* X, *τῶν* Tayl 2 *κικυννοῖ* hic habet X *τρία ἔτη* detrita in X Rs restituit e Vindobonensi 3 *ἄρξαντας* sc. *θεσμοθέτας* cf. § 5 4 *ἐλέχθησαν* X *αὐτοδίκας* X 5 *καὶ* detritum in X *αὗται* X: *αὐταὶ* Bekker, verum non possunt libelli iidem esse atque § 4, actoris petitiones intellego cf. Lipsius, Att. Proz.[2] 801 a. 122 8 *πλεόνων* X *ἢ* in X ab eadem manu rubro atramento suprascriptum ⟨*ἐν*⟩ *τῷ* Markl 10 titulus cum lacuna deest in X *Ἀνάγνωθί μοι καὶ τὰς ἀπογραφάς. ΑΠΟΓΡΑΦΑΙ* add. Fuhr 11 *μὲν* ⟨*οὖν*⟩ e Vindobonensi Rs, qui addit *ὑμᾶς*, sed cf. § 4 12 *ψηφισθῆναι* P. Müller 13 *ἀφεὶς* Tur. coll. § 6: *ἀφιεὶς* X 16 Post *ὑμῶν* Dobr aliique nonnulla excidisse censent, sed cf. XXIII 16

18.

ΠΕΡΙ ΤΗΣ ΔΗΜΕΥΣΕΩΣ <ΤΩΝ> ΤΟΥ ΝΙΚΙΟΥ ΑΔΕΛΦΟΥ ΕΠΙΛΟΓΟΣ.

Ἐνθυμήθητε τοίνυν, ὦ ἄνδρες δικασταί, οἷοί τινες 1 *ὄντες πολῖται [καὶ] αὐτοὶ καὶ ὧν προσήκοντες ἀδικούμενοι ἀξιοῦμεν ἐλεεῖσθαι ὑφ' ὑμῶν καὶ τῶν δικαίων τυγχάνειν· οὐ γὰρ μόνον περὶ τῆς οὐσίας ἀγωνιζόμεθα, ἀλλὰ καὶ περὶ τῆς πολιτείας, εἰ χρὴ δημοκρατουμένης τῆς πόλεως ἡμῖν μετεῖναι. πρῶτον μὲν οὖν περὶ Νικίου τοῦ ἡμετέρου θείου ἀναμνήσθητε. ἐκεῖνος γὰρ ὅσα μὲν* 2 *τῇ ἑαυτοῦ γνώμῃ χρώμενος ὑπὲρ τοῦ πλήθους τοῦ ὑμετέρου ἔπραξε, πανταχοῦ φανήσεται πολλῶν μὲν καὶ ἀγαθῶν αἴτιος τῇ πόλει γεγενημένος, πλεῖστα δὲ καὶ μέγιστα κακὰ τοὺς πολεμίους εἰργασμένος. ὅσα δὲ οὐ βουλόμενος ἀλλ' ἄκων ἠναγκάσθη ποιῆσαι, τῶν μὲν κακῶν οὐκ ἐλάχιστον αὐτὸς μετέσχε μέρος, τὴν δ' αἰτίαν τῆς συμφορᾶς οἱ πείσαντες ὑμᾶς δικαίως ἂν ἔχοιεν, ἐπεὶ* 3 *τήν γε πρὸς ὑμᾶς εὔνοιαν καὶ τὴν ἀρετὴν <τὴν> αὐτοῦ ἐν ταῖς εὐτυχίαις ταῖς ὑμετέραις καὶ ταῖς δυστυχίαις*

2 Or. XVIII. *ΤΗΣ* om. K, Bekker *ΤΩΝ* add. Bekker 3 *ΕΠΙΛΟΓΟΣ* secl. Scheibe, sed cf. or. argumentum. *κατὰ Πολιούχου* Galenus XVIII 2 p. 657 Kühn, inde Blass Att. Ber. I[2] 523 *κατὰ Πολιόχου* (vel potius *πρὸς Πολίοχον*) *περὶ τῆς δημεύσεως τῶν Εὐκράτους τοῦ Νικίου ἀδελφοῦ ἐπίλογος*. Schoell, quaest. fisc. 16: *περὶ τῶν Εὐκράτους χρημάτων πρὸς τὸ δημόσιον*. Ego cum de Diogneti bonis quaeri videatur (cf. die Rede f. Polystratus Vrat. 1876 p. 20), scripserim *κατὰ Πολιόχου περὶ τῶν Διογνήτου ἐπίλογος* 4 *οἷοί* Bekker: *οἳ* X 5 *καὶ* del. Bekker *ὧν*] *οἵων* Blass, *οἱ* Dobr 8 *περὶ τῆς πολιτείας* del. Cob 10 *ἐκεῖνος . . .* 14 *εἰργασμένος* laudat Galenus in Hippocr. de med. off. I 3 (XVIII 2 p. 657 Kühn) 10 *μὲν* om. Gal 11 *τοῦ ἡμετέρου πλήθους* Gal 12 *καὶ* Gal: *ἰδίᾳ* X, *καὶ μεγάλων ἀγ.* Baiter 13 *γενόμενος* Gal 14 *μέγιστα κακὰ*] *ἄχρηστα* Gal *ἐργασάμενος* Gal 18 *τὴν αὐτοῦ* Sauppe: *αὐτοῦ* X

ταῖς τῶν ἐχθρῶν ἐπεδείξατο· στρατηγῶν γὰρ πολλὰς μὲν πόλεις εἷλε, πολλὰ δὲ καὶ καλὰ κατὰ τῶν πολεμίων ἔστησε τρόπαια, ὧν καθ' ἓν ἕκαστον πολὺ ἂν ἔργον εἴη
4 *λέγειν. Εὐκράτης τοίνυν, ἀδελφὸς μὲν ὢν ἐκείνου, πατὴρ δ' ἐμός, ἤδη τῆς τελευταίας ναυμαχίας γεγενημένης φανερὰν ἐπεδείξατο τὴν εὔνοιαν ἣν εἶχε περὶ τὸ πλῆθος τὸ ὑμέτερον· ἡττημένων γὰρ ἐν ⟨τῇ⟩ ναυμαχίᾳ στρατηγὸς ὑφ' ὑμῶν ᾑρημένος, καὶ παρακαλούμενος μετέχειν τῆς ὀλιγαρχίας ὑπὸ τῶν ἐπιβουλευόντων τῷ πλήθει, οὐκ*
5 *ἠθέλησεν αὐτοῖς πείθεσθαι, ἐν τοιούτῳ καιρῷ ληφθεὶς ἐν ᾧ οἱ πλεῖστοι τῶν ἀνθρώπων καὶ μεταβάλλονται πρὸς τὰ παρόντα καὶ ταῖς τύχαις εἴκουσι, δυστυχοῦντος τοῦ δήμου, οὐκ ἀπελαυνόμενος τῆς πολιτείας οὐδ' ἰδίας ἔχθρας ὑπαρχούσης πρὸς τοὺς ἄρξειν μέλλοντας, ἀλλ' ἐξὸν αὐτῷ καὶ τῶν τριάκοντα γενέσθαι καὶ μηδενὸς ἔλατ-*
XIII 13] *τον δύνασθαι, μᾶλλον εἵλετο πράττων ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀπολέσθαι ἢ ἐπιδεῖν ⟨τὰ⟩ τείχη καθαιρούμενα καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδιδομένας καὶ*
6 *τὸ ὑμέτερον πλῆθος καταδεδουλωμένον. καὶ οὐ πολλῷ χρόνῳ ὕστερον Νικήρατος, ἀνεψιὸς ὢν ἐμὸς καὶ ὑὸς Νικίου, εὔνους ὢν τῷ ὑμετέρῳ πλήθει, συλληφθεὶς ὑπὸ τῶν τριάκοντα ἀπέθανεν, οὔτε γένει οὔτε οὐσίᾳ οὔθ' ἡλικίᾳ δοκῶν ἀνάξιος εἶναι τῆς πολιτείας μετασχεῖν· ἀλλὰ*

---

1 *ἐπεδείξατο* Rs: *ἐπέδειξα* X, *ἐπέδειξε* C 4 *Εὐκράτης*] cf. And. I 47, fort. Ar. Lys. 103 Suid. *ἄπεστιν* 6 *εἶχε πρὸς τὸ* Rs 7 *τῇ* add. Rs 9 *ἐπιβουλευόντων* man. rec. in margine X: *βουλευόντων* X 10 ⟨*ἀλλ'*⟩ *ἐν* Rs *ληφθεὶς* del. Scheibe aliique, sed cf. Demosth. VI 14, Plat. Gorg. 521 e, *κληθεὶς* vel *παρακληθεὶς* Kayser 11 *καὶ* ante *μεταβ.* del. Rs 12 *δυστυχοῦντος τοῦ δήμου* del. Cob, ⟨*δὲ*⟩ *τοῦ* Dobr 14 *ἄρξειν*] *συνάρξειν* Francken 17 *τὰ* add. Markl 19 *καταδουλούμενον* C 20 *Νικήρατος* cf. XIX 47, Xen. Hell. II 3, 39, Diod. XIV 5 23 *τῆς προστατείας μετασχεῖν* Kayser, coll. Xen. Mem. III 6, 10

*τοιαῦτα ἐνομίζετο τὰ ὑπάρχοντα αὐτῷ πρὸς τὸ ὑμέτερον
πλῆθος εἶναι καὶ διὰ τοὺς προγόνους καὶ αὐτόν, ὥστε
οὐκ ἄν ποθ' ἑτέρας ἐπιθυμῆσαι πολιτείας. συνῄδεσαν* 7
*γὰρ ἅπασιν αὐτοῖς ὑπὸ τῆς πόλεως τιμωμένοις, καὶ πολ-
λαχοῦ μὲν ὑπὲρ ὑμῶν κεκινδυνευκόσι, μεγάλας δ' εἰσφο-
ρὰς εἰσενηνοχόσι | καὶ λελητουργηκόσι κάλλιστα, καὶ
τῶν ἄλλων οὐδενὸς πώποτ' ἀποστᾶσιν ὧν ἡ πόλις αὐ-
τοῖς προσέταξεν, ἀλλὰ προθύμως λητουργοῦσι. καίτοι* 8
*τίνες ἂν ἡμῶν εἴησαν δυστυχέστεροι, εἰ ἐν μὲν τῇ ὀλι-
γαρχίᾳ ἀποθνῄσκοιμεν εὖνοι ὄντες τῷ πλήθει, ἐν δὲ τῇ
δημοκρατίᾳ ὡς κακόνοι ὄντες τῷ πλήθει ἀποστεροίμεθα
τῶν ὄντων; καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, καὶ Διόγνη-* 9
*τος διαβληθεὶς μὲν ὑπὸ τῶν συκοφαντῶν φεύγων ᾤχετο,
μετ' ὀλίγων δὲ τῶν ἐκπεπτωκότων οὔτ' ἐπὶ τὴν πόλιν
ἐστρατεύσατο οὔτ' εἰς Δεκέλειαν ἀφίκετο· οὐδ' ἔστιν
ὅτου κακοῦ αἴτιος οὔτε φεύγων οὔτε κατελθὼν τῷ ὑμε-
τέρῳ πλήθει γεγένηται, ἀλλ' εἰς τοῦτ' ἀρετῆς ἦλθεν
ὥστε μᾶλλον ὠργίζετο τοῖς εἰς ὑμᾶς ἡμαρτηκόσιν ἢ τοῖς*

---

1 *ἐνομίζετο* Baiter: *ἐνόμιζε* X, *ἐνόμιζον* Tayl 2 *εἶναι καὶ* del. Bake *καὶ αὐτὸν*] *αὐτοῦ* Bake, *καὶ δι' αὐτὸν* Rs 3 *συνῄδει* Rs, qui supra retinet *ἐνόμιζε* 4 *ἅπαντες αὐτοῖς* Markl *πόλεως* Dobr: *πολιτείας* X *καὶ* ante *πολλ.* del. Boekmeijer 6 *λελητουργηκόσι*] *κεχορηγηκόσι* Hirschig, *τετριηραρχηκόσι* Scheibe, recte opinor; *καὶ λελητ. κάλλιστα* del. Heldmann 7 *ἀποστᾶσιν*] *ἀφεστῶσιν* Cob 8 *λητουργοῦσι*] *ὑπουργοῦσι* vel *ὑπηρετοῦσι* Dobr, *ὑποστᾶσι* Rauch, *πεποιηκόσι* Kayser, *λελητουργηκόσι* Scheibe, *ἀεὶ ὑπουργοῦσι* Francken, *ἀλλὰ λελητουργηκόσι κάλλιστα καὶ προθύμως* Heldmann, *ἀλλὰ προθ. λητ.* del. Cob § 8 totam del. Hamaker, ut conflatam ex § 12 et 22 10 *ἀποθνῄσκομεν* Dobr, *ἀπεθνῄσκομεν* Hertlein, quod multis placuit, sed cf. Gebauer, arg. contr. 204 ⟨*ὡς*⟩ *εὖνοι* Dobr 11 *κακόνοι* Markl: *κακοὶ* X *ἀποστερούμεθα* Bake 12 *Διόγνητος* idem fort. qui est And. I 15 14 *μετ'*] *μετὰ* ⟨*τῶν*⟩ post Dobraeum Bake, *μετ'* ⟨*οὐκ*⟩ Rs 16 *φεύγων* C, Hertlein, cf. XXV 20. 29, XXXIV 2: *φυγὼν* X

αὐτῷ τῆς καθόδου αἰτίοις γεγενημένοις ⟨χάριν ᾔδει⟩.

10 καὶ ἀρχὴν μὲν οὐδεμίαν ἦρξεν ἐν τῇ ὀλιγαρχίᾳ· ἐπειδὴ δὲ τάχιστα ἦλθον εἰς τὴν Ἀκαδήμειαν Λακεδαιμόνιοι καὶ Παυσανίας, λαβὼν τὸν Νικηράτου καὶ ἡμᾶς παῖδας ὄντας, ἐκεῖνον μὲν κατέθηκεν ἐπὶ τοῖς γόνασι τοῖς Παυσανίου, ἡμᾶς δὲ παραστησάμενος ἔλεγε πρὸς ἐκεῖνον καὶ τοὺς ἄλλους τοὺς παρόντας ὅσα εἴημεν πεπονθότες καὶ οἵαις τύχαις κεχρημένοι, καὶ ἠξίου Παυσανίαν βοηθῆσαι καὶ διὰ τὴν φιλίαν καὶ διὰ τὴν ξενίαν τὴν ὑπάρχουσαν,

11 καὶ τιμωρὸν γενέσθαι τῶν εἰς ἡμᾶς ἡμαρτηκότων. ὅθεν Παυσανίας ἤρξατο εὔνους εἶναι τῷ δήμῳ, παράδειγμα ποιούμενος πρὸς τοὺς ἄλλους Λακεδαιμονίους τὰς ἡμετέρας συμφορὰς τῆς τῶν τριάκοντα πονηρίας· δῆλον γὰρ ἅπασι τοῖς ἐλθοῦσι Πελοποννησίων ἐγεγένητο, ὅτι οὐ τοὺς πονηροτάτους τῶν πολιτῶν ἀπέκτεινον, ἀλλ' οἷς μάλιστα προσῆκον καὶ διὰ γένος καὶ διὰ πλοῦτον καὶ

12 διὰ τὴν ἄλλην ἀρετὴν τιμᾶσθαι. οὕτω δ' ἠλεούμεθα καὶ πᾶσι δεινὰ ἐδοκοῦμεν πεπονθέναι, ὥστε Παυσανίας τὰ μὲν παρὰ τῶν τριάκοντα ξένια οὐκ ἠθέλησε λαβεῖν, τὰ δὲ παρ' ἡμῶν ἐδέξατο. καίτοι δεινόν, ὦ ἄνδρες δικασταί, ὑπὸ μὲν τῶν πολεμίων παῖδας ἡμᾶς ὄντας ἐλεεῖσθαι, οἳ τῇ ὀλιγαρχίᾳ βοηθήσοντες ἦλθον, ὑπὸ δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, τοιούτους γεγενημένους τῶν ὄντων ἀποστερεῖσθαι, ὧν οἱ πατέρες ὑπὲρ τῆς δημοκρατίας ἀπέθανον.

---

1 αὐτῷ Baiter   χάριν ᾔδει add. P. Müller cf. XII 80, XXVII 11, ἔχαιρεν C, idem vel ἥσθη Rs, ἐχαρίζετο Scheibe, χάριν εἶχε Cob   3 Ἀκαδήμειαν Cob: ἀκαδημίαν X cf. Meisterhans gramm.[2] 39   4 τὸν Νικήρ. cf. XIX 47   14 ἐγεγένητο] ἐγένετο Tayl   15 ἀπέκτειναν Tayl   οἷς] οὓς Rs   16 προσῆκον cf. XXV 7] προσῆκεν Tayl   21 ὄντας ἡμᾶς C   22 ὦ ἄνδρες δικ. deleverit Herw   23 τοιούτους] τηλικούτους Hamaker, sed cf. 21, [XX] 34

Εὖ δ' οἶδ', ὦ ἄνδρες δικασταί, ὅτι περὶ πλείστου ἂν 13
ποιήσαιτο Πολίοχος τοῦτον τὸν ἀγῶνα κατορθῶσαι, ἡγού-
μενος αὐτῷ καλὴν εἶναι τὴν ἐπίδειξιν καὶ πρὸς τοὺς
πολίτας καὶ τοὺς ξένους, ὅτι Ἀθήνησι τοσοῦτον δύνα-
ται, ὥσθ' ὑμᾶς τοὺς αὐτούς, περὶ ὧν ὅρκους ὀμωμόκατε,
ὑμῖν αὐτοῖς τὰ ἐναντία ποιεῖν ψηφίζεσθαι. πάντες γὰρ 14
εἴσονται ὅτι τότε μὲν χιλίαις δραχμαῖς ἐξημιώσατ' αὐ-
τὸν βουλόμενον τὴν ἡμετέραν γῆν δημοσίαν ποιῆσαι,
νυνὶ δὲ κελεύων δημεῦσαι νενίκηκε, καὶ περὶ τούτων
δὴ ἀμφοτέρων Ἀθηναῖοι, παρανόμων φεύγοντος τοῦ
αὐτοῦ ἀνδρός, τἀναντία σφίσιν αὐτοῖς ἐψηφίσαντο. οὐκ 15
οὖν αἰσχρόν, εἰ ἃ μὲν Λακεδαιμονίοις συνέθεσθε βεβαι-
ώσετε, ἃ δὲ αὐτοῖς ἐψηφίσασθε οὕτω ῥᾳδίως διαλύσετε,
καὶ τὰς μὲν πρὸς ἐκείνους συνθήκας κυρίας ποιήσετε
⟨τὰς δὲ πρὸς αὐτοὺς ἀκύρους⟩; καὶ τοῖς μὲν ἄλλοις Ἕλλη-
σιν ὀργίζοισθ' ⟨ἂν⟩, εἴ τις Λακεδαιμονίους ὑμῶν περὶ
πλείονος ποιεῖται, ὑμεῖς δ' αὐτοὶ φανήσεσθε πιστότερον
πρὸς ἐκείνους ἢ πρὸς ὑμᾶς αὐτοὺς διακείμενοι; ἄξιον δὲ 16
μάλιστ' ἀγανακτῆσαι ὅτι οὕτως ἤδη οἱ τὰ τῆς πόλεως
πράττοντες διάκεινται, ὥστ' οὐχ ὅ τι ἂν τῇ πόλει βέλ-

---

2 *πολίοχος* X^{pf} Harp s. v., *πολίαχος* X^{ks} C, *πολίσχος* X^{bh}, *πολιοῦχος* Galen cf. supra titulum 3 *ἐπίδειξιν* Dobr cf. XIV 21, XXXIII 2: *ἀπόδειξιν* X 4 *καὶ ⟨πρὸς⟩ τοὺς ξέν.* Auger, sed cf. I 2, III 38, IV 18, XVII 5 5 *τοὺς αὐτοὺς* del. Francken 7 *ἐξημιώσατ'* Markl: *ἐξημίωσε* X, *ἐξημίωσα* Hamaker *αὐτὸν* Kayser: *τὸν* X 9 *νυνὶ δ' ⟨ὁ⟩* Scheibe *καὶ* ante *περὶ* del. Rs 10 *παρανόμων*] *παρὰ νόμον* Tayl, *παρανόμως* Rs, *παρανόμων ⟨διώκοντος καὶ⟩* Meyer, *παρ. . . . ἀνδρὸς* del. Hamaker, ante *νυνὶ* transponit Kayser *φεύγοντος* Ald: *φεύγοντες* X 12 *ἐβεβαιώσατε* Cob 13 *λύσετε* Dobr, sed cf. Aesch. III 83 15 *τὰς δὲ πρὸς αὐτοὺς ἀκύρους* add. C *τοῖς μὲν* est in X 16 *ἂν* add. Gebauer arg contr. 196, *ὀργιεῖσθε* vel *ὀργίζεσθε* Cont 19 *μάλιστ' ἀγανακτῆσαι* Dobr cf. Gebauer l. l. 289: *μάλιστα φθονῆσαι* X, *μ. θαυμάσαι* Markl, *μ. ὀργισθῆναι* Rauch, *μ. ἀλγῆσαι* P. Müller *ἤδη* suspectum Reiskio *οἱ* et 20 *πράττοντες* delet, *διάκειται*

τιστον ᾖ, τοῦτο οἱ ῥήτορες λέγουσιν, ἀλλ' ἀφ' ὧν ἂν
17 *αὐτοὶ κερδαίνειν μέλλωσι, ταῦτα ὑμεῖς ψηφίζεσθε. καὶ εἰ μὲν τῷ ὑμετέρῳ πλήθει συνέφερε τοὺς μὲν ἔχειν τὰ ἑτέρων, τῶν δὲ ἀδίκως δεδημεῦσθαι τὴν οὐσίαν, εἰκότως ⟨ἂν⟩ ἠμελεῖτε τῶν ὑφ' ἡμῶν λεγομένων· νυνὶ δὲ πάντες ἂν ὁμολογήσαιτε ὁμόνοιαν μέγιστον ἀγαθὸν εἶναι πόλει, στάσιν δὲ πάντων κακῶν αἰτίαν, διαφέρεσθαι δὲ πρὸς ἀλλήλους ἐκ τῶν τοιούτων μάλιστ', ἐὰν οἱ μὲν τῶν ἀλλοτρίων ἐπιθυμῶσιν, οἱ δ' ἐκ τῶν ὄντων | ἐκ-*
18 *πίπτωσι. καὶ ταῦθ' ὑμεῖς ἔγνωτε νεωστὶ κατελθόντες, ὀρθῶς βουλευόμενοι· ἔτι γὰρ ἐμέμνησθε τῶν γεγενημένων συμφορῶν, καὶ τοῖς θεοῖς εἰς ὁμόνοιαν ηὔχεσθε καταστῆναι τὴν πόλιν μᾶλλον, ἢ [ἐπὶ τιμωρίαν τῶν παρεληλυθότων τραπόμενοι] τὴν μὲν πόλιν στασιάσαι,*
19 *τοὺς δὲ λέγοντας ταχέως πλουτῆσαι. καίτοι πλείων συγγνώμη μνησικακεῖν νεωστὶ κατεληλυθόσιν, ἔτι τῆς ὀργῆς οὔσης προσφάτου, ἢ τοσούτῳ χρόνῳ ὕστερον ἐπὶ τιμωρίαν τῶν παρεληλυθότων τραπέσθαι, ὑπὸ τοιούτων πεισθέντας οἳ ἐν ἄστει μείναντες ταύτην ὑμῖν οἴονται διδόναι πίστιν τῆς αὑτῶν εὐνοίας, ἑτέρους κακῶς ποιοῦν-*

---

legit Scheibe, ⟨*πρὸς ὑμᾶς*⟩ *διάκεινται* Dobr 1 *οἱ ῥήτορες* del. Halb, *οἱ ῥήτορες* et *ταῦτα . . . ψηφίζεσθε* del. Schoell 2 *αὐτοὶ*] *οὗτοι* Dobr. Verum non plane iidem sunt *οἱ . . . πράττοντες* atque *οἱ ῥήτορες* ⟨*καὶ*⟩ *ταῦτα* Cob, *ταῦτα* ⟨*δ'*⟩ *ὑμεῖς* Baiter 4 *ἑτέρων* scripsi: *αὑτῶν* X, *ἄλλων* Meier, *τῶν ἄλλων* pp. Herw, *ἀλλότρια* Zaka *δημεύεσθαι* C 5 *ἂν* add. C, Markl, quod impugnat Gentsch, diss. Jen. IV 260 6 *ὁμόνοιαν* ⟨*μὲν*⟩ Bekker 9 *οἱ δ' αὖ τῶν* Rs 12 *ηὔχεσθε εἰς ὁμονοιαν* Cob 13 *τὴν πόλιν* ante *μᾶλλον* del. Halb *ἐπὶ . . .* 14 *τραπόμενοι* del. Baiter, *τραπομένην* Cont, *τραπομένοις* Rs, *τραπομένων* Hude, *ἐπὶ τιμωρίᾳ* deleta voce *τραπόμενοι* Rauch 15 lacunam post *πλουτῆσαι* Scheibe indicat, qua exciderit *ἐβούλεσθε συγγνώμη μὴ μνησ.* X 16 *νεωστὶ κατεληλυθόσιν* del. Dobr 19 *ταύτην* Tayl: *αὐτὴν* X 20 *κακοὺς ποιοῦντες* X, quod nonnullis placet propter *χρηστοὺς* quod sequitur

*τες, ἀλλ' οὐ σφᾶς αὐτοὺς χρηστοὺς παρέχοντες, καὶ νυνὶ
τῶν τῆς πόλεως εὐτυχιῶν ἀπολαύοντες, ἀλλ' οὐ πρότε-
ρον τῶν ὑμετέρων κινδύνων μετέχοντες.*

Καὶ εἰ μὲν ἑωρᾶτε, ὦ ἄνδρες δικασταί, σῳζόμενα τῇ 20
*πόλει τὰ ὑπὸ τούτων δημευόμενα, συγγνώμην ἂν εἴχο-
μεν· νῦν δ' ἐπίστασθε ὅτι τὰ μὲν αὐτῶν ὑπὸ τούτων
ἀφανίζεται, τὰ δὲ πολλοῦ ἄξια ὄντα ὀλίγου πιπράσκεται.
ἐὰν δ' ἐμοὶ πείθησθε, οὐκ ἐλάττω ἀπ' αὐτῶν ὑμεῖς ὠφε-
ληθήσεσθε ἢ ἡμεῖς οἱ κεκτημένοι, ἐπεὶ καὶ νυνὶ Διό-* 21
*μνηστος καὶ ἐγὼ καὶ ὁ ἀδελφὸς ἐκ μιᾶς οἰκίας τρεῖς ὄν-
τες τριηραρχοῦμεν, καὶ ὅταν ἡ πόλις δέηται χρημάτων,
ἀπὸ τούτων ὑμῖν εἰσφέρομεν. ὡς οὖν ἡμῶν ταύτῃ τῇ
γνώμῃ χρωμένων, καὶ τῶν προγόνων τῶν ἡμετέρων τοι-
ούτων γεγενημένων, φείδεσθε ἡμῶν. οὐδὲν γὰρ ἂν ἡμᾶς* 22
*κωλύοι, ὦ ἄνδρες δικασταί, ἀθλιωτάτους εἶναι, ἐπὶ μὲν
τῶν τριάκοντα ὀρφανοὺς καταλειφθέντας, ἐν δὲ τῇ δη-
μοκρατίᾳ τῶν ὄντων ἐστερημένους, οἷς ἡ τύχη παρέδω-
κεν ὥστ' ἔτι ἡμᾶς παῖδας ὄντας ἐπὶ τὴν Παυσανίου
σκηνὴν ἐλθόντας βοηθῆσαι τῷ πλήθει. καὶ τοιούτων
ἡμῖν ὑπαρχόντων εἰς τίνας ἂν ἐβουλήθημεν δικαστὰς
καταφυγεῖν; οὐκ εἰς τοὺς οὕτω πολιτευομένους, ὑπὲρ ἧς* 23
*πολιτείας καὶ ὁ πατὴρ καὶ οἱ προσήκοντες ἡμῖν ἀπέθα-
νον; νῦν τοίνυν ταύτην ἀνθ' ἁπάντων ἀπαιτοῦμεν ὑμᾶς
τὴν χάριν, μὴ περιιδεῖν ἡμᾶς ἀπόρως διατεθέντας μηδ'
ἐνδεεῖς τῶν ἐπιτηδείων γενομένους, μηδὲ τὴν τῶν προ-*

---

3 *μετασχόντες* Cob 4 *ἑωρῶμεν* Zaka 8 *ἂν δέ μοι* X *πίθησθε* Cob, *πεισθῆτε* Fuhr coll. XXI 12, sed cf. XXI 20 *ὠφελήσεσθε* Cob 9 *Διόμνηστος* Diogneti fuisse filius videtur 15 *ἀθλιωτάτους* Steph: *ἀθλιοθεάτους* X 17 *παρέδωκεν*] aut addendum aut certe subaudiendum *τοσοῦτον δύνασθαι* putat Rs, *ἔδωκεν* Dobr 18 *ἡμᾶς* del. Scheibe 21 *εἰς* ⟨*αὐτοὺς*⟩ *τοὺς* Rauch *ἧς πολιτείας* Taylor: *τῆς πολιτείας ἧς* X, *ἧς* Emperius 22 *ὑπεραπέθανον* Rs

γόνων εὐδαιμονίαν καταλῦσαι, ἀλλὰ πολὺ μᾶλλον παρά-
δειγμα ποιῆσαι τοῖς βουλομένοις τὴν πόλιν εὖ ποιεῖν,
οἵων ὑμῶν ἐν τοῖς κινδύνοις τεύξονται.

24 Οὐκ ἔχω, ὦ ἄνδρες δικασταί, οὕστινας δεησομένους
ὑπὲρ ἡμῶν ἀναβιβάσομαι· τῶν γὰρ προσηκόντων οἱ μὲν
ἄνδρας ἀγαθοὺς αὑτοὺς παρασχόντες καὶ μεγάλην τὴν
πόλιν ποιοῦντες ἐν τῷ πολέμῳ τεθνᾶσιν, οἱ δ' ὑπὲρ τῆς
δημοκρατίας καὶ τῆς ὑμετέρας ἐλευθερίας ὑπὸ τῶν τριά-
25 κοντα κώνειον πιόντες, ὥστε τῆς ἐρημίας τῆς ἡμετέρας
αἴτιαι γεγόνασιν αἵ τε τῶν προσηκόντων ἀρεταὶ καὶ αἱ
τῆς πόλεως συμφοραί. ὧν ἄξιον ὑμᾶς ἐνθυμηθέντας
προθύμως ἡμῖν βοηθῆσαι, ἡγησαμένους τούτους ἂν ἐν
δημοκρατίᾳ δικαίως εὖ πάσχειν ὑφ' ὑμῶν, οἵπερ ἐν ὀλι-
26 γαρχίᾳ τῶν συμφορῶν μετέσχον ⟨τὸ⟩ μέρος. Ἀξιῶ δὲ
καὶ τούτους τοὺς συνδίκους εὔνους ἡμῖν εἶναι, ἐκείνου
τοῦ χρόνου μνησθέντας, ὅτ' ἐκ τῆς πατρίδος ἐκπεπτω-
κότες καὶ τὰς οὐσίας ἀπολωλεκότες ἄνδρας ἀρίστους
ἐνομίζετ' εἶναι τοὺς ὑπὲρ ὑμῶν ἀποθνῄσκοντας, καὶ τοῖς
θεοῖς ηὔχεσθε δυνηθῆναι χάριν τοῖς ἐξ ἐκείνων ἀπο-
27 δοῦναι. ἡμεῖς τοίνυν, υἱεῖς ὄντες καὶ συγγενεῖς τῶν ὑπὲρ
τῆς ἐλευθερίας προκεκινδυνευκότων, ἀπαιτοῦμεν ὑμᾶς
νυνὶ ταύτην τὴν χάριν, καὶ ἀξιοῦμεν μὴ ἀδίκως ἡμᾶς
ἀπολέσαι, ἀλλὰ πολὺ μᾶλλον βοηθεῖν τοῖς τῶν αὐτῶν
μετασχοῦσι συμφορῶν. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ ἀντι-
βολῶ καὶ ἱκετεύω, καὶ τούτων παρ' ὑμῶν τυγχάνειν
ἀξιῶ· οὐ γὰρ περὶ μικρῶν κινδυνεύομεν, ἀλλὰ περὶ τῶν
ὄντων ἁπάντων.

---

1 ⟨ἐν ἡμῖν⟩ καταλῦσαι Rs 6 aut παρέχοντες aut 7 ποιοῦντας legendum censet Rs 10 αἰτίαι γεγ. X 14 τὸ add. C ἀξιῶ est in X cf. 27, XXI 25, ἄξιον Markl 15 εἶναι ⟨καὶ ὑμᾶς⟩ Auger 25 τούτων παρ'] τοιούτων Cob

19.

ΥΠΕΡ ΤΩΝ | ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΧΡΗΜΑΤΩΝ, ΠΡΟΣ ΤΟ ΔΗΜΟΣΙΟΝ.

Πολλήν μοι ἀπορίαν παρέχει ὁ ἀγὼν οὑτοσί, ὦ ἄν- 1
δρες δικασταί, ὅταν ἐνθυμηθῶ ὅτι, ἐὰν ἐγὼ μὲν μὴ νῦν
εὖ εἴπω, οὐ μόνον ἐγὼ ἀλλὰ καὶ ὁ πατὴρ δόξει ἄδικος
εἶναι καὶ τῶν ὄντων ἁπάντων στερήσομαι· ἀνάγκη οὖν,
εἰ καὶ μὴ δεινὸς πρὸς ταῦτα πέφυκα, βοηθεῖν τῷ πατρὶ
καὶ ἐμαυτῷ οὕτως ὅπως ἂν δύνωμαι. „τὴν μὲν οὖν παρα- 2
σκευὴν καὶ ⟨τὴν⟩ προθυμίαν τῶν ἐχθρῶν ὁρᾶτε“, καὶ
οὐδὲν δεῖ περὶ τούτων λέγειν· τὴν δ' ἐμὴν ἀπειρίαν
πάντες ἴσασιν, ὅσοι ἐμὲ γιγνώσκουσιν. „αἰτήσομαι οὖν
ὑμᾶς δίκαια καὶ ῥᾴδια χαρίσασθαι“, ἄνευ ὀργῆς καὶ ἡμῶν
ἀκοῦσαι, ὥσπερ ⟨καὶ⟩ τῶν κατηγόρων. „ἀνάγκη γὰρ τὸν 3
ἀπολογούμενον, κἂν ἐξ ἴσου ἀκροᾶσθε, ἔλαττον ἔχειν.
οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύοντες, αὐτοὶ
ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο, ἡμεῖς
δὲ ἀγωνιζόμεθα μετὰ δέους καὶ διαβολῆς καὶ κινδύνου
⟨τοῦ⟩ μεγίστου. εἰκὸς οὖν ὑμᾶς εὔνοιαν πλείω“ ἔχειν
τοῖς ἀπολογουμένοις. οἶμαι γὰρ πάντας ὑμᾶς εἰδέναι 4
„ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ κατηγορήσαντες παρα-
χρῆμα ἐξηλέγχθησαν ψευδόμενοι οὕτω φανερῶς“, ὥστε
ὑπὸ πάντων ⟨ὑπὲρ⟩ τῶν πεπραγμένων μισηθέντες ἀπελ-
θεῖν· „οἱ δ' αὖ μαρτυρήσαντες τὰ ψευδῆ καὶ ἀδίκως

---

2 Or. XIX ΥΠΕΡ C: ΥΠΟ X 5 *μὲν* del. Rs 8 *μὴ δεινὸς* a pr. m. postea additum in X[s] 10 *τὴν* add. Fuhr cf. fr. 70 And. I 1 13 *καὶ ⟨ὁμοίως⟩ ἡμῶν* Francken 14 *καὶ* add. West §§ 3—6 del. Kocks 16 *ἐπιβουλεύσαντες* habet And. I 6 19 *τοῦ* add. Francken cf. And. 23 *ὑπὸ πάντων ὑπὲρ τῶν πεπραγμένων* Sauppe: *ὑπὲρ πάντων τῶν πεπραγμένων* X, *ὑφ' ἁπάντων τῶν παραγενομένων* Dobr 24 *καὶ* del. Rauch, apud And. addit Blass

ἀπολέσαντες ἀνθρώπους ἑάλωσαν, ἡνίκα οὐδὲν ἦν πλέον
5 τοῖς πεπονθόσιν. ὅτ᾽ οὖν τοιαῦτα πολλὰ γεγένηται, ὡς
ἐγὼ ἀκούω, εἰκὸς ὑμᾶς, ὦ ἄνδρες δικασταί, μήπω τοὺς
τῶν κατηγόρων λόγους ἡγεῖσθαι πιστούς“, πρὶν ἂν καὶ
ἡμεῖς εἴπωμεν. ἀκούω γὰρ ἔγωγε, καὶ ὑμῶν δὲ τοὺς πολ-
λοὺς οἶμαι εἰδέναι, ὅτι πάντων δεινότατόν ἐστι διαβολή.
6 μάλιστα δὲ τοῦτο ἔχοι ἄν τις ἰδεῖν, ὅταν πολλοὶ ἐπὶ τῇ
αὐτῇ αἰτίᾳ εἰς ἀγῶνα καταστῶσιν. ὡς γὰρ ἐπὶ τὸ πολὺ
οἱ τελευταῖοι κρινόμενοι σῴζονται· πεπαυμένοι γὰρ τῆς
ὀργῆς αὐτῶν ἀκροᾶσθε, καὶ τοὺς ἐλέγχους ἤδη ἐθέλον-
τες ἀποδέχεσθε.
7 Ἐνθυμεῖσθε οὖν ὅτι Νικόφημος καὶ Ἀριστοφάνης
ἄκριτοι ἀπέθανον, πρὶν παραγενέσθαι τινὰ αὐτοῖς ἐλεγ-
χομένοις ὡς ἠδίκουν. οὐδεὶς γὰρ οὐδ᾽ εἶδεν ἐκείνους
μετὰ τὴν σύλληψιν· οὐδὲ γὰρ θάψαι τὰ σώματ᾽ αὐτῶν
ἀπέδοσαν, ἀλλ᾽ οὕτω δεινὴ ⟨ἡ⟩ συμφορὰ γεγένηται ὥστε
8 πρὸς τοῖς ἄλλοις καὶ τούτου ἐστέρηνται. ἀλλὰ ταῦτα
μὲν ἐάσω· οὐδὲν γὰρ ἂν περαίνοιμι· πολὺ δὲ ἀθλιώτε-
ροι δοκοῦσί μοι οἱ παῖδες οἱ Ἀριστοφάνους· οὐδένα γὰρ
οὔτ᾽ ἰδίᾳ οὔτε δημοσίᾳ ἠδικηκότες οὐ μόνον τὰ πατρῷα
ἀπολωλέκασι παρὰ τοὺς νόμους τοὺς ὑμετέρους, ἀλλὰ
καὶ ἡ ὑπόλοιπος ἐλπὶς ἦν, ἀπὸ ⟨τῶν⟩ τοῦ πάππου ἐκ-
9 τραφῆναι, ἐν οὕτω δεινῷ καθέστηκεν. ἔτι δ᾽ ἡμεῖς

1 pone ἦν Cob ex And. ἔτι add. 7 ἰδεῖν Cont: δεινότατον X 10 ἐθέλοντες Pertz: θέλοντες X 11 ἀποδέχεσθαι Rs 12 ἐνθυμεῖσθε a pr. m. ex ἐνθυμεῖσθαι X 15 οὐδὲ γὰρ Dobr: οὐ γὰρ X 16 ἀπέδωκαν X, sed cf. Meisterhans, gramm.[2] 151 ἡ add. Rs 17 καὶ τοῦ τάφου ἐστέρ. Wdn 19 εἶναι add. pone δοκοῦσι Franz, pone μοι Fuhr, pone παῖδες facilius excidere potuit, sed cf. § 44 οὐδένα] οὐδὲν Frb, sed cf. Demosth. XXXVI 57 22 ἀπὸ τῶν τοῦ Halb: ὑπὸ τοῦ X, ἐκ τῶν τοῦ Francken 23 δεινῷ ⟨κινδύνῳ⟩ Kayser, οὕτως ἐν δεινῷ Rauch, ἐν ὑπερδείνῳ Frb, ἐν τοσούτῳ δεινῷ vel ἐν οὐδενὶ νῦν West, sed Fuhr affert Luc. Ἀποκηρ. 14

ἐστερημένοι μὲν κηδεστῶν, ἐστερημένοι δὲ τῆς προικός, παιδάρια δὲ τρία ἠναγκασμένοι τρέφειν, προσέτι συκοφαντούμεθα καὶ κινδυνεύομεν περὶ ὧν οἱ πρόγονοι ἡμῖν κατέλιπον κτησάμενοι ἐκ τοῦ δικαίου. καίτοι, ὦ ἄνδρες δικασταί, ὁ ἐμὸς πατὴρ ἐν ἅπαντι τῷ βίῳ πλείω εἰς τὴν πόλιν ἀνήλωσεν ἢ εἰς αὑτὸν καὶ τοὺς οἰκείους, διπλάσια δὲ ἢ νῦν ἔστιν ἡμῖν, ὡς ἐγὼ λογιζομένῳ αὐτῷ πολλάκις παρεγενόμην. μὴ οὖν προκαταγιγνώσκετε ἀδι- **10** κίαν τοῦ εἰς αὑτὸν μὲν μικρὰ δαπανῶντος, ὑμῖν δὲ πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτόν, ἀλλ' ὅσοι καὶ τὰ πατρῷα καὶ ἐάν τί ποθεν κερδήνωσιν, εἰς τὰς αἰσχίστας ἡδονὰς εἰθισμένοι εἰσὶν ἀναλίσκειν. χαλεπὸν μὲν οὖν, **11** ὦ ἄνδρες δικασταί, ἀπολογεῖσθαι πρὸς δόξαν ἣν ἔνιοι ἔχουσι περὶ τῆς Νικοφήμου οὐσίας, καὶ σπάνιν ἀργυρίου ἣ νῦν ἐστιν ἐν τῇ πόλει, καὶ τοῦ ἀγῶνος πρὸς τὸ δημόσιον ὄντος· ὅμως | δὲ καὶ τούτων ὑπαρχόντων ῥᾳδίως γνώσεσθε ὅτι οὐκ ἀληθῆ ἐστι τὰ κατηγορημένα. δέομαι δ' ὑμῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μετ' εὐνοίας „ἀκροασαμένους ἡμῶν διὰ τέλους, ὅ τι ἂν ὑμῖν ἄριστον καὶ εὐορκότατον νομίζητε εἶναι, τοῦτο ψηφίσασθαι.“

Πρῶτον μὲν οὖν, ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, **12**

---

1 τῶν ante κηδ. add. Frb 6 ἀνήλωσεν Tayl: ἀνάλωσεν X 7 τετραπλάσια cf. § 59 et 61 Spengel δὲ del. Frb, δὴ Rauch 10 τὸν] δόντος Sluiter, pone ἐνιαυτὸν add. χορηγοῦντος Markl, προεικότος vel εἰσενηνοχότος Rs, ἀναλώσαντος Francken, λητουργοῦντος P. Müller, ἐπιδιδόντος Wdn 11 κερδάνωσιν Cont: μὴ δῶσιν X, λάβωσιν C, κληρονομήσωσιν Markl, κτήσασθαι vel λαβεῖν δυνηθῶσι Rs, κτήσωνται Dobr, ὠφεληθῶσιν Kayser, ἄλλοθεν (cum Westermanno) ἔχωσιν (cum Scheibio) Fuhr, qui εὐπορήσωσι vel πορίσωσι quoque proponit 14 καὶ σπάνιν] καὶ διὰ σπ. Foertsch, διὰ σπ. Roehl, sed cf. Demosth. VI 31 15 νῦν ἔστιν Frb ἐν del. Tayl καὶ ante τοῦ del. Halb, καὶ ταῦτα τοῦ vel ἄλλως τε καὶ τοῦ Markl 19 ἀκροασομένων ὑμῶν X 20 νομίζητε Rs cf. And. I 9: νομίζεται X, νομίσητε C

διδάξω ὑμᾶς. στρατηγῶν γὰρ Κόνων περὶ Πελοπόννησον, τριηραρχήσαντι τῷ ἐμῷ πατρὶ πάλαι φίλος γεγενημένος, ἐδεήθη δοῦναι τὴν ⟨ἐμὴν⟩ ἀδελφὴν αἰτοῦντι
13 *τῷ ὑεῖ τῷ Νικοφήμου. ὁ δὲ ὁρῶν αὐτοὺς ὑπ᾽ ἐκείνου τε πεπιστευμένους γεγονότας τε ἐπιεικεῖς τῇ ⟨τε⟩ πόλει ἔν γε τῷ τότε χρόνῳ ἀρέσκοντας, ἐπείσθη δοῦναι, οὐκ εἰδὼς τὴν ἐσομένην διαβολήν, ἀλλ᾽ ὅτε καὶ ὑμῶν ὁστισοῦν ἂν ἐκείνοις ἠξίωσε κηδεστὴς γενέσθαι, ἐπεὶ ὅτι γε οὐ χρημάτων ἕνεκα, ῥᾴδιον γνῶναι ἐκ τοῦ βίου παντὸς*
14 *καὶ τῶν ἔργων τῶν τοῦ πατρός. ἐκεῖνος γὰρ ὅτ᾽ ἦν ἐν τῇ ἡλικίᾳ, παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην, ὅτι δὲ Ξενοφῶντος ἦν θυγάτηρ τοῦ Εὐριπίδου ὑέος, ὃς οὐ μόνον ἰδίᾳ χρηστὸς ἐδόκει εἶναι, ἀλλὰ καὶ στρατηγεῖν*
15 *αὐτὸν ἠξιώσατε, ὡς ἐγὼ ἀκούω. τὰς τοίνυν ἐμὰς ἀδελφὰς ἐθελόντων τινῶν λαβεῖν ἀπροίκους πάνυ πλουσίων οὐκ ἔδωκεν, ὅτι ἐδόκουν κάκιον γεγονέναι, ἀλλὰ τὴν μὲν Φιλομήλῳ τῷ Παιανιεῖ, ὃν οἱ πολλοὶ βελτίω ἡγοῦνται εἶναι ἢ πλουσιώτερον, τὴν δὲ πένητι γεγενημένῳ οὐ διὰ κακίαν, ἀδελφιδῷ δὲ ὄντι Φαίδρῳ ⟨τῷ⟩ Μυρρινουσίῳ, ἐπιδοὺς τετταράκοντα μνᾶς, κᾆτ᾽ Ἀριστοφάνει*

---

3 *ἐμὴν* add. Tayl, *ἀδελφὴν ⟨τὴν ἐμὴν⟩* Cob 5 *γεγονότας γε* Frb *τε* add. Rs 6 *ἔν γε* Rs: *ἔν τε* X, *γεγονότας τε ἐπιεικεῖς* del. Kayser, *γεγον. τε ἐπ. τῇ πόλει ἔν γε τῷ* Sauppe, *γεγον. τ᾽ ἐπιεικῶς τῇ τε πόλει* Cob *οὐ προειδὼς* West 7 *ἀλλ᾽ ὅτε* Sluiter: *αλλο τε* X 9 *βίου πᾶν καὶ* X 11 *τῇ* pone *ἐν* del. Cob *ἄλλην* del. Halb 16 *θελόντων* X, ut § 6 17 *οὐκ ἔδωκεν* Bekker: *οὐ δέδωκεν* X 20 *ὄντι Φαίδρῳ* Tayl: *φαίδρω ὄντι* X *τῷ* secundum Reiskium add. Dobr 21 *κᾆτ᾽* Sauppe: *καὶ* X, del. Emperius (vel *τὸ ἴσον καὶ Ἀρ.*), *καὶ . . . ἴσον* del. Francken, *Ἀρ. ⟨τὸ δεύτερον ἐκείνου ἀποθανόντος ἐπιδοὺς⟩* West, *Ἀρ. ⟨μετὰ τὴν Φαίδρου τελευτὴν ἐπιδοὺς⟩* Kayser, sed cf. Demosth. XL 7; quapropter *μνᾶς ⟨ἃς⟩ καὶ* Rs

τὸ ἴσον. πρὸς δὲ τούτοις ἐμοὶ πολλὴν ἐξὸν πάνυ προῖκα 16
λαβεῖν ἐλάττω συνεβούλευσεν, ὥστε εὖ εἰδέναι ὅτι κη-
δεσταῖς χρησοίμην κοσμίοις καὶ σώφροσι. καὶ νῦν ἔχω
γυναῖκα τὴν Κριτοδήμου θυγατέρα τοῦ Ἀλωπεκῆθεν,
ὃς ὑπὸ Λακεδαιμονίων ἀπέθανεν, ὅτε ἡ ναυμαχία ἐγένετο
⟨ἡ⟩ ἐν Ἑλλησπόντῳ. καίτοι, ὦ ἄνδρες δικασταί, ὅστις 17
αὐτός τε ἄνευ χρημάτων ἔγημε τοῖν τε θυγατέροιν πολὺ
ἀργύριον ἐπέδωκε τῷ τε υἱεῖ ὀλίγην προῖκα ἔλαβε, πῶς
οὐκ εἰκὸς περὶ τούτου πιστεύειν ὡς οὐχ ἕνεκα χρημάτων
τούτοις κηδεστὴς ἐγένετο;

Ἀλλὰ μὴν ὅ γε Ἀριστοφάνης ἤδη ἔχων τὴν γυναῖκα 18
ὅτι πολλοῖς ἂν μᾶλλον ἐχρῆτο ἢ τῷ ἐμῷ πατρί, ῥᾴδιον
γνῶναι. ἥ τε γὰρ ἡλικία πολὺ διάφορος, ἥ τε φύσις
ἔτι πλέον· ἐκείνῳ μὲν γὰρ ⟨ἀρκοῦν⟩ ἦν τὰ ἑαυτοῦ
πράττειν, Ἀριστοφάνης δὲ οὐ μόνον τῶν ἰδίων ἀλλὰ
καὶ τῶν κοινῶν ἐβούλετο ἐπιμελεῖσθαι, καὶ εἴ τι ἦν
αὐτῷ ἀργύριον, ἀνήλωσεν ἐπιθυμῶν τιμᾶσθαι. γνώσεσθε 19
δὲ ὅτι ἀληθῆ λέγω ἐξ αὐτῶν ὧν ἐκεῖνος ἔπραττε. πρῶ-
τον μὲν γὰρ βουλομένου Κόνωνος πέμπειν τινὰ εἰς
Σικελίαν, ᾤχετο ὑποστὰς μετὰ Εὐνόμου, Διονυσίου
φίλου ὄντος καὶ ξένου, τὸ πλῆθος τὸ ὑμέτερον πλεῖστα
ἀγαθὰ πεποιηκότος, ὡς ἐγὼ ἀκήκοα τῶν ἐν Πειραιεῖ
τῶν παραγενομένων. ἦσαν δ' ἐλπίδες τοῦ πλοῦ πεῖσαι 20

---

5 ἐγένετο ἐν X, ἡ add. P. Müller cf. Demosth. XX 52
7 τοῖν Keck: ταῖν X 8 υἱῷ X 12 ἂν] δὴ Sauppe, ἄλλοις Rs, ἀνθρώποις Kayser, Ἀθηναίοις P. Müller, καὶ Wdn 14 ἀρκοῦν add. P. Müller, ἱκανὸν Tayl, ἀγαπητὸν Cont, ἥδιον vel προσφιλὲς Rs, ἡδομένῳ Scheibe, ἐπιμελὲς Kayser, ἐκείνου μὲν γὰρ ἦν Heldmann, pro ἦν scribunt ἤρκει Jacobs, ἤρεσκε Dobr
17 ἀνήλωσεν ἂν Zaka, malim ἀνήλισκεν 18 αὐτῶν del. Cob
20 Διονυσίου Sauppe: καὶ Λυσίου X, καὶ Λ. ⟨Διονυσίῳ⟩ Kayser
23 τῶν (pone Πειρ.) om. C, αὐτῶν Sauppe, τότε West ⟨ἐκ⟩ τοῦ Richards

Διονύσιον κηδεστὴν μὲν γενέσθαι Εὐαγόρᾳ, πολέμιον δὲ Λακεδαιμονίοις, φίλον δὲ καὶ σύμμαχον τῇ πόλει τῇ ὑμετέρᾳ. καὶ ταῦτ' ἔπραττον πολλῶν κινδύνων ὑπαρχόντων πρὸς τὴν θάλατταν καὶ τοὺς πολεμίους, καὶ ἔπεισαν Διονύσιον μὴ πέμψαι ⟨τὰς⟩ τριήρεις ἃς τότε
21 *παρεσκευάσατο Λακεδαιμονίοις. μετὰ δὲ ταῦτα ἐπειδὴ οἱ πρέσβεις ἧκον ἐκ Κύπρου ἐπὶ τὴν βοήθειαν, οὐδὲν ἐνέλιπε προθυμίας σπεύδων. ὑμεῖς δὲ ⟨δέκα⟩ τριήρεις αὐτοῖς ἔδοτε καὶ τἆλλα ἐψηφίσασθε, ἀργυρίου δ' εἰς τὸν ἀπόστολον ἠπόρουν. ὀλίγα μὲν γὰρ ἦλθον ἔχοντες χρήματα, πολλῶν δὲ προσεδεήθησαν· οὐ γὰρ μόνον ⟨τοὺς⟩ εἰς τὰς ναῦς, ἀλλὰ καὶ πελταστὰς ἐμισθώσαντο*
22 *καὶ ὅπλα ἐπρίαντο. Ἀριστοφάνης [δ'] οὖν τῶν χρημάτων τὰ μὲν πλεῖστα αὐτὸς παρέσχεν· ἐπειδὴ δὲ οὐχ ἱκανὰ ἦν, τοὺς φίλους ἔπειθε δεόμενος καὶ ἐγγυώμενος, καὶ τοῦ ἀδελφοῦ τοῦ ὁμοπατρίου ἀποκειμένας παρ' αὐτῷ τετταράκοντα μνᾶς ἀπορῶν κατεχρήσατο. τῇ δὲ προτεραίᾳ ᾗ ἀνήγετο, | εἰσελθὼν ὡς τὸν πατέρα τὸν ἐμὸν ἐκέλευσε χρῆσαι ὅ τι εἴη ἀργύριον. προσδεῖν γὰρ ἔφη πρὸς τὸν μισθὸν τοῖς πελτασταῖς. ἦσαν δ' ἡμῖν*
23 *ἔνδον ἑπτὰ μναῖ· ὁ δὲ καὶ ταύτας λαβὼν κατεχρήσατο. τίνα γὰρ οἴεσθε, ὦ ἄνδρες δικασταί, φιλότιμον μὲν ὄντα, ἐπιστολῶν δ' αὐτῷ ἡκουσῶν παρὰ τοῦ πατρὸς μηδενὸς ἀπορήσειν [ἐκ Κύπρου], ᾑρημένον δὲ πρεσβευτὴν καὶ*

5 *τὰς* add. Frb, *τριήρεις* pone *Λακ.* ponit Wdn 6 *παρεσκεύαστο* Bekker 8 *συσπεύδων* malit Herw *δέκα* add. post Westermannum Halb 10 ⟨*οὐκ*⟩ *ὀλίγα* P. Müller, *πολλὰ* Sauppe 11 *γὰρ* del. Hertlein, *οὐ τῶν μόνον* Wdn 12 *τοὺς* add. Frb, *ἐπιβάτας* add. Rs 13 *δ'* del. Frb 17 *ἀπορῶν* Kayser: *εἰπὼν* X, *λαβὼν* C, *πείθων* Jacobs, *ἀπιὼν* Scheibe, *ἔχων* Cob, *σπεύδων* Wdn 18 *ᾗ* Steph: *ἡ* X, *ᾗ ἡ* C corr. 20 *πρὸς τὸν μισθὸν* del. Halb 23 *αὐτῷ* habet X *μηδενὸς* Markl: *μηδὲν* X 24 *ἐκ Κύπρου* del. Rauch, pone *πατρὸς* collocat Rs, *ἐν Κύπρῳ* Markl, *ἐκεῖ*, *προσῃρημένον* Wdn

μέλλοντα πλεῖν ὡς Εὐαγόραν, ὑπολιπέσθαι ἄν τι τῶν ὄντων, ἀλλ' οὐχ ἃ ἦν δυνατὸς πάντα παρασχόντα χαρίσασθαι ἐκείνῳ τε καὶ κομίσασθαι μὴ ἐλάττω; Ὡς τοίνυν ταῦτ' ἐστὶν ἀληθῆ, κάλει μοι Εὔνομον.

ΜΑΡΤΥΡΙΑ.

⟨*Κάλει μοι καὶ τοὺς ἄλλους μάρτυρας.*

ΜΑΡΤΥΡΕΣ.⟩

Τῶν μὲν μαρτύρων ἀκούετε, οὐ μόνον ὅτι ἔχρησαν 24
τὸ ⟨ἀργύριον⟩ ἐκείνου δεηθέντος, ἀλλὰ καὶ ὅτι ἀπειλήφασιν· ἐκομίσθη γὰρ αὐτοῖς ἐπὶ τῆς τριήρους.

Ῥᾴδιον μὲν οὖν ἐκ τῶν εἰρημένων γνῶναι ὅτι τοιούτων καιρῶν συμπεσόντων οὐδενὸς ἂν ἐφείσατο τῶν ἑαυτοῦ· ὃ δὲ μέγιστον τεκμήριον· Δῆμος γὰρ ὁ Πυρι- 25
λάμπους, τριηραρχῶν εἰς Κύπρον, ἐδεήθη μου προσελθεῖν αὐτῷ, λέγων ὅτι ἔλαβε ⟨μὲν⟩ σύμβολον παρὰ βασιλέως τοῦ μεγάλου φιάλην χρυσῆν, [ὡς Ἀριστοφάνην,] ⟨βούλεται δὲ⟩ λαβεῖν ἑκκαίδεκα μνᾶς ἐπ' αὐτῇ, ἵν' ἔχοι

---

1 *ὑπολιπέσθαι* Lipsius: *ὑπολείπεσθαι* X *ἀντὶ* X 2 *οὐχ ἃ ἦν* Bekker: *οὐκ ειην* (sic) X, *οὐχ ὧν ἦν* Scal, *οὐχ ὅτι ἦν* Wdn, *ἀλλ' οὐ πάντα παρ. χαρ. ἐκείνῳ, εἰ ἦν δυνατὸς κομ.* West 3 *τε*] *ἐφ' ᾧ τε* Rauch, idem deleta voce *ἐκείνῳ* Wdn, *τ' ἐκείνῳ καὶ* C. Schmidt, *ἄλλως τε καὶ κομ. μὴ ἐλ. ἐλπίσαντα* Kocks, sed cf. Gebauer arg. 50 4 *Εὔνομον ⟨καὶ Λυσίαν⟩* Markl, *Εὔν. ⟨καὶ τοὺς ἄλλους⟩* Auger, *Εὔν. ⟨καὶ τὸν καὶ τόν.⟩* cf. § 59 Herw, sed X[s] habet *μαρτυρία*, non *μάρτυρες*. Quam ob rem Westermannum sequi malui 8 *ἔχρησαν τὸ ἀργύριον* Rs: *ἐχρήσαντο* X, *ἔχρησαν* C 13 *τὸ δὲ μέγιστον* Cob 14 *προσελθόντ' αὐτῷ λέγειν* West 15 *μὲν* add. Sauppe 16 *φιάλην χρυσῆν* C: *φιάλης μὲν χρυσῆς* X *ὡς Ἀριστοφάνην* del. Dobr 17 *βούλεται δὲ* add. Frb, *ὡς Ἀρ. λαβεῖν ⟨δανείσαντα⟩* Rs, *καὶ ὡς Ἀριστοφάνης δανεῖσαι ἑκκ.* Emperius, *ἣν ὑποθήσειν εὐθέως Ἀριστοφάνει λαβὼν* Kayser, *δώσει δ' Ἀριστοφάνει λαβὼν* Sauppe, *καὶ λαβεῖν* Scheibe, *ὡς δὲ δοίη ἄγειν λαβὼν* Wdn, *ὥστε παρ' Ἀριστοφάνους λαβεῖν* J. Kirchner *ἵν'* Sauppe: *ἂν* X, *ἃς* Ald

ἀναλίσκειν εἰς τὴν τριηραρχίαν· ἐπειδὴ δὲ εἰς Κύπρον ἀφίκοιτο, λύσεσθαι ἀποδοὺς εἴκοσι μνᾶς· πολλῶν γὰρ ἀγαθῶν καὶ ἄλλων χρημάτων εὐπορήσειν διὰ τὸ σύμ-
26 *βολον ἐν πάσῃ τῇ ἠπείρῳ. Ἀριστοφάνης τοίνυν ἀκούων μὲν ταῦτα Δήμου, δεομένου δ' ἐμοῦ, μέλλων δ' ἄξειν ⟨τὸ⟩ χρυσίον, τέτταρας δὲ μνᾶς τόκον λήψεσθαι, οὐκ ἔφη εἶναι, ἀλλ' ὤμνυε καὶ προσδεδανεῖσθαι τοῖς ξένοις ἄλλοθεν, ἐπειδὴ ἥδιστ' ⟨ἂν⟩ ἀνθρώπων ἄγειν τε εὐθὺς ἐκεῖνο τὸ σύμβολον καὶ χαρίσασθαι ἡμῖν ἃ ἐδεόμεθα.*
27 *ὡς δὲ ταῦτ' ἐστὶν ἀληθῆ, μάρτυρας ὑμῖν παρέξομαι.*

ΜΑΡΤΥΡΕΣ.

Ὅτι μὲν τοίνυν οὐ κατέλιπεν Ἀριστοφάνης ἀργύριον οὐδὲ χρυσίον, ῥᾴδιον γνῶναι ἐκ τῶν εἰρημένων καὶ μεμαρτυρημένων· χαλκώματα δὲ σύμμεικτα οὐ πολλὰ ἐκέκτητο, ἀλλὰ καὶ ὅθ' εἱστία τοὺς παρ' Εὐαγόρου πρεσβεύοντας, αἰτησάμενος ἐχρήσατο. ἃ δὲ κατέλιπεν, ἀναγνώσεται ὑμῖν.

⟨ΑΠΟΓΡΑΦΗ ΧΑΛΚΩΜΑΤΩΝ.⟩

28 *Ἴσως ἐνίοις ὑμῶν, ὦ ἄνδρες δικασταί, δοκεῖ ὀλίγα εἶναι· ἀλλ' ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι πρὶν τὴν ναυμαχίαν νικῆσαι ⟨Κόνωνα, Ἀριστοφάνει⟩ γῆ μὲν οὐκ ἦν ἀλλ' ἢ*

---

1 *τὰς τριηραρχίας* superscripto *ἦν . . . αν* X, *τὰ τῆς τριηραρχίας* Scheibe 2 *λύσεσθαι* Steph: *λύσασθαι* X 3 *ἀγαθῶν ἄλλων καὶ χρ.* Steph, *ἀγ. καὶ ἄλλ. καὶ χρ.* Rs, *χρημάτων καὶ ἄλλων ἀγ.* Dobr, *ἄλλων ἀγ. καὶ χρ.* Wrobel, *πολλῶν δὲ ἀγαθῶν καὶ ἄλλων αὐτὸν εὐπ.* Blass 5 *δ' ἐμοῦ*] *δε μου* X, *δι' ἐμοῦ* Rs 6 *τὸ* add. Sauppe 8 *ἐπεὶ* Hartman *ἄν* add. Markl *ἀγαγεῖν* malit Hude *εὐθὺς*] *αὐτὸς* Rs 18 *χαλκωμάτων* Rs, *χρημάτων* C, in X titulus deest 20 *πρὶν* Sluiter: *πρὶν νικοφήμῳ ἢ καὶ ἀριστοφάνει πρὶν* X, *Ἀριστοφάνει πρὶν* Rs, *αὐτῷ πρὶν* Fuhr 21 *Κόνωνα* add. Bekker, *Ἀριστοφάνει* hic add. West, *γῆ μὲν* Ald: *γε μὴν* X, *ἡμᾶς* Scheibe, *ὑμᾶς* Kayser ⟨*Κόνωνα τὴν περὶ Κνίδον*⟩ *γενομένην* Frb *ἀλλ' ἢ*] *ἀλλ' ει* (sic) X

χωρίδιον μικρὸν Ῥαμνοῦντι. ἐγένετο δ' ⟨ἡ⟩ ναυμαχία [394/3 ἐπ' Εὐβουλίδου ἄρχοντος. ἐν οὖν τέτταρσιν ἢ πέντε 29 ἔτεσι, πρότερον μὴ ὑπαρχούσης οὐσίας, χαλεπόν, ὦ ἄνδρες δικασταί, τραγῳδοῖς τε δὶς χορηγῆσαι, ὑπὲρ αὑτοῦ τε καὶ τοῦ πατρός, καὶ τρία ἔτη συνεχῶς τριηραρχῆσαι, εἰσφοράς τε πολλὰς εἰσενηνοχέναι, οἰκίαν τε πεντήκοντα μνῶν πρίασθαι, γῆς τε πλέον ἢ τριακόσια πλέθρα κτήσασθαι· ἔτι δὲ πρὸς τούτοις οἴεσθε χρῆναι ἔπιπλα πολλὰ καταλελοιπέναι; ἀλλ' οὐδ' οἱ πάλαι πλούσιοι δοκοῦντες 30 εἶναι ἄξια λόγου ἔχοιεν ἂν ἐξενεγκεῖν· ἐνίοτε γὰρ οὐκ ἔστιν, οὐδ' ἐάν τις πάνυ ἐπιθυμῇ, πρίασθαι τοιαῦτα ⟨ἃ⟩ κτησαμένῳ εἰς τὸν λοιπὸν χρόνον ἡδονὴν ἂν παρέχοι. ἀλλὰ τόδε σκοπεῖτε. τῶν ἄλλων, ὅσων ἐδημεύσατε 31 ⟨τὰ⟩ χρήματα, οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀφηρπάσθησαν· ἡμεῖς δὲ ἤδη δεδημευμένων καὶ ἐξεληλυθυίας τῆς ἐμῆς ἀδελφῆς φύλακα κατεστήσαμεν ⟨ἐν⟩ τῇ ἐρήμῃ οἰκίᾳ, ἵνα μήτε θυρώματα μήτε ἀγγεῖα μήτε ἄλλο μηδὲν ἀπόλοιτο. ἔπιπλα δὲ ἀπεφαίνετο πλεῖν ἢ χιλίων δραχμῶν, ὅσα οὐδενὸς πώποτ' ἐλάβετε. πρὸς δὲ τούτοις καὶ πρότερον πρὸς 32 τοὺς συνδίκους καὶ νῦν ἐθέλομεν πίστιν δοῦναι, ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις, μηδὲν ἔχειν τῶν Ἀριστοφάνους χρημάτων, ἐνοφείλεσθαι δὲ τὴν προῖκα τῆς ἀδελ-

1 ἡ add. Rs 2 Εὐβουλίδου Meursius: εὐβούλου X, ἐγένετο . . . ἀρχ. del. West 3 οὐσίας C, Cont: αἰτίας X 4 δὶς χορ. Rs: διαχορ. X 8 οἴεσθε Rs: οἴεσθαι X, del. West ⟨ὡς⟩ οἴεσθε Kayser, χρῆναι del. Emperius, οἴεσθαι χρὴ Francken 10 ἄξια λόγου ἔχοιεν C: ἀξιολόγου ἔχοι X, ἄξιον λόγ. ἔχοιεν ἐξ. Ald 12 ἃ add. Tayl, ἃ τῷ Cob 14 τὰ add. Sauppe 17 ἐν add. Emperius ἐρήμῃ P. Müller: ἐμῇ X, del. Tayl, κενῇ Bake 19 ἀπεφαίνετο Pertz: ἀπεφαίνοντο X πλείω ἢ X 21 νῦν ⟨πρὸς ὑμᾶς⟩ Rs 22 μηδὲν West: μὴ X, μηδὲν addunt pone ἔχειν Sauppe, pone χρημάτων Wdn 23 ἐνοφείλεσθαι Bekker: ὀφείλεσθαι X

φῆς καὶ ⟨τὰς⟩ ἑπτὰ μνᾶς, ἃς ᾤχετο λαβὼν παρὰ τοῦ
33 πατρὸς τοῦ ἐμοῦ. πῶς ἂν οὖν εἶεν ἄνθρωποι ἀθλιώτεροι, ἢ εἰ τὰ σφέτερ' αὐτῶν ἀπολωλεκότες δοκοῖεν τἀκείνων ἔχειν; ὃ δὲ πάντων δεινότατον, τὴν ἀδελφὴν | ὑποδέξασθαι παιδία ἔχουσαν πολλά, καὶ ταῦτα τρέφειν, μηδ' αὐτοὺς ἔχοντας μηδέν, ἐὰν ὑμεῖς τὰ ὄντ' ἀφέλησθε.
34 Φέρε πρὸς θεῶν Ὀλυμπίων· οὕτω γὰρ σκοπεῖτε, ὦ ⟨ἄνδρες⟩ δικασταί. εἴ τις ὑμῶν ἔτυχε δοὺς Τιμοθέῳ τῷ Κόνωνος τὴν θυγατέρα ἢ τὴν ἀδελφήν, καὶ ἐκείνου ἀποδημήσαντος καὶ ἐν διαβολῇ γενομένου ἐδημεύθη ἡ οὐσία, καὶ μὴ ἐγένετο τῇ πόλει πραθέντων ἁπάντων τέτταρα τάλαντα ἀργυρίου, διὰ τοῦτο ἠξιοῦτε ἂν ἐκείνου καὶ τοὺς προσήκοντας ἀπολέσθαι, ὅτι οὐδὲ πολλοστὸν
35 μέρος τῆς δόξης τῆς παρ' ὑμῖν ἐφάνη τὰ χρήματα; ἀλλὰ μὴν τοῦτό γε πάντες ἐπίστασθε Κόνωνα μὲν ἄρχοντα, Νικόφημον δὲ ποιοῦντα ὅ τι ἐκεῖνος προστάττοι. τῶν οὖν ὠφελειῶν Κόνωνα εἰκὸς πολλοστὸν μέρος ἄλλῳ τινὶ μεταδιδόναι, ὥστ' εἰ οἴονται πολλὰ γενέσθαι Νικοφήμῳ, ὁμολογήσειαν ⟨ἂν⟩ τὰ Κόνωνος εἶναι πλεῖν ἢ
36 δεκαπλάσια. ἔτι δὲ φαίνονται οὐδὲν πώποτε διενεχθέντες, ὥστε εἰκὸς καὶ περὶ τῶν χρημάτων ταὐτὰ γνῶναι,

---

1 τὰς add. West 2 εἶεν ἄνθρωποι] εἶμεν vel εἶμεν ἂν Frb 3 ἢ] ἡμῶν Kayser, del. Rauch, ἢ οἳ τὰ Cob σφέτερα] ἡμέτερα Hertlein δοκοῖμεν Kayser, sed cf. Gebauer argum. 48 5 ὑποδέξασθαι ⟨δεῖ⟩ Kayser 8 ἄνδρες add. Fuhr 9 ἐκείνου] Cononem dicit 10 καὶ ante ἐν del. Rs 12 τετταράκοντα Bake, sed cf. § 40 ἠξιοῦτε ἂν C: ἠξίουν X, ἠξιοῦτε Tayl ἐκείνου scripsi: τοὺς (quattuor lit. lacuna) ἐκείνου X, τοὺς ἐκείνου προσήκ. Steph, τοὺς ⟨κηδεστὰς τοὺς⟩ ἐκ. Sluiter, τοὺς ⟨ἀναγκαίους τοὺς⟩ ἐκ. Scheibe, τοὺς ἐκείνου del. vel καὶ τοὺς προσήκοντας τοὺς ἐκείνου Sauppe 13 ἀπολέσαι Bergk 15 τοῦτό γε Cob: τοῦτον X, τοῦτο C, τούτοιν Rs, τούτων Scheibe 18 εἰ ⟨ἔνιοι⟩ Boekmeijer οἴονται a pr. m. ex οἷόν τε corr. X 19 ἂν add. Emperius πλείονα X 21 ταῦτα X

*ἱκανὰ μὲν ἐνθάδε τῷ ὑεῖ ἑκάτερον καταλιπεῖν, τὰ δὲ
ἄλλα παρ' αὑτοῖς ἔχειν· ἦν γὰρ Κόνωνι μὲν ὑὸς ἐν
Κύπρῳ καὶ γυνή, Νικοφήμῳ δὲ γυνὴ καὶ θυγάτηρ,
ἡγοῦντο δὲ καὶ τὰ ἐκεῖ ὁμοίως σφίσιν εἶναι σᾶ ὥσπερ
καὶ τὰ ἐνθάδε. πρὸς δὲ τούτοις ἐνθυμεῖσθε ὅτι καὶ εἴ* 37
τις μὴ κτησάμενος ἀλλὰ παρὰ τοῦ πατρὸς παραλαβὼν 6
*τοῖς παισὶ διένεμεν, οὐκ ἐλάχιστα ἂν αὑτῷ ὑπέλιπε·
βούλονται γὰρ πάντες ὑπὸ τῶν παίδων θεραπεύεσθαι
ἔχοντες χρήματα μᾶλλον ἢ ἐκείνων δεῖσθαι ἀποροῦντες.*

Νῦν τοίνυν εἰ δημεύσαιτε τὰ τοῦ Τιμοθέου, — ὃ μὴ 38
γένοιτο, εἰ μή τι μέλλει μέγα ἀγαθὸν ἔσεσθαι τῇ πό- 11
*λει —, ἐλάττω δ' εἰ ἐξ αὐτῶν λάβοιτ' ἢ ἐκ τῶν Ἀριστο-
φάνους γεγένηται, τούτου ἕνεκα ⟨ἂν⟩ ἠξιοῦτε τοὺς
ἀναγκαίους τοὺς ἐκείνου τὰ σφέτερ' αὐτῶν ἀπολέσαι;
ἀλλ' οὐκ εἰκός, ὦ ἄνδρες δικασταί· ὁ γὰρ Κόνωνος θά-* 39
νατος καὶ αἱ διαθῆκαι, ἃς διέθετο ἐν Κύπρῳ, σαφῶς 16
*ἐδήλωσαν ὅτι πολλοστὸν μέρος ἦν τὰ χρήματα ὧν ὑμεῖς
προσεδοκᾶτε· τῇ μὲν γὰρ Ἀθηναίᾳ καθιέρωσεν εἰς ἀνα-
θήματα καὶ τῷ Ἀπόλλωνι εἰς Δελφοὺς πεντακισχιλίους* 19
στατῆρας· τῷ δὲ ἀδελφιδῷ τῷ ἑαυτοῦ, ὃς ἐφύλαττεν 40

---

1 *ἱκανὰ*] *καὶ τὰ* Cob 4 *ὁμοίως* Rs: *ὅμως* X, *ὁμῶς* Emperius *σᾶ* Cob: *ἴσα* X, *πιστὰ* Dobr, *οὐσίαν* Bartelt, *ἱκανὰ* Sauppe 7 *διένεμεν* Steph: *διένειμεν* X, quod defendit Gentsch, diss. Jen. IV 245 *οὐκ ἐλάττω ἂν* Sauppe *ὑπέλιπε* a pr. m. corr. ex *ὑπέλειπε* X; hoc alterum praeferebat Frb 10 *δημεύσαιτε* Rs: *δημεύσετε* X, *ἐδημεύσατε . . . ἐλάβετε* Kayser *τοῦ* om. C 11 *εἰ μὴ*] *μηδ' εἰ* Kayser *ἀγαθὸν*] *κακὸν* Sauppe, *ἄλλο κακὸν* Wdn, *πάθος* Dryander 12 *δ' εἰ* Rauch: *ἐὰν* X, *τε δὴ* Kayser, *δὲ* C, *δὲ δὴ* West, *ἂν* Steph *λάβοιτ' ἢ* Steph: *λάβοι τὴν* X, *λάβοιτ' ἢ ἃ* Fuhr, *ἐλάττω ἂν ἐξ αὐτ. λαβόντες* Wdn 13 *τοῦτο* X, *τούτου ⟨δὲ⟩* Sauppe (supra Stephanum secutus) *ἂν* hic add. Cob, pone *ἠξιοῦτε* Markl, *ἀξιοῖτε ἂν* C 15 *εἰκότως* Kayser 16 *ἐν Κύπρῳ* delere malit Frb 18 *Ἀθηναίᾳ* Fuhr, cf. Meisterhans gramm.[2] 25: *ἀθηνᾷ* X

αὐτῷ καὶ ἐταμίευε πάντα τὰ ἐν Κύπρῳ, ἔδωκεν ὡς μυρίας δραχμάς, τῷ δὲ ἀδελφῷ τρία τάλαντα· τὰ δὲ λοιπὰ τῷ ὑεῖ κατέλιπε, τάλαντα ἑπτακαίδεκα. τούτων δὲ κε-
41 φάλαιον γίγνεται περὶ τετταράκοντα τάλαντα. καὶ οὐδενὶ οἷόν τε εἰπεῖν ὅτι διηρπάσθη ἢ ὡς οὐ δικαίως ἀπεφάνθη· αὐτὸς γὰρ ἐν τῇ νόσῳ ὢν εὖ φρονῶν διέθετο. Καί μοι κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

42 Ἀλλὰ μὴν ὁστισοῦν, ὦ ἄνδρες δικασταί, πρὶν ἀμφότερα δῆλα γενέσθαι, πολλοστὸν μέρος τὰ Νικοφήμου τῶν Κόνωνος χρημάτων ᾠήθη ἂν εἶναι. Ἀριστοφάνης τοίνυν γῆν μὲν καὶ οἰκίαν ἐκτήσατο πλεῖν ἢ πέντε ταλάντων, κατεχορήγησε δὲ ὑπὲρ αὑτοῦ καὶ τοῦ πατρὸς πεντακισχιλίας δραχμάς, τριηραρχῶν δὲ ἀνήλωσεν ὀγ-
43 δοήκοντα μνᾶς. εἰσενήνεκται δὲ ὑπὲρ ἀμφοτέρων οὐκ ἔλαττον μνῶν τετταράκοντα. εἰς δὲ τὸν ἐπὶ Σικελίας πλοῦν ἀνήλωσεν ἑκατὸν μνᾶς. εἰς δὲ τὸν ἀπόστολον τῶν τριήρων, ὅτε οἱ Κύπριοι ἦλθον καὶ ἔδοτε αὐτοῖς τὰς δέκα ναῦς, καὶ τῶν πελταστῶν τὴν μίσθωσιν καὶ τῶν ὅπλων τὴν ὠνὴν παρέσχε τρισμυρίας δραχμάς. καὶ τούτων κεφάλαιον πάντων γίγνεται μικροῦ λείποντος
44 πεντεκαίδεκα τάλαντα. ὥστε οὐκ ἂν εἰκότως ἡμᾶς αἰτιάσαισθε, ἐπεὶ τῶν Κόνωνος, τῶν ὁμολογουμένων δι-

3 κεφάλαιον τί γίγν. X Wdn 6 τῇ νήσῳ Tayl ὢν] πάνυ Rs διέθετο Tayl: ἥσθετο X, quod West tuetur, cum legat γὰρ ⟨ἂν⟩ 7 τοῦτον μάρτυρα X 8 titulus cum lacuna deest in X 9 ἀλλὰ μὴν] ἀλλ' ὑμῶν Markl 11 ᾠήθη ἂν Steph: ᾠήθησαν X, ᾠήθη γ' ἂν Rs 12 οἰκίαν Markl: οὐσίαν X πλέον X 13 κατεχορ. Rs: καὶ ἐχορ. X 16 ἐπὶ Σικελίας Hertlein: ἐν Σικελίᾳ X 19 ναῦς Tayl: μνᾶς X 22 αἰτιάσαισθε Dobr (vel αἰτιῷσθε): αἰτιᾶσθε X, quod deleta voce ἂν Tur. tuentur 23 ἐπεὶ Rs: ἐπὶ X τῶν . . . p. 211, 1 ἐκείνου delere malit Roehl

*καίως ἀποφανθῆναι ὑπ᾽ αὐτοῦ ἐκείνου, πολλαπλασίων
δοκούντων πλεῖν ἢ τρίτον μέρος φαίνεται τὰ Ἀριστο-
φάνους. καὶ οὐ προσλογιζόμεθα ὅσα αὐτὸς ἐν Κύπρῳ
ἔσχε Νικόφημος, οὔσης αὐτῷ ἐκεῖ γυναικὸς καὶ θυγατρός.*

Ἐγὼ μὲν ⟨οὖν⟩ οὐκ ἀξιῶ, ὦ ἄνδρες δικασταί, οὕτω 45
*πολλὰ καὶ μεγάλα τεκμήρια παρασχομένους ἡμᾶς ἀπο-
λέσθαι ἀδίκως. ἀκήκοα γὰρ ἔγωγε καὶ τοῦ πατρὸς καὶ
ἄλλων πρεσβυτέρων, | ὅτι οὐ νῦν μόνον ἀλλὰ καὶ ἐν τῷ
ἔμπροσθεν χρόνῳ πολλῶν ἐψεύσθητε τῆς οὐσίας, οἳ
ζῶντες μὲν πλουτεῖν ἐδόκουν, ἀποθανόντες δὲ πολὺ
παρὰ τὴν δόξαν τὴν ὑμετέραν ἐφάνησαν. αὐτίκα Ἰσχο-* 46
*μάχῳ, ἕως ἔζη, πάντες ᾤοντο εἶναι πλεῖν ἢ ἑβδομήκοντα
τάλαντα, ὡς ἐγὼ ἀκούω· ἐνειμάσθην δὲ τὼ ὑεῖ οὐδὲ δέ-
κα τάλαντα ἑκάτερος ἀποθανόντος. Στεφάνῳ δὲ τῷ Θάλ-
λου ἐλέγετο εἶναι πλεῖν ἢ πεντήκοντα τάλαντα, ἀποθα-
νόντος δ᾽ ἡ οὐσία ἐφάνη περὶ ἕνδεκα τάλαντα. ὁ τοίνυν* 47
*Νικίου οἶκος προσεδοκᾶτο εἶναι οὐκ ἔλαττον ἢ ἑκατὸν
ταλάντων, καὶ τούτων τὰ πολλὰ ἔνδον [ἦν]· Νικήρατος
δὲ ὅτ᾽ ἀπέθνησκεν, ἀργύριον μὲν ἢ χρυσίον οὐδ᾽ αὐτὸς
ἔφη καταλείπειν οὐδέν, ἀλλὰ τὴν οὐσίαν ἣν κατέλιπε τῷ
ὑεῖ, οὐ πλείονος ἀξία ἐστὶν ἢ τεττάρων καὶ δέκα ταλάν-
των. ἔπειτ᾽ οἴομαι ὑμᾶς εἰδέναι ὅτι Ἀλκιβιάδης τέτταρα* 52

2 *δοκούντων πλέον* X, *δοκούντων ⟨εἶναι⟩* Rs *φαίνεται ⟨ὄντα⟩* Rs 3 *καὶ οὐ* ... 4 *θυγατρός* del. Roehl 5 *οὖν* post Marklandum (qui volebat *μὲν οὖν ἀξιῶ* ... *⟨μὴ⟩ ἡμᾶς*) add. Frb 6 *ἀπολέσαι* Francken 7 *γὰρ*] *δὲ* pp. Herw 9 *τῆς οὐσίας* abesse malit Halb *οἳ* Tayl: *καὶ* X 11 *⟨ἐνδεέστεροι⟩ ἐφάνησαν* Naber 12 *πλεῖον* X 13 *ἐνειμάσθην δὲ τὼ ὑεῖ* (*υἱέε*) C cf. Meisterhans[2] 108: *ἐνειμάσθη δὲ τῷ υἱεὶ* X 14 *ἑκάτερος* Rs: *ἑκατέρῳ* X 15 *πλέον* X *τάλαντα* Rs (aut *ἢ* delendum): *ταλάντων* X; *ταλάντων ἡ οὐσία, ἀποθανόντος δ᾽ ἐφ.* Fuhr 18 *πολλὰ*] *πλείω* Frb *ἦν* del. Scheibe, *εἶναι* Markl 20 *καταλείπειν* Kayser: *καταλιπεῖν* X 22 § 52 huc transposui, delendum censuit West *ἔπειτ᾽*] *ἐπεὶ* Sauppe, quod amplexus Fuhr confert Plat. Prot. 328[c]

14*

*ἢ πέντε ἔτη ἐφεξῆς ἐστρατήγει ἐπικρατῶν καὶ νενικηκὼς
Λακεδαιμονίους, καὶ διπλάσια ἐκείνῳ ἠξίουν αἱ πόλεις
διδόναι ἢ ἄλλῳ τινὶ τῶν στρατηγῶν, ὥστ' ᾤοντο εἶναί
τινες αὐτῷ πλεῖν ἢ ἑκατὸν τάλαντα. ὁ δ' ἀποθανὼν
ἐδήλωσεν ὅτι οὐκ ἀληθῆ ταῦτα ἦν· ἐλάττω γὰρ οὐσίαν
κατέλιπε τοῖς παισὶν ἢ αὐτὸς παρὰ τῶν ἐπιτροπευσάν-*
48 *των παρέλαβεν. Καλλίας τοίνυν ὁ Ἱππονίκου, ὅτε νεωστὶ
ἐτεθνήκει ὁ πατήρ, πλεῖστα τῶν Ἑλλήνων ἐδόκει κεκτῆ-
σθαι, καὶ ὥς φασι, διακοσίων ταλάντων ἐτιμήσατο ⟨τὰ⟩
αὑτοῦ ὁ πάππος, τὸ δὲ τούτου νῦν τίμημα οὐδὲ δυοῖν
ταλάντοιν ἐστί. Κλεοφῶντα δὲ πάντες ἴστε, ὅτι πολλὰ
ἔτη διεχείρισε τὰ τῆς πόλεως πάντα καὶ προσεδοκᾶτο
πάνυ πολλὰ ἐκ τῆς ἀρχῆς ἔχειν· ἀποθανόντος δ' αὐτοῦ
οὐδαμοῦ δῆλα τὰ χρήματα, ἀλλὰ καὶ οἱ προσήκοντες καὶ
οἱ κηδεσταί, παρ' οἷς κατέλιπεν ⟨ἄν⟩, ὁμολογουμένως*
49 *πένητές εἰσι. φαινόμεθα ⟨οὖν⟩ καὶ τῶν ἀρχαιοπλούτων
πολὺ ἐψευσμένοι καὶ τῶν νεωστὶ ἐν δόξῃ γεγενημένων.
αἴτιον δέ μοι δοκεῖ εἶναι, ὅτι ῥᾳδίως τινὲς τολμῶσι λέ-
γειν ὡς ὁ δεῖνα ἔχει τάλαντα πολλὰ ἐκ τῆς ἀρχῆς. καὶ
ὅσα μὲν περὶ τεθνεώτων λέγουσιν, οὐ πάνυ θαυμάζω
(οὐ γὰρ ὑπό γε ἐκείνων ἐξελεγχθεῖεν ἄν), ἀλλ' ὅσα*
50 *ζώντων ἐπιχειροῦσι καταψεύδεσθαι. αὐτοὶ γὰρ ἔναγχος
ἠκούετε ἐν τῇ ἐκκλησίᾳ, ὡς Διότιμος ἔχοι τάλαντα τετ-*

---

4 *πλέον* X 8 *ὃς* quod est in X pone *πατὴρ*, del. Tur, ante *ὅτε* transposuit Rs, *πατήρ, ὡς* Foertsch 9 *φασι* Cont: *φησι* X *τὰ* add. Scheibe 10 *τὸ δὲ τούτου νῦν* West: *τό, τε τούτου τοίνυν* X, *τὸ δὲ τούτου τὰ νῦν* Rauch (*τανῦν* iam Rs), *τὸ δὲ τούτου τοίνυν* Sauppe 12 *πάντα*] an *πράγματα*? Hude 13 *αὐτοῦ* del. Cob 15 *ἂν* add. Rauch secundum Emperium (*οἷσπερ ἂν κατ.*), *παρ' οἷς κατέθετ' ἂν* vel *πάντες οἷς κατέλιπεν ἂν* Kayser 16 *οὖν* (vel *τοίνυν*) add. Rs, *δὴ* add. C 17 *ἐψηφισμένοι* X *ἐν ⟨εὐπορίας* vel *ταύτῃ τῇ⟩ δόξῃ* West 20 *τεθνεώτων* Markl: *τεθνεῶτος* X 21 *ἐξενεχθεῖεν* X *ἂν* pone *οὐ γὰρ* collocat Cob 23 *ταλάντοις* Francken

ταράκοντα πλείω ⟨ἢ⟩ ὅσα αὐτὸς ὡμολόγει παρὰ τῶν
ναυκλήρων καὶ ἐμπόρων· καὶ ταῦτα, ἐπειδὴ ἦλθεν, ἐκεί-
νου ἀπογράφοντος καὶ χαλεπῶς φέροντος ὅτι ἀπὼν διε-
βάλλετο, οὐδεὶς ἐξήλεγξε, δεομένης μὲν τῆς πόλεως χρη-
μάτων, ἐθέλοντος δὲ ἐκείνου λογίσασθαι. ἐνθυμεῖσθε 51
τοίνυν οἷον ἂν ἐγένετο, εἰ Ἀθηναίων ἁπάντων ἀκηκο-
ότων ὅτι τετταράκοντα τάλαντα ἔχοι Διότιμος, εἶτα
ἔπαθέ τι πρὶν καταπλεῦσαι δεῦρο. εἶτα οἱ προσήκοντες
ἂν αὐτοῦ ἐν κινδύνῳ ἦσαν τῷ μεγίστῳ, εἰ ἔδει αὐτοὺς
πρὸς τοσαύτην διαβολὴν ἀπολογεῖσθαι, μὴ εἰδότας μη-
δὲν τῶν πεπραγμένων. αἴτιοι οὖν εἰσι καὶ ὑμῖν πολλῶν
ἤδη ψευσθῆναι καὶ ἤδη ἀδίκως γέ τινας ἀπολέσθαι οἱ
ῥᾳδίως τολμῶντες ψεύδεσθαι καὶ συκοφαντεῖν ἀνθρώ-
πους ἐπιθυμοῦντες.

Ὅτι μὲν οὖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τοιαῦτα 53
ἐγίγνετο, ῥᾴδιον γνῶναι· φασὶ δὲ καὶ τοὺς ἀρίστους καὶ
σοφωτάτους μάλιστα ἐθέλειν μεταγιγνώσκειν. εἰ οὖν δο-
κοῦμεν εἰκότα λέγειν καὶ ἱκανὰ τεκμήρια παρέχεσθαι, ὦ
ἄνδρες δικασταί, πάσῃ τέχνῃ καὶ μηχανῇ ἐλεήσατε· ὡς
ἡμεῖς τῆς μὲν διαβολῆς οὕτω μεγάλης οὔσης ἀεὶ προσε-
δοκῶμεν κρατήσειν μετὰ τοῦ ἀληθοῦς· ὑμῶν δὲ μηδενὶ
τρόπῳ ἐθελησάντων πεισθῆναι οὐδ' ἐλπὶς οὐδεμία σω-
τηρίας ἐδόκει ἡμῖν εἶναι. ἀλλὰ πρὸς θεῶν Ὀλυμπίων, ὦ 54

---

1 lacunam ante πλείω statuit Reuss coll. XXXII 8, τριάκοντα supplet Vogel   ἢ add. C, ὅσων Rs, πλείω ὧν λαβεῖν αὐτὸς Wdn   3 ἀπογράφοντος Rs: ἀπογραφέντος X   6 ἁπάντων C, Rs: ἀπόντων X   8 ἔπαθε C: εἰ ἔπαθε X   πρὶν Steph: πλὴν X   εἶτα ⟨οὐχ⟩ οἱ Rs, οὐχ οἱ Scheibe interrogantes   10 εἰδότας C, Steph: εἰδότες X   11 πολλῶν δὴ malit Fuhr   12 καὶ ἤδη Rs: καὶ ἰδίᾳ X, καὶ δὴ Scheibe, καὶ P. Müller   γέ τινας Markl: τέ τινας X   ἀπολέσθαι οἱ ῥᾳδίως Kayser: ῥᾳδ. ἀπ. οἱ X   ἀπολέσαι Bekker   15 § 52 cf. p. 211, 22   21 post ἀληθοῦς Reiskio deesse videntur: ὑμῶν ἴσων καὶ κοινῶν τυχόντες   22 ἐθελησόντων West   23 δοκεῖ Rs, ⟨ἔτι⟩ δοκεῖ West

ἄνδρες δικασταί, βούλεσθε ἡμᾶς δικαίως σῶσαι μᾶλλον ἢ ἀδίκως ἀπολέσαι, καὶ πιστεύετε τούτοις ἀληθῆ λέγειν, οἳ ἂν καὶ σιωπῶντες ἐν ἅπαντι τῷ βίῳ παρέχωσι σώφρονας σφᾶς αὐτοὺς καὶ δικαίους.

55 *Περὶ μὲν οὖν αὐτῆς τῆς γραφῆς[, καὶ ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, καὶ ὅτι οὐκ ἐξήρκει τὰ ἐκείνου εἰς τὸν ἔκπλουν, ἀλλὰ καὶ ὡς ἄλλοθεν | προσεδανείσατο] ἀκηκόατε καὶ μεμαρτύρηται ὑμῖν· περὶ δ' ἐμαυτοῦ βραχέα βούλομαι ὑμῖν εἰπεῖν. ἐγὼ γὰρ ἔτη γεγονὼς ἤδη τριάκοντα οὔτε τῷ πατρὶ οὐδὲν πώποτε ἀντεῖπον, οὔτε τῶν πολιτῶν οὐδείς μοι ἐνεκάλεσεν, ἐγγύς τε οἰκῶν τῆς ἀγορᾶς οὔτε πρὸς δικαστηρίῳ οὔτε πρὸς βουλευτηρίῳ ὤφθην οὐδεπώποτε, πρὶν ταύτην τὴν συμφορὰν γενέ-*
56 *σθαι. περὶ μὲν οὖν ἐμαυτοῦ τοσαῦτα λέγω, περὶ δὲ τοῦ πατρός, ἐπειδὴ ὥσπερ ἀδικοῦντος αἱ κατηγορίαι γεγένηνται, συγγνώμην ἔχετε, ἐὰν λέγω ἃ ἀνήλωσεν εἰς τὴν πόλιν καὶ εἰς τοὺς φίλους· οὐ γὰρ φιλοτιμίας ἕνεκα ἀλλὰ τεκμήριον ποιούμενος ὅτι οὐ τοῦ αὐτοῦ ἐστιν ἀνδρὸς ἄνευ ἀνάγκης τε πολλὰ ἀναλίσκειν καὶ μετὰ κινδύνου τοῦ μεγίστου ἐπιθυμῆσαι ἔχειν τι τῶν κοινῶν.*
57 *εἰσὶ δέ τινες οἱ προαναλίσκοντες μόνον τούτου ἕνεκα*

---

1 *μᾶλλον ἢ*] *ἢ μᾶλλον* X, *μᾶλλον* del. West 2 *ἀπολέσαι* Rs: *ἀπολέσθαι* X 5 *ἀπογραφῆς* secundum Reiskium Bake, cf. Lipsius Att. Recht 263 *καὶ ᾧ . . .* 7 *προσεδανείσατο* del. West, 7 *ὡς* del. Hertlein 8 pone *ὑμῖν* in X[k] aliquid spatii relictum, quamobrem Scheibe *ἱκανῶς* addere volebat, sed deesse quidquam Schoell negat 9 *ὑμῖν* (ante *εἰπεῖν*) cum libro C del. Bekker 10 *οὔτε τῷ* C, Rs: *οὐδὲ τῷ* X 12 *οὐδὲ πρὸς* (bis) X 17 *φίλους οὐ φιλοτιμίας* Hertlein, *γὰρ* del. Herw, *ἕνεκα* ⟨*λέγω*⟩ Wdn *ἕνεκεν* X 19 *ἀνάγκης ἐκ* ⟨*τῶν αὐτοῦ*⟩ *πολλὰ* Bake 21 *οἳ προαναλίσκουσι* Rauch *μόνον τούτου ἕνεκα ἵνα* Hertlein: *οὐ μόνον τούτου ἕνεκεν, ἀλλ' ἵνα* X, malim: *οὐδενὸς ἄλλου ἕνεκα ἀλλ' ἵνα*, *οὐ μόνον* (vel *μόνου*) *τοῦ κοινοῦ ἕνεκεν ἀλλ' ἵν'* Wdn, *οὐ μόν. τούτ. ἕν.* ⟨*ἵνα φιλοτιμῶνται*⟩ *ἀλλ' ἵνα* Fuhr, *οὐ μὲν οὖν τούτου* (*οὐ μὴν τούτου γε* Cob)

ἵνα ἄρχειν ὑφ᾽ ὑμῶν ἀξιωθέντες διπλάσια κομίσωνται. ὁ τοίνυν ἐμὸς πατὴρ ἄρχειν μὲν οὐδεπώποτε ἐπεθύμησε, τὰς δὲ χορηγίας ἁπάσας κεχορήγηκε, τετριηράρχηκε δὲ ἑπτάκις, εἰσφορὰς δὲ πολλὰς καὶ μεγάλας εἰσενήνοχεν. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς, καὶ καθ᾽ ἑκάστην ἀναγνώσεται

⟨ΛΗΙΤΟΥΡΓΙΑΙ.⟩

58 *᾿Ακούετε, ὦ ἄνδρες δικασταί, τὸ πλῆθος. πεντήκοντα γὰρ ἔτη ἐστὶν ὅσα ὁ πατὴρ καὶ τοῖς χρήμασι καὶ τῷ σώματι τῇ πόλει ἐλητούργει. ἐν οὖν τοσούτῳ χρόνῳ δοκοῦντά τι ἐξ ἀρχῆς ἔχειν οὐδεμίαν εἰκὸς δαπάνην πεφευγέναι. ὅμως δὲ καὶ μάρτυρας ὑμῖν παρέξομαι.*

ΜΑΡΤΥΡΕΣ.

59 *Τούτων συμπάντων κεφάλαιόν ἐστιν ἐννέα τάλαντα καὶ δισχίλιαι δραχμαί. ἔτι τοίνυν καὶ ἰδίᾳ τισὶ τῶν πολιτῶν ἀποροῦσι συνεξέδωκε θυγατέρας καὶ ἀδελφάς, τοὺς δ᾽ ἐλύσατο ἐκ τῶν πολεμίων, τοῖς δ᾽ εἰς ταφὴν παρεῖχεν ἀργύριον. καὶ ταῦτ᾽ ἐποίει ἡγούμενος εἶναι ἀνδρὸς ἀγαθοῦ ὠφελεῖν τοὺς φίλους, καὶ εἰ μηδεὶς μέλλοι εἴσεσθαι· νῦν δὲ πρέπον ἐστὶ καὶ ὑμᾶς ἀκοῦσαί μου. Καί μοι κάλει τὸν καὶ τόν.*

ΜΑΡΤΥΡΕΣ.

60 *Τῶν μὲν οὖν μαρτύρων ἀκηκόατε· ἐνθυμεῖσθε δὲ ὅτι ὀλίγον μὲν χρόνον δύναιτ᾽ ἄν τις πλάσασθαι τὸν*

ἕνεκα ἀλλ᾽ ἵνα Bake 5 *καὶ* ante *καθ᾽* om. C, abesse malit Rs *ἀναγνώσετε* X 6 titulus deest in X, add. C 8 *καὶ τοῖς* Sluiter: *αὐτοῖς* X 9 *δοκοῦντά* Markl: *δοκοῦντάς* X 10 *ἐξ ἀρχῆς* i. e. ab initio 12 tituli vestigia in margine servat X[1] 15 *ἀποροῦσι* del. Cob 17 *παρέσχεν* Fuhr 19 *εἴσεσθαι*] *ἔσεσθαι* X *καὶ ⟨περὶ τούτων⟩ ὑμᾶς ἀκοῦσαι μαρτύρων* Markl, *καὶ ⟨μαρτύρων⟩ ὑμᾶς ἀκοῦσαι* P. Müller *μου* del. Dobr, *δι᾽ ἐμοῦ* West 23 *μὲν χρ.* Ald: *μὲν οὖν χρ.* X

τρόπον τὸν αὑτοῦ, ἐν ἑβδομήκοντα δὲ ἔτεσιν οὐδ' ἂν εἷς
λάθοι πονηρὸς ὤν. τῷ τοίνυν πατρὶ τῷ ἐμῷ ἄλλα μὲν
ἄν τις ἔχοι ἐπικαλέσαι ἴσως, εἰς χρήματα δὲ οὐδεὶς οὐ-
61 *δὲ τῶν ἐχθρῶν ἐτόλμησε πώποτε. οὔκουν ἄξιον τοῖς τῶν*
κατηγόρων λόγοις πιστεῦσαι μᾶλλον ἢ τοῖς ἔργοις, ἃ
ἐπράχθη ἐν ἅπαντι τῷ βίῳ, καὶ τῷ χρόνῳ, ὃν ὑμεῖς σα-
φέστατον ἔλεγχον τοῦ ἀληθοῦς νομίσατε. εἰ γὰρ μὴ ἦν
τοιοῦτος, οὐκ ἂν ἐκ πολλῶν ὀλίγα κατέλιπεν, ἐπεὶ εἰ νῦν
γε ἐξαπατηθείητε ὑπὸ τούτων καὶ δημεύσαιθ' ἡμῶν τὴν
οὐσίαν, οὐδὲ δύο τάλαντα λάβοιτ' ἄν. ὥστε οὐ μόνον
πρὸς δόξαν ἀλλὰ καὶ εἰς χρημάτων λόγον λυσιτελεῖ μᾶλ-
λον ὑμῖν ἀποψηφίσασθαι· πολὺ γὰρ πλείω ὠφεληθήσεσθ',
62 *ἐὰν ἡμεῖς ἔχωμεν. σκοπεῖτε δὲ ἐκ τοῦ παρεληλυθότος*
χρόνου, ὅσα φαίνεται ἀνηλωμένα εἰς τὴν πόλιν· καὶ νῦν
ἀπὸ τῶν ὑπολοίπων τριηραρχῶ μὲν ἐγώ, τριηραρχῶν δὲ
ὁ πατὴρ ἀπέθανεν, πειράσομαι δ', ὥσπερ καὶ ἐκεῖνον
ἑώρων, ὀλίγα κατὰ μικρὸν παρασκευάσασθαι εἰς τὰς
κοινὰς ὠφελείας· ὥστε τῷ γ' ἔργῳ πάλαι ⟨*τῆς πόλεως*⟩
ταῦτ' ἐστι, καὶ οὐκ ἐγὼ ἀφῃρημένος ἀδικεῖσθαι οἰήσο-
μαι, ὑμῖν δὲ πλείους οὕτως αἱ ὠφέλειαι ἢ εἰ δημεύσαιτε.
63 *πρὸς δὲ τούτοις ἄξιον ἐνθυμηθῆναι οἵαν φύσιν εἶχεν ὁ*
πατήρ. ὅσα γὰρ ἔξω τῶν ἀναγκαίων ἐπεθύμησεν ἀναλί-
σκειν πάντα φανήσεται τοιαῦτα ὅθεν καὶ τῇ πόλει τιμὴ

---

2 *λάθῃ* X 6 ⟨*αὐτῷ*⟩ *ἐπράχθη* Markl *ὃν ὑμεῖς* Rs: *ὃ νῦν εἰς* X 9 *δημεύσαιθ'* Vind., Rs: *δημεύσηθ'* XC 10 *οὐδὲ τέτταρα* (= *δ'*) Frb 12 *ὠφελήσεσθε* C Bekker 16 *ὥσπερ καὶ* Scheibe: *ὥσπερ εἰ* X, *ὥσπερ ἀεὶ* Bartelt, *ὡς πόλλ' ἀεὶ* P. Müller 17 *ὀλίγα κατὰ μικρὸν*] *κατ' ὀλίγα* Dobr *παρασκευάσασθαι*] *προσκτήσασθαι* Wdn 18 *τῷ γ'* Markl: *τῷ τ'* X *τῆς πόλεως* add. Dobr, *ὑμέτερα* add. Rs, *ἔργῳ τῆς πόλεως* (*τῇ πόλει* Adams) *ταῦτ' ἔσται* Sauppe, in quibus *πάλιν* ante *τῆς* add. Wdn 19 *καὶ οὐκ* scripsi: *καὶ οὔτ'* X, *οὐδὲ* Sauppe 20 *ὑμῖν τε* Steph 21 § 63 tota, cum ab hoc loco abhorreat, transponenda videtur ante *εἰ γὰρ μὴ* § 61

*ἔμελλεν ἔσεσθαι. αὐτίκα ὅτε ἵππευεν, οὐ μόνον ἵππους
ἐκτήσατο λαμπροὺς ἀλλὰ καὶ ἀθληταῖς ἐνίκησεν Ἰσθμοῖ
καὶ Νεμέᾳ, ὥστε τὴν πόλιν κηρυχθῆναι καὶ αὐτὸν στε-
φανωθῆναι. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, καὶ* 64
*τούτων καὶ τῶν ἄλλων μεμνημένους ἁπάντων τῶν εἰρη-
μένων βοηθεῖν ἡμῖν καὶ μὴ περιιδεῖν ὑπὸ τῶν ἐχθρῶν
ἀναιρεθέντας. καὶ ταῦτα ποιοῦντες τά τε δίκαια ψηφι-
εῖσθε καὶ ὑμῖν αὐτοῖς τὰ συμφέροντα.*

20.

| ΥΠΕΡ ΠΟΛΥΣΤΡΑΤΟΥ.

Οὔ μοι δοκεῖ χρῆναι ὀργίζεσθαι ὑμᾶς τῷ ὀνόματι τῷ 1
*τῶν τετρακοσίων, ἀλλὰ τοῖς ἔργοις ἐνίων. οἱ μὲν γὰρ
ἐπιβουλεύσαντες [ἦσαν] αὐτῶν, οἱ δ' ἵνα μήτε τὴν πό-
λιν μηδὲν κακὸν ἐργάσαιντο μήθ' ὑμῶν μηδένα, ἀλλ'
εὖνοι ὄντες εἰσῆλθον εἰς τὸ βουλευτήριον, ὧν εἷς ὢν
οὑτοσὶ τυγχάνει Πολύστρατος. οὗτος γὰρ ᾑρέθη μὲν ὑπὸ* 2
*τῶν φυλετῶν ὡς χρηστὸς ὢν ἀνὴρ καὶ περὶ τοὺς δημό-
τας καὶ περὶ τὸ πλῆθος τὸ ὑμέτερον· κατηγοροῦσι δὲ
αὐτοῦ ὡς οὐκ εὔνους ἦν τῷ πλήθει τῷ ὑμετέρῳ, αἱρεθεὶς
ὑπὸ τῶν φυλετῶν, οἳ ἄριστ' ⟨ἂν⟩ διαγνοῖεν περὶ σφῶν
αὐτῶν ὁποῖοί τινές εἰσιν. οὗτος δὲ τίνος ἂν ἕνεκα ὀλι-* 3
γαρχίας ἐπεθύμησε; πότερον ὡς ἡλικίαν εἶχε λέγων τι

2 *ἀθληταῖς* Tayl: *ἀθλητὰς* X, *ἀθλητὰς καὶ* C, *ἀθλητὰς οἷς* Rs, *ἀθλοφόροις* Wdn 8 *τὰ ὑμῖν αὐτοῖς συμφέροντα* secundum Gebauerum Wdn 10 Or. XX. titulum Harp. s. *Πολύστρατος* habet *ὑπὲρ Π. δήμου καταλύσεως ἀπολογία*, quem nonnulli receperunt 13 *ἦσαν* del. Emperius, *ὑμῖν* Rauch *οἱ δὲ μήτε ἵνα* Tayl 16 *οὑτοσὶ* Scheibe: *οὗτος* X, sed sequitur *πυγχάνει* (i. e. corr. *τυγχάνει*), ut suspiceris scribam legisse in exemplari *οὑτοσὶ* X[s] 19 *αὐτοῦ* a pr. m. additum in X ⟨*ὁ*⟩ *αἱρεθεὶς* Hertlein 20 *φυλετῶν* del. Herw *ἂν* hic add. Cob, post *διαγνοῖεν* C 21 *οὗτος δὴ* Rauch 22 *ἡλικίαν*] *ἐλπίδα* vel *δύναμιν* Cont, *ἡλικίας* Markl *λέγων*] *θέλων*

διαπράττεσθαι παρ' ὑμῖν, ἢ τῷ σώματι πιστεύων, ἵνα ὑβρίζοι εἰς τῶν ὑμετέρων τινά; ἀλλ' ὁρᾶτε αὐτοῦ τὴν ἡλικίαν, ᾗ καὶ τοὺς ἄλλους ἱκανός ἐστιν ἀποτρέπειν τού-
4 *των. ὅστις μὲν οὖν ἄτιμος ὤν, κακόν τι ἐργασάμενος ἐν τῷ πρόσθεν χρόνῳ, ἑτέρας πολιτείας ἐπεθύμησε, διὰ τὰ πρόσθεν ἁμαρτήματα αὐτοῦ ἕνεκ' ἂν ἔπραττε· τούτῳ δὲ τοιοῦτον οὐδὲν ἡμάρτητο, ὥστε αὐτοῦ ἕνεκα μισεῖν τὸ πλῆθος τὸ ὑμέτερον, ἢ τῶν παίδων. ὁ μὲν γὰρ ἐν Σικελίᾳ ἦν, οἱ δ' ἐν Βοιωτοῖς· ὥστε μηδὲ τούτων ἕνεκα ἑτέρας πολιτείας ἐπιθυμῆσαι [διὰ τὰ πρόσθεν ἁμαρτή-*
5 *ματα]. καὶ κατηγοροῦσι μὲν αὐτοῦ ὡς πολλὰς ἀρχὰς ἦρξεν, ἀποδεῖξαι δὲ οὐδεὶς οἷός τέ ἐστιν ὡς οὐ καλῶς ἦρξεν. ἐγὼ δ' ἡγοῦμαι οὐ τούτους ἀδικεῖν ἐν τοῖς πράγμασιν ἐκείνοις, ἀλλ' εἴ τις ὀλίγας ἄρξας ἀρχὰς μὴ τὰ ἄριστα ἦρξε τῇ πόλει. οὐ γὰρ οἱ καλῶς ἄρχοντες προὐδί-*
6 *δοσαν τὴν πόλιν, ἀλλ' οἱ μὴ δικαίως. οὗτος δὲ πρῶτον μὲν ἄρξας ἐν Ὠρωπῷ οὔτε προέδωκε καὶ ἑτέραν πολιτείαν κατέστησε, τῶν ἄλλων ἁπάντων, ὅσοι ἦρχον, καταπροδόντων τὰ πράγματα. οἱ δ' οὐχ ὑπέμειναν, καταγνόν-*

Schottus, *ἐλπίζων* Francken 2 *εἰς* ⟨*ὑμῶν ἢ*⟩ *τῶν* Franz coll. XII 30, *ὑμετέρων* ⟨*πολιτῶν*⟩ *τινα* Dobr 3 *ᾗ καὶ*] *ἡ καὶ* X, *δι' ἣν καὶ* Cob, *ἣ . . . ἱκανή* Cont 4 *κακὸν . . .* 5 *χρόνῳ* del. Kirchner 6 *αὐτοῦ* ⟨*ἢ τῶν παίδων*⟩ *ἕνεκ' ἂν* Markl 7 *ἡμάρτητο* Dobr: *ἡμάρτηται* X *ὥστε* ⟨*ἢ*⟩ *αὐτοῦ* Rauch 8 *ὑμέτερον. ἢ τῶν παίδων; ἀλλ' ὁ μὲν* Rauch *ὁ μὲν*] *ἐγὼ μὲν* Halb 10 *διὰ τὰ πρόσθεν ἁμαρτήματα* om. Bekker, habent XC, ⟨*μήθ' αὐτοῦ*⟩ *διὰ* Markl, ⟨*μηδὲ*⟩ *διὰ* Rs 13 *τούτους*] *τοὺς τοιούτους* Rauch, sed cf. 3. 5. 8. 16 *ἐν τοῖς* Rs: *μὲν τοῖς* X 14 *εἴ τις* ⟨*καὶ*⟩ pp. Herw, *εἴ τις* ⟨*εἴτε πολλὰς εἴτε*⟩ P. Müller 15 *καλῶς*] *πολλάκις* Dobr 17 *Ὠρωπῷ*] *Ὠρεῷ* Blass coll. Thuc. VIII 95 *καὶ . . .* 18 *κατέστησε* del. Hug, *οὔθ' ἑτέραν* Tayl, *οὐδ' ἑτέραν* F. Müller, post *προέδωκε* lacunam indicat de Wilamowitz, qua memoria proelii Eretriensis interierit, sed cf. Diod. XIII 34. 36, ut suspiceris munus Oropium ad illam pugnam referri 19 post *πράγματα* Rs addit: *οὔτε ἀπεδίδρασκε τὴν δίκην* *οἱ δ'*] *οἳ* Rauch

τες σφῶν αὐτῶν ἀδικεῖν· ὁ δὲ ἡγούμενος μηδὲν ἠδικη-
κέναι δίκην δίδωσι. καὶ τοὺς μὲν ἀδικοῦντας οἱ κατή- 7
γοροι ἐκκλέπτουσιν, ἀργύριον λαμβάνοντες· παρ' ὧν δ'
ἂν μὴ κερδαίνωσιν, ἀδικοῦντας ἀποφαίνουσι. καὶ ὁμοίας
τὰς κατηγορίας ποιοῦνται τῶν τε εἰπόντων γνώμην τινὰ
ἐν τῇ βουλῇ καὶ τῶν μή. οὗτος δὲ οὐδὲ γνώμην οὐδε-
μίαν εἶπε περὶ τοῦ ὑμετέρου πλήθους. ἐγὼ δ' ἡγοῦμαι 8
ἀξίους εἶναι τούτους μηδὲν πάσχειν ὑφ' ὑμῶν κακόν,
εἰ ὑμῖν μὲν εὖνοι ἦσαν, ἐκείνοις δὲ ⟨οὐκ⟩ ἀπηχθάνοντο.
τῶν γὰρ λεγόντων ἐναντία ἐκείνοις οἱ μὲν ἔφευγον οἱ
δὲ ἀπέθνησκον, ὥστ' εἴ τις καὶ ἐβούλετο ἐναντιοῦσθαι
ὑπὲρ ὑμῶν, τὸ δέος καὶ ὁ φόβος τῶν πεπονθότων ἀπέ-
τρεπε πάντας. [ὥστε οἱ πολλοὶ πάντα ἐγίγνωσκον αὐτῶν· 9
τοὺς μὲν γὰρ ἐξήλαυνον αὐτῶν, τοὺς δὲ ἀπεκτίννυσαν.]
οὓς δὲ ἐκείνων ἔμελλον ἀκροᾶσθαι καὶ μηδὲν ἐπιβουλεύ-
ειν μηδὲ ἐξαγγέλλειν, τούτους ἂν καθίσταντο. ὥστε οὐκ
ἂν ῥᾳδίως μετέστη ἂν ὑμῖν ἡ πολιτεία. οὔκουν δίκαιοί
εἰσιν, ὧν ὑμῖν εὖνοι ἦσαν, τούτων δίκην διδόναι. δει- **10**
νὸν δέ μοι δοκεῖ εἶναι, εἰ τοῖς εἰποῦσι περὶ τὸ πλῆθος
τὸ ὑμέτερον μὴ τὰ ἄριστα ὁ μηδὲν εἰπὼν ταὐτὰ πείσε-
ται. καὶ ἐν μὲν ἑβδομήκοντα ἔτεσιν οὐδὲν ἐξήμαρτεν εἰς

---

3 *ἐκκλέπουσιν* X 4 *κερδαίνωσιν, ⟨οὐδὲν⟩* Rs *ὁμοίως* Cob 5 *τινὰ ⟨μὴ ἐπιτηδείαν⟩* Dobr, *γνώμην ἐναντίαν τῇ βουλῇ* Francken 6 *οὐδὲ*] *οὐδέποτε* Rs 7 *περὶ*] *κατὰ* Rs, sed cf. Thuc. VIII 66 9 *εἰ ὑμῖν*] *οἳ ὑμῖν* Tayl *οὐκ* add. Brulart, *μὴ* Scheibe 12 *καὶ ὁ φόνος τῶν* Rs, *τὸ δέος ⟨τὸ τῶν κατηγόρων⟩ καὶ* Markl *πεπονθότων*] *κατηγόρων* Kayser, *κρατούντων* Rauch, sed cf. XIX 4, And. I 7, Demosth. XXI 20. 24. 118. 137 13 *ὥστε* . . . 14 *ἀπεκτίννυσαν* del. Herw, qui postea proponit: *οὕτω δ' οὐ πάνυ πολλοὶ ἐγίγνωσκον αὐτῶν κτλ.* 13 *ἐγίγνωσκον*] *κατεγίγνωσκον* Cont, *ἀπεγίγνωσκον* Dobr, *συνεγίγνωσκον αὐτοῖς* Francken 16 *ὥστε πῶς οὐ ῥᾳδίως μετέστη ὑμῖν* Rauch 19 *περὶ τοῦ πλ. τοῦ ὑμ.* Rs, sed cf. Ar. Thesm. 307 20 *τὸ ὑμέτερον . . . πείσεται* in X[k] a manu recentiore restituta 21 *ἐξήμαρτον* X

ὑμᾶς, ἐν ὀκτὼ δ' ἡμέραις; καὶ οἱ μὲν τὸν βίον ἅπαντα
πονηροὶ ὄντες χρηστοὶ ἐν τῷ λογιστηρίῳ γεγένηνται,
πείσαντες τοὺς κατηγόρους, οἳ δ' ἀεὶ ὑμῖν χρηστοὶ ἦσαν,
11 οὗτοι πονηροί; Καίτοι ἔν γε ταῖς πρότερον κατηγορίαις
τά τε ἄλλα κατηγόρησαν ψευδῆ τοῦ πατρός, καὶ συγγενῆ
Φρύνιχον αὐτοῦ εἶναι ἔφησαν. καίτοι εἴ τις βούλεται,
ἐν τῷ λόγῳ τῷ ἐμῷ μαρτυρησάτω ὡς ἀναγκαῖον ὄντα
Φρυνίχῳ. ἀλλὰ γὰρ ψευδῆ κατηγόρουν. ἀλλὰ μὴν οὐδ'
ἐκ παιδείας φίλος ἦν αὐτῷ· ὁ μὲν γὰρ ἐν ἀγρῷ πένης
12 ὢν ἐποίμαινεν, ὁ δὲ πατὴρ ἐν τῷ ἄστει ἐπαιδεύετο. καὶ
ἐπειδὴ ἀνὴρ ἐγένετο, ὁ μὲν ἐγεώργει, ὁ δ' ἐλθὼν εἰς τὸ
ἄστυ ἐσυκοφάντει, ὥστε μηδὲν ὁμολογεῖν τῷ τρόπῳ τῷ
ἀλλήλων. καὶ ὅτ' ἐξέτινε τῷ δημοσίῳ, οὐκ εἰσήνεγκεν
αὐτῷ τὸ ἀργύριον· καίτοι ἐν τοῖς τοιούτοις μάλιστα δη-
λοῦσιν οἳ ἂν φίλοι ὦσιν. εἰ δ' ἦν δημότης, οὐ δίκαιος
διὰ τοῦτο βλάπτεσθαί ἐστιν ὁ πατήρ, εἰ μὴ καὶ ὑμεῖς
13 ἀδικεῖτε, ὅτι ὑμῶν ἐστι πολίτης. Πῶς δ' ἂν ⟨τις⟩ γέ-
νοιτο δημοτικώτερος, ἢ ὅστις ὑμῶν ψηφισαμένων πεν-
τακισχιλίοις παραδοῦναι τὰ πράγματα καταλογεὺς ὢν
ἐνακισχιλίους κατέλεξεν, ἵνα μηδεὶς αὐτῷ διάφορος εἴη
τῶν δημοτῶν, ἀλλ' ἵνα τὸν μὲν βουλόμενον γράφοι, εἰ

1 ὑμᾶς ex ἡμᾶς a pr. m. X ἡμέραις; et 4 πονηροί; X[k] Scheibe, ἡμέραις. et πονηροί. vulg 3 ἦσαν om. C, Bekker 4 οὗτοι ⟨νῦν⟩ Rs, αὐτίκα Jacobs γε C: τε X, del. de Wilamowitz 5 αν ψευδῆ τοῦ πατρὸς item ab eadem manu restituta in X[k] 6 Φρυνίχου αὐτὸν Scheibe ἔφησαν X: ἔφασαν C 7 ὡς del. Rs, ὡς . . . κατηγόρουν del. Dobr, sed cf. IV 5 9 ἐκ παιδὸς Kayser 10 ἐν τῷ ἄστει est in X 12 τὼ τρόπω τὼ C, quem plerique iniuria secuti sunt, tollitur enim pronominis vis reciproca, τὼ τρόπω ἀλλήλοιν Cob, sed cf. Thuc. IV 97 14 τὸ (ante ἀργ.) del. Rauch, τοῦ ἀργυρίου Richards 16 μὴ καὶ C: καὶ μὴ X 17 ἐστι] ἦν Herw τις addidi cf. Gebauer arg. 295 18 ψηφισαμένων cf. Thuc. VIII 67, Arist. resp. Ath. 29 20 ἐνακοσίους Rauch 21 τῶν δημοτῶν del. Dobr, τῶν πολιτῶν Emperius, τῶν φυλετῶν Rauch, sed cf. Xen. Mem. I 2, 58, resp. Ath. 1, 4 γράφοι

δέ τῳ μὴ οἷόν τ' εἴη, χαρίζοιτο. καίτοι οὐχ οἳ ἂν πλείους τοὺς πολίτας ποιῶσιν, οὗτοι καταλύουσι τὸν δῆμον, ἀλλ' οἳ ἂν ἐκ πλειόνων ἐλάττους. οὗτος δὲ οὔτε ὀμόσαι 14 ἤθελεν οὔτε καταλέγειν, ἀλλ' αὐτὸν ἠνάγκαζον, ἐπιβολὰς ἐπιβάλλοντες καὶ ζημιοῦντες· ἐπεὶ δὲ ἠναγκάσθη καὶ ὤμοσε τὸν ὅρκον, ὀκτὼ ἡμέρας εἰσελθὼν εἰς τὸ βουλευτήριον ἐξέπλει εἰς Ἐρέτριαν, καὶ ἐδόκει ἐκεῖ τὴν ψυχὴν οὐ πονηρὸς εἶναι ἐν ταῖς ναυμαχίαις, καὶ τετρωμένος δεῦρ' ἦλθε, καὶ ἤδη μετεπεπτώκει τὰ πράγματα. καὶ οὗτος μὲν οὔτ' εἰπὼν γνώμην οὐδεμίαν, οὔτε πλέον ὀκτὼ ἡμερῶν ἐλθὼν εἰς τὸ βουλευτήριον ὦφλε χρήματα τοσαῦτα· τῶν δ' εἰπόντων ὑμῖν τἀναντία καὶ διὰ τέλους ἐν τῷ βουλευτηρίῳ ὄντων πολλοὶ ἀποπεφεύγασι. καὶ οὐ 15 φθονῶν τούτοις λέγω, ἀλλ' ἡμᾶς ἐλεῶν· οἱ μὲν γὰρ δοκοῦντες ἀδικεῖν ἐξῃτημένοι εἰσὶν ὑπὸ τῶν ὑμῖν προθύμων ἐν τοῖς πράγμασι γενομένων, οἱ δ' ἠδικηκότες ἐκπριάμενοι τοὺς κατηγόρους οὐδ' ἔδοξαν ἀδικεῖν. πῶς ἂν οὖν οὐκ ἂν δεινὰ πάσχοιμεν; καὶ κατηγοροῦσι μὲν τῶν 16 τετρακοσίων, ὅτι ἦσαν κακοί· καίτοι ὑμεῖς αὐτοὶ πεισθέντες ὑπὸ τούτων παρέδοτε τοῖς πεντακισχιλίοις, καὶ εἰ αὐτοὶ τοσοῦτοι ὄντες ἐπείσθητε, ἕνα ἕκαστον τῶν τετρα-

---

Scheibe: γράφῃ X, ἐγγράφῃ Markl, ἐγγράφοι Dobr, sed cf. Xen. Cyr. IV 3, 21 1 τῳ ἥδιον εἴη Rs ⟨ἐξαλείφων⟩ χαρίζοιτο Rs τῷ δὲ μὴ (sc. βουλομένῳ) οἷός τ' εἴη χαρίζεσθαι pp. Herw πλείους τοὺς Dobr: πλείστους X, πλείους Tur, ⟨ἐξ ἐλαττόνων⟩ πλείους Kayser 4 καταλέγειν] εἰσελθεῖν Bake 5 καὶ ζημιοῦντες post Reiskium del. Cob 9 καὶ ἤδη] ἐπεὶ ἤδη Sluiter 14 δοκοῦντες sc. τοῖς ἐν τῇ πόλει 16 ἠδικηκότες del. Hirschig 17 οὐδ' Dobr: οὐδὲν X ἂν priore loco del. Markl, altero P. Müller § 13—15 ἀδικεῖν Kirchner transponit ante § 3, § 13—15 pone § 6 collocat Albrecht 19 ὑμεῖς αὐτοὶ] ὑμεῖς αὐτοῦς Markl, ὑμᾶς αὐτοὺς Emperius 20 ⟨ὑμᾶς⟩ παρέδοτε Rs, τοῖς πεντ. ⟨τὰ πράγματα⟩ Dobr, sed cf. § 6 ὑμέμειναν, 12 ἐξέτινε καὶ εἰ] εἰ ab ead. man. superscriptum in X, καὶ οἷς Markl 21 τοσοῦτοι a pr. m. ex τοιοῦτοι X

κοσίων οὐ χρῆν πεισθῆναι; ἀλλ' οὐχ οὗτοι ἀδικοῦσιν, ἀλλ' οἱ ὑμᾶς ἐξηπάτων καὶ κακῶς ἐποίουν. οὗτος δ' ἐν πολλοῖς δηλοῖ ὑμῖν ⟨εὐνοῶν καὶ⟩ ὅτι, εἴ πέρ τι νεωτερίζειν ἐβούλετο εἰς τὸ ὑμέτερον πλῆθος, οὐκ ἄν ποτ' ἐν ὀκτὼ ἡμέραις, εἰσελθὼν εἰς τὸ βουλευτήριον, ᾤχετο ἐκ-
17 πλέων. ἀλλ' εἴποι ἄν τις ὅτι κερδαίνειν ἐπιθυμῶν ἐξέπλευσεν, ὥσπερ ἔνιοι ἥρπαζον καὶ ἔφερον. οὐδεὶς τοίνυν ἂν εἴποι ὁτιοῦν ὡς τῶν ὑμετέρων ἔχει, ἀλλὰ πάντα μᾶλλον κατηγοροῦσιν ἢ εἰς τὴν ἀρχήν. καὶ οἱ κατήγοροι τότε μὲν οὐδαμῇ εὖνοι ὄντες ἐφαίνοντο τῷ δήμῳ οὐδὲ ἐβοήθουν· νῦν δὲ ἡνίκα αὐτὸς ἑαυτῷ εὐνούστατός ἐστιν ὁ δῆμος, βοηθοῦσι τῷ μὲν ὀνόματι ὑμῖν, τῷ δὲ ἔργῳ
18 σφίσιν αὐτοῖς. καὶ μὴ θαυμάζετε, ὦ ἄνδρες δικασταί, ὅτι τοσαῦτα ὦφλε χρήματα. ἔρημον γὰρ αὐτὸν λαβόντες [αὐτοῦ τε καὶ] ἡμῶν κατηγοροῦντες εἷλον. τῷ μὲν γὰρ οὐδ' εἴ τις εἶχε μαρτυρίαν, εἶχε μαρτυρεῖν διὰ τὸ δέος τὸ τῶν κατηγόρων, τοῖς δὲ καὶ τὰ ψευδῆ δεδοικότες
19 ἐμαρτύρουν. ἦ δεινά γ' ἂν πάθοιμεν, ὦ ἄνδρες δικασταί,

---

1 χρῆν Markl: χρὴ X   2 ἐν del. de Wilamowitz   3 εὐνοῶν καὶ add. P. Müller, εὐνοῶν (vel εὔνους ὢν) ὃς (καὶ) εἴ Kayser, οἷος ἦν, ὃς εἴ Rauch   4 [ἐν] ὀκτὼ ἡμέρας de Wilamowitz   5 εἰσελθὼν εἰς τὸ β. aut del. aut ante ἐν ὀκτὼ ponit Dobr   7 ἔνιοι ⟨οἳ⟩ Markl   ἥρπαζον] τοὺς ξένους ἦγον Rs, ἦγον Herw   8 ὁτιοῦν ὡς scripsi: τις ὅπως X, ὅπως τι C, τι ὅπως vel ὅ τί πως Scheibe   ἀλλ' ⟨εἰς⟩ πάντα Rs, sed cf. XIX 60   14 ὦφλε C: ὤφειλε X   ἔρημον ex ἐρήμην a pr. m. X, ἐρήμην γὰρ αὐτῷ λαχόντες Tayl, sed cf. § 14. 22, XXXIV 5   15 αὐτοῦ τε καὶ delevi, αὐτοῦ . . . κατηγοροῦντες del. Halb   16 εἶχε μαρτυρίαν, εἶχε μαρτυρεῖν] εἶχε μαρτυρ αν, ἐτόλμα μαρτυρεῖν Markl, εἶχε μαρτυρίαν, ἐτόλμησε Rs, εἶχε μαρτυρεῖν, τἀληθῆ ἐτόλμα Dobr, εἶχε μαρτυρίαν ἐμαρτύρει Franz, εἶχε μαρτυρίαν, ἤθελε μαρτυρεῖν Rauch, εἶχεν, ἐμαρτύρει Baiter, εἶχεν, ἠνείχετο μαρτυρεῖν Sauppe post Funkhänelium, εἶχε μαρτυρεῖν, ἐμαρτύρει Scheibe, sed cf. IV 4, VII 21   17 ⟨μηδὲν⟩ δεδοικότες Rs   18 ἤ X: ἦ vulg   γ' ἂν] Steph: ἄγαν X, τἂν de Wilamowitz

*εἰ τοὺς μὲν οὐχ οἵους τε ὄντας ἐξάρνους εἶναι μὴ οὐ
χρήματα ἔχειν ὑμῶν, τούτους μὲν ἀφεῖτε ἀνδρὶ ἐξαιτου-
μένῳ, ἡμῖν δὲ αὐτοῖς τε προθύμοις γεγενημένοις περὶ
τὸ πλῆθος τὸ ὑμέτερον, καὶ τοῦ πατρὸς οὐδὲν ὑμᾶς ἠδι-
κηκότος, οὐ χαριεῖσθε. καὶ εἰ μὲν ξένος τις ἐλθὼν ὑμᾶς
ἢ χρήματα ᾔτει ἢ εὐεργέτης ἀναγραφῆναι ἠξίου, ἔδοτε
ἂν αὐτῷ· ἡμῖν δὲ οὐ δώσετε ἡμᾶς αὐτοὺς ἐπιτίμους ὑμῖν
γενέσθαι; εἰ δέ τινες κακόνοι ἐγένοντο εἰς τὰ ὑμέτερα* 20
*πράγματα ἢ γνώμην μὴ ἐπιτηδείαν εἶπον, οὐχ οἱ ἀπόν-
τες τούτων αἴτιοί εἰσιν, ἐπεὶ καὶ τοὺς παρόντας ὑμεῖς
ἀπελύσατε. οὐδὲ γὰρ εἴ τις τῶν ἐνθάδε μὴ τὰ ἄριστα
λέγων πείθει ὑμᾶς, οὐχ ὑμεῖς ἐστε αἴτιοι, ἀλλ' ὁ ἐξα-
πατῶν ὑμᾶς. ἐκεῖνοι δὲ σφῶν αὐτῶν προκαταγνόντες* 21
*ἀδικεῖν οἴχονται, | ἵνα μὴ δοῖεν δίκην· καὶ εἴ τινες ἄλλοι
ἀδικοῦσιν, ἧττον μὲν ἐκείνων, ἀδικοῦσι δέ, τὸ δέος αὐ-
τοὺς ποιεῖ τό τε ὑμέτερον καὶ τὸ τῶν κατηγόρων μὴ
ἐπιδημεῖν ἀλλὰ στρατεύεσθαι, ἵνα ἢ ὑμᾶς πραοτέρους
ποιῶσιν ἢ τούτους πείθωσιν. οὗτος δὲ ὑμῖν δίκην δέ-* 22
*δωκεν, οὐδὲν ὑμᾶς ἀδικῶν, εὐθὺς μετὰ τὰ πράγματα,
ὅτε ὑμεῖς τε μάλιστα ἐμέμνησθε τῶν γενομένων καὶ
οὗτος ἐλεγχθήσεσθαι ἔμελλε, πιστεύων αὑτῷ μηδὲν ἡμαρ-
τῆσθαι ἀλλ' ἀγωνιεῖσθαι εὖ μετὰ τοῦ δικαίου. ὡς δ' ἦν
δημοτικός, ἐγὼ ὑμῖν ἀποδείξω. πρῶτον μὲν γὰρ ὅσων* 23

---

2 *ἀφεῖτε* Dobr: *ἀφῆτε* X *ἀνδρὶ* ⟨*στρατηγῷ*⟩ Rs, *ἀ.* ⟨*πονηρῷ*⟩ Kayser, *ἀ.* ⟨*τῷ τυχόντι* vel *παντὶ*⟩ Herw, sed cf. XII 52 4 *τοῦ* del. Francken 5 *ἐλθὼν* ⟨*ὡς εὖ ποιήσας*⟩ Rauch 6 *ἐδίδοτε ἂν* Frb 7 *αὐτοὺς*] *αὖθις* Rs, *ἀστούς* vel *πολίτας ὄντας* Scheibe, *εὔνους ὄντας* Rauch, *οὖσιν ἀστοῖς* Gebauer, quod post *ἡμῖν δὲ* ponere mavult, *δώσετε τοιούτους περὶ ὑμᾶς ὄντας* Kayser *ὑμῖν* del. Dobr, ⟨*ἐν*⟩ *ὑμῖν* Rs 9 *ἀπόντες* Tayl: *ἅπαντες* X 19 *πράγματα* ⟨*ἐπανελθὼν*⟩ Rs 23 *ὅσων* ⟨*ἐστρατεύσασθε*⟩ Rs, *ἁπασῶν* Steph, *πασῶν* Hertlein, del. Cont, *ὅσον* Scaliger, *ὅσον οὐ* Scheibe, *ὅσων* ⟨*ἔδει*⟩ Rauch, *νέος ὢν* Dobr, sed *ὅσων* exclamantis esse videtur

οὐδεμιᾶς στρατείας ἀπελείφθη, ἀλλ' ἐστρατεύετο, ὡς
συνειδότες ἂν εἴποιεν οἱ δημόται· καὶ ἐξὸν αὐτῷ τὴν
οὐσίαν ἀφανῆ καταστήσαντι μηδὲν ὑμᾶς ὠφελεῖν, εἵλετο
μᾶλλον συνειδέναι ὑμᾶς, ἵν', εἰ καὶ βούλοιτο κακὸς εἶ-
ναι, μὴ ἐξείη αὐτῷ, ἀλλ' εἰσφέροι τε τὰς εἰσφορὰς καὶ
λητουργοίη. καὶ ἡμᾶς παρεσκεύασεν, ὡς ἂν τῇ πόλει
24 ὠφελιμώτατοι εἴημεν. καὶ ἐμὲ μὲν εἰς Σικελίαν ἐξέπεμ-
ψεν, ὑμῖν δ' οὐκ ἦν . . . ., ὥστ' εἰδέναι τοὺς ἱππέας,
οἷος ἦν τὴν ψυχήν, ἕως τὸ στρατόπεδον σῶν ἦν· ἐπειδὴ
δὲ διεφθάρη καὶ ἀνεσώθην εἰς Κατάνην, ἐληξόμην ὁρ-
μώμενος ἐντεῦθεν καὶ τοὺς πολεμίους κακῶς ἐποίουν,
ὥστε τῇ θεῷ τε τὰς δεκάτας ἐξαιρεθῆναι πλέον ἢ τριά-
κοντα μνᾶς καὶ τοῖς στρατιώταις εἰς σωτηρίαν, ὅσοι ἐν
25 τοῖς πολεμίοις ἦσαν. καὶ ἐπειδὴ Καταναῖοι ἠνάγκαζον
ὁπλιτεύειν, ὡπλίτευον καὶ οὐδενὸς οὐδ' ἐνταῦθα κιν-
δύνου ἀπελειπόμην, ὥστ' εἰδέναι ἅπαντας οἷος ἦν τὴν
ψυχὴν ἱππεύων τε καὶ ὁπλιτεύων. ⟨ὧν⟩ ὑμῖν τοὺς μάρ-
τυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

---

1 στρατιᾶς X ἀλλ' ἐστρατεύετο del. Herw 5 ἐξείη Dobr: ἐξῇ X εἰσφέρῃ X 6 ἡμᾶς ex ὑμᾶς a pr. m. X 7 ἐμὲ μὲν ⟨ἱππεύσαντα⟩ pp. Herw 8 lacunam indicavit Markl, ἄχρηστος supplet Kayser, ἀνδρειότερος στρατιώτης Fränkel, ἀνωφελὴς ἐκεῖ Herw, οὐκ ἦν πως εἰδέναι [τοὺς ἱππέας] Rs, οὐκ ἦν ὥστ' εἰδέναι ⟨πλὴν⟩ τοὺς Rauch 9 σῶν C: σῶον X 10 ἀνεσώθην C; ἀνεσώθη X cf. Thuc. VII 85. Paus. VII 16. 3. 5 ἐληξόμην Cont: ἠλπιζόμην X 12 τὰς] εἰς Tayl 13 ⟨τὰ⟩ εἰς σωτηρίαν Markl, ⟨περιεῖναι⟩ εἰς Rs, ⟨τὰ ἴσα⟩ εἰς Dobr, ⟨τὸ ἴσον⟩ τοῖς στρ. Halb, sed cf. § 1 ἐργάσαιντο, 5 προὐδίδοσαν, 13 καταλύουσι, 14 ἤθελε etc. ἐπὶ τοῖς Cob 14 ἠνάγκαζον cf. Diod. XIII 56 15 ὁπλιτεύειν, ὡπλίτευον P. Müller: ἱππεύειν ἵππευον X, ἱππεύειν C, Tur, ὁπλιτεύειν Foertsch, ἵππευον de Wilamowitz 17 ὧν add. Steph τοὺς ⟨ἱππέας⟩ μάρτυρας Rs 19 titulum in margine habet X^{s} spatio exiguo in contextu relicto

Ἀκηκόατε μὲν τῶν μαρτύρων, ὦ ἄνδρες δικασταί· οἷος δ' εἰμὶ περὶ τὸ ὑμέτερον πλῆθος, ἐγὼ ὑμῖν ἀποδείξω. ἀφικομένου γὰρ ἐκεῖσε Συρακοσίου ὅρκιον ἔχοντος καὶ ἑτοίμου ὄντος ὁρκοῦν καὶ προσιόντος πρὸς ἕνα ἕκαστον τῶν ἐκεῖ ὄντων, ἀντεῖπον εὐθὺς αὐτῷ καὶ ἐλθὼν ὡς Τυδέα διηγούμην ταῦτα, καὶ σύλλογον ἐποίει, καὶ λόγοι οὐκ ὀλίγοι ἦσαν. ὧν δ' οὖν ἐγὼ εἶπον, καλῶ μάρτυρας. 26

ΜΑΡΤΥΡΕΣ.

Σκέψασθε δὴ καὶ τοῦ πατρὸς τὴν ἐπιστολήν, ἣν ἔδωκεν ἀποδοῦναι ἐμοί, πότερα τῷ ὑμετέρῳ πλήθει ἀγαθὰ ἐνῆν ἢ οὔ. τά τε γὰρ οἰκεῖα ἐνεγέγραπτο, καὶ ἔτι, ὅτε καλῶς ἔχοι τὰ ἐν Σικελίᾳ, ἥκειν. καίτοι ταὐτὰ ὑμῖν συνέφερε καὶ τοῖς ἐκεῖ· ὥστ' εἰ μὴ εὔνους ἦν τῇ πόλει καὶ ὑμῖν, οὐκ ἄν ποτε τοιαῦτα ἐπέστελλεν. 27

Ἀλλὰ μὴν καὶ τὸν ἀδελφὸν τὸν νεώτατον, οἷος εἰς ὑμᾶς ἐστιν, ἐγὼ ἀποδείξω. καταδρομῆς γὰρ γενομένης τῶν φυγάδων, ⟨οἳ⟩ οὐ μόνον ἐνθάδε ὅ τι οἷοί τ' ἦσαν κακὸν ἠργάζοντο, ἀλλὰ καὶ ἀπὸ τοῦ τείχους ἔφερον καὶ ἦγον ὑμᾶς, ἐξελάσας ἐκ τῶν ἄλλων ἱππέων ἕνα ἀπέκτεινεν. ὧν ὑμῖν αὐτοὺς μάρτυρας τοὺς παραγενομένους παρέξομαι. 28

---

5 *ἀντεῖπον* C: *ἀντεῖπεν* X 6 *Τυδέα* cf. Xen. Hell. II 1, 16, *Τ.* ⟨*τὸν στρατηγὸν*⟩ vel pagi nomen desiderat Fränkel *σύλλογον* secundum Dobraeum Cob: *συλλογὴν* X 7 *δ'* post *ὧν* om. Cob ⟨*τοὺς*⟩ *μάρτυρας* Schoemann, *κάλει τοὺς μ.* Rauch, *κάλει μοι μ.* Herw 11 *ἀποδοῦναί μοι* C. Tur; ante has voces Rs nomen eius desiderat, qui litteras perfert *ἀγαθὸς* C. Tur, *εὔνους* Dobr, *ἀγαθοῦ* Markl, *ἀγαθὴ* Auger 12 *ἐνῆν* Francken: *ἦν* X *οὐ* ⟨*τὰ ἐγγεγραμμένα*⟩ Rs *ἀνεγέγραπτο* X 13 *ταὐτὰ* Tayl: *ταῦτα* X *ὑμῖν* ⟨*τε*⟩ Markl 15 lemma *ἐπιστολή* inserit Zaka 18 *οἳ* add. Tayl 20 *ἕνα* ⟨*τῶν ν'*⟩ Francken, sed recte Rs subaudit *τῶν φυγάδων*, cf. Xen. Hell. I 1, 33

ΜΑΡΤΥΡΕΣ.

29 *Τὸν δὲ πρεσβύτατον ἀδελφὸν αὐτοὶ οἱ συστρατευόμενοι ἴσασι ⟨καὶ⟩ οἵτινες ἐνθάδε ὄντες ἦτε ἐν Ἑλλησπόντῳ, ὥστε νομίζειν μηδενὸς ἧττον' εἶναι ἀνθρώπων τὴν ψυχήν. Καί μοι ἀνάβητε δεῦρο.*

⟨ΜΑΡΤΥΡΕΣ.⟩

30 *Πῶς οὖν οὐ χρὴ χάριν παρ' ὑμῶν ἀπολαμβάνειν, εἰ
τοιοῦτοί ἐσμεν; ⟨ἢ⟩ ὧν μὲν ὁ πατὴρ διαβέβληται εἰς
ὑμᾶς, δικαίως τούτων δεῖ ἡμᾶς ἕνεκα ἀπολέσθαι, [δι']
ὧν δὲ πρόθυμοι εἰς τὴν πόλιν γεγενήμεθα, μηδεμίαν
ὠφέλειαν γενέσθαι; ἀλλ' οὐ δίκαιον. ἀλλ' εἰ διὰ τὴν
τούτου διαβολὴν δεῖ ἡμᾶς πάσχειν, δίκαιοί ἐσμεν διὰ*
31 *τὴν ἡμετέραν προθυμίαν τοῦτόν τε σῶσαι καὶ ἡμᾶς. οὐ
γὰρ δὴ ἡμεῖς χρημάτων γε ἕνεκα, ἵνα λάβοιμεν, εὖ ὑμᾶς
ἐποιοῦμεν, ἀλλ' ἵνα, εἴ ποτε κίνδυνος εἴη ἡμῖν, ἐξαιτού-
μενοι παρ' ὑμῶν τὴν ἀξίαν χάριν ἀπολάβοιμεν. χρὴ δὲ
ὑμᾶς καὶ τῶν ἄλλων ἕνεκα τοιούτους εἶναι, γιγνώσκον-
τας ὅτι, ἐάν τις πρόθυμος εἰς ὑμᾶς ᾖ, οὐ μόνον ἡμᾶς*

---

2 *πρεσβύτερον* Blass *αὐτοὶ*] *οὗτοι* de Wilamowitz, *αὐτοί ⟨τε⟩* Schott 3 *ἴσασι*] *ἴστε* Francken, *ἐπίστασθε ⟨οἷος ἦν⟩* Rauch, *ἴσασιν* X *καὶ* add. Scheibe, *καὶ ὑμῶν* Schott *ἐνθάδε ὄντες*] *μετὰ Λέοντος* de Wilamowitz, *οἵ τε ἐνθ. ὄντες οἵ τε ἐν Ἑλλ.* Rs *ἦτε*] *εἴτε* X 4 *ἧττον'* Steph: *ἧττον* X 6 titulum add. C 8 *ἢ* add. Rs, *ἀλλ'* add. C 9 *ὑμᾶς οὐ δικαίως* C, Tur, *ὑμ. ἀδίκως* Markl, sed non opus cf. XXVII 8 *δι'* del. Dobr 10 *ὧν δὲ ⟨αὐτοὶ⟩* pp. Herw *μηδεμίαν ⟨ἡμῖν⟩* Herw 11 *τι* addunt post *εἰ* West, post *δεῖ* Sauppe, post *ἡμᾶς* de Wilamowitz, post *πάσχειν* Scheibe 12 *ἡμᾶς ⟨κακῶς⟩* Auger *διά ⟨γε⟩ τὴν* Herw 13 *ὑμετέραν* X 14 *δὴ* Dobr: *ἂν* X, del. Tur *ἵνα λάβοιμεν* del Cob, sed cf. I 4, *ἵνα ⟨δωρεὰν⟩* Halb 15 *εἴη, ἡμᾶς ἐξαιτ.* Kayser, sed cf. § 19, XXX 31 18 *ἐὰν . . . ᾖ* post *ἕνεκα* transpon. Markl, del. Dobr *⟨δι'⟩ ἡμᾶς ὠφελήσεσθε* Francken, *ἡμᾶς ἐλεήσετε* Rauch

ὠφελήσετε· ἡμῶν μὲν γὰρ καὶ πρὶν δεηθῆναι πεπείρασθε,
οἷοί ἐσμεν εἰς ὑμᾶς· τοὺς δὲ ἄλλους προθυμοτέρους ποι-
ήσετε, κατ' ἀξίαν χαριζόμενοι, ὅσ' ἄν τις ὑμᾶς εὖ ποιῇ.
καὶ μηδαμῶς τοῖς λέγουσι βεβαιώσητε | λόγον τὸν πάν- **32**
των πονηρότατον· λέγεται γὰρ τοὺς κακῶς πεπονθότας
μεμνῆσθαι μᾶλλον ἢ τοὺς εὖ. τίς γὰρ ἔτι ἐθελήσει χρη-
στὸς εἶναι, εἰ ἡττηθήσονται τῶν κακῶς ὑμᾶς ποιούντων
οἱ εὖ ποιοῦντες; ἔχει δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, οὕ-
τως. περὶ ἡμῶν γάρ ἐστι ψῆφος ὑμῖν, καὶ οὐ περὶ χρη-
μάτων. ἕως μὲν γὰρ εἰρήνη, ἦν ἡμῖν φανερὰ οὐσία, καὶ **33**
ἦν ὁ πατὴρ ἀγαθὸς γεωργός· ἐπειδὴ δὲ εἰσέβαλον οἱ
πολέμιοι, πάντων τούτων ἐστερήθημεν. ὥστε αὐτῶν τού-
των ἕνεκα πρόθυμοι ἦμεν εἰς ὑμᾶς, εἰδότες ὅτι χρήματα
μὲν ἡμῖν οὐκ εἴη πόθεν ἐκτείσομεν, αὐτοὶ δὲ πρόθυμοι
ὄντες εἰς ὑμᾶς ἀξιοῦμεν εὑρίσκεσθαι χάριν. καίτοι ὁρῶ- **34**
μέν γ' ὑμᾶς, ὦ ἄνδρες δικασταί, ἐάν τις παῖδας αὑτοῦ
ἀναβιβασάμενος κλάῃ καὶ ὀλοφύρηται, τούς τε παῖδας
δι' αὐτὸν εἰ ἀτιμωθήσονται ἐλεοῦντας, καὶ ἀφιέντας τὰς
τῶν πατέρων ἁμαρτίας διὰ τοὺς παῖδας, οὓς οὔπω ἴστε
εἴτε ἀγαθοὶ εἴτε κακοὶ ἡβήσαντες γενήσονται· ἡμᾶς δ'

---

1 ἡμῶν μὲν . . . 2 εἰς ὑμᾶς per parenthesin post ἄλλους transpon. Markl 3 ὅσ' ἂν Rs: ὃς ἂν X cf. Demosth. I 11, ὅταν Dobr, ὃς ἄν τι ὑμᾶς Frb 4 λόγον τὸν Markl: λεγόντων X, λόγον τῶν secundum Marklandum Rs 5 γὰρ ὑμᾶς κακῶς vel γὰρ τοὺς <Ἀθηναίους> κακῶς . . . ἢ [τοὺς] εὖ Francken 6 θελήσει X 7 ὑμᾶς a pr. m. ex ἡμᾶς X 9 ἡμῶν C: ὑμῶν X ἐστιν <ἡ> ψ. Dobr 10 εἰρήνην, ἦν sic distinxit Rs. An. II 84, cf. [VI] 23, Demosth. XIX 262 ἡμῖν] ἦν μὲν Scal, <ἦν> ἡμῖν Rs, <ἔμεινεν> ἡμῖν <ἡ> Rauch, ἡ μὲν Emperius, ἡμῖν <ἦν> φανερὰ <ἡ> οὐσία Cob 13 ἦμεν scripsi: ἐσμεν X εἰδότας Kayser 14 εἴη] ἔστι Cob, <ἂν> εἴη Markl ὁπόθεν Cob ἐκτίσωμεν Scheibe 15 ἀξιοῦμεν] cf. XII 38. 88. XIII 85, ἀξιούμεθα Scheibe, ἀξιοί ἐσμεν Cob 18 δι' αὐτὸν Hirschig: καὶ αὐτὸν X

ἴστε ὅτι πρόθυμοι γεγενήμεθα εἰς ὑμᾶς, καὶ τὸν πατέρα
οὐδὲν ἡμαρτηκότα. ὥστε πολλῷ δικαιότεροί ἐστε, ὧν πε-
πείρασθε, τούτοις χαρίσασθαι, ἢ οὓς οὐκ ἴστε ὁποῖοί
35 τινες ἔσονται. πεπόνθαμεν δὲ τοὐναντίον τοῖς ἄλλοις
ἀνθρώποις. οἱ μὲν γὰρ ἄλλοι τοὺς παῖδας παραστησά-
μενοι ἐξαιτοῦνται ὑμᾶς, ἡμεῖς δὲ τὸν πατέρα τουτονὶ
[καὶ ἡμᾶς] ἐξαιτούμεθα, μὴ ἡμᾶς ἀντὶ μὲν ἐπιτίμων ἀτί-
μους ποιήσητε, ἀντὶ δὲ πολιτῶν ἀπόλιδας· ἀλλὰ ἐλεήσατε
καὶ τὸν πατέρα γέροντα ὄντα καὶ ἡμᾶς. εἰ δὲ ἡμᾶς ἀδί-
κως ἀπολεῖτε, πῶς ἢ οὗτος ἡμῖν ἡδέως συνέσται ἢ ἡμεῖς
ἀλλήλοις ἐν τῷ αὐτῷ, ὄντες ὑμῶν τε ἀνάξιοι καὶ τῆς
πόλεως; ἀλλ' ὑμῶν δεόμεθα τρεῖς ὄντες ἐᾶσαι ἡμᾶς ἔτι
36 προθυμοτέρους γενέσθαι. δεόμεθα οὖν ὑμῶν πρὸς τῶν
ὑπαρχόντων ἀγαθῶν ἑκάστῳ, ὅτῳ μὲν εἰσὶν ὑεῖς, τού-
των ἕνεκα ἐλεῆσαι, ὅστις ⟨δ'⟩ ἡμῖν ἡλικιώτης τυγχάνει,
διὰ τὸν πατέρα ἐλεήσαντας ἀποψηφίσασθαι· καὶ μὴ ἡμᾶς
βουλομένους εὖ ποιεῖν τὴν πόλιν ὑμεῖς κωλύσητε. δεινὰ
δ' ἂν πάθοιμεν, εἰ ὑπὸ τῶν πολεμίων μὲν ἐσώθημεν,
οὓς εἰκὸς ἦν διακωλύειν μὴ σῴζεσθαι, παρ' ὑμῶν δὲ μη-
δὲ εὑρησόμεθα τὸ σωθῆναι.

---

3 οὓς] an οἷς? Hude 6 ὑμᾶς] cf. XIV 16, σφᾶς Scheibe, del. Kayser 7 καὶ ἡμᾶς del. Kayser, δι' ἡμᾶς Rauch, καὶ del. Francken (ad τὸν πατέρα subaudi παραστησάμενοι) 11 ἐν τῷ αὐτῷ del. Cob παθόντες (πεπονθότες Cob) ὑμῶν τε ἀνάξια Francken 15 δ' add. Steph ⟨ὢν⟩ τυγχάνει Franz 16 διὰ τὸν πατέρα scripsi: ἢ τῷ πατρὶ X, ἢ τῷ π. ⟨τὴν ἡλικίαν⟩ Rs, ὢν, τὸν πατέρα Halb ἐλεήσαντες ἀποψηφίσασθε Scal 18 ὑπὸ τῶν cf. § 26 19 μηδὲ . . . 20 τὸ Dobr: μηδὲν . . . τοῦ X, τοῦ σωθῆναι ⟨ἄξιον⟩ Rs, εὑρησόμεθα κωλυθῆναι? Emperius, post ὑμῶν δὲ Dobr addit: οὓς εἰκὸς ἡμῖν τῆς προθυμίας χάριν εἰδέναι

21.

ΑΠΟΛΟΓΙΑ ΔΩΡΟΔΟΚΙΑΣ ΑΠΑΡΑΣΗΜΟΣ.

Περὶ μὲν τῶν κατηγορημένων, ὦ ἄνδρες δικασταί, 1
ἱκανῶς ὑμῖν ἀποδέδεικται· ἀκοῦσαι δὲ καὶ περὶ τῶν
ἄλλων ὑμᾶς ἀξιῶ, ἵν' ἐπίστησθε περὶ οἵου τινὸς ὄντος
ἐμοῦ ψηφιεῖσθε. ἐγὼ γὰρ ἐδοκιμάσθην μὲν ἐπὶ Θεοπόμ-
που ἄρχοντος, καταστὰς δὲ χορηγὸς τραγῳδοῖς ἀνή- [411/10
λωσα τριάκοντα μνᾶς καὶ τρίτῳ μηνὶ Θαργηλίοις νικήσας
ἀνδρικῷ χορῷ δισχιλίας δραχμάς, ἐπὶ δὲ Γλαυκίππου ἄρ-
χοντος εἰς πυρριχιστὰς Παναθηναίοις τοῖς μεγάλοις [410/9
ὀκτακοσίας. ἔτι δ' ἀνδράσι χορηγῶν εἰς Διονύσια ἐπὶ τοῦ 2
αὐτοῦ ἄρχοντος ἐνίκησα, καὶ ἀνήλωσα σὺν τῇ τοῦ τρί-
ποδος ἀναθέσει πεντακισχιλίας δραχμάς, καὶ ἐπὶ Διο-
κλέους Παναθηναίοις τοῖς μικροῖς κυκλίῳ χορῷ τριακο- [409/8
σίας. τὸν δὲ μεταξὺ χρόνον ἐτριηράρχουν ἑπτὰ ἔτη, καὶ
ἓξ τάλαντα ἀνήλωσα. καὶ τοσαύτας δαπάνας δαπανώμε- 3
νος, καὶ καθ' ἡμέραν ὑπὲρ ὑμῶν κινδυνεύων καὶ ἀπο-
δημῶν, ὅμως εἰσφορὰς τὴν μὲν τριάκοντα μνᾶς τὴν δὲ
τετρακισχιλίας δραχμὰς εἰσενήνοχα. ἐπειδὴ δὲ κατέπλευ-
σα ἐπὶ Ἀλεξίου ἄρχοντος, εὐθὺς ἐγυμνασιάρχουν εἰς [405/4
Προμήθεια, καὶ ἐνίκων ἀναλώσας δώδεκα μνᾶς. καὶ | 4
ὕστερον κατέστην χορηγὸς παιδικῷ χορῷ καὶ ἀνήλωσα
πλεῖν ἢ πεντεκαίδεκα μνᾶς. ἐπὶ δὲ Εὐκλείδου ἄρχοντος [403/2
κωμῳδοῖς χορηγῶν Κηφισοδώρῳ ἐνίκων, καὶ ἀνήλωσα
σὺν τῇ τῆς σκευῆς ἀναθέσει ἑκκαίδεκα μνᾶς, καὶ Παναθη-

---

2 Or. XXI. *ἀπαράσσημος* X[s], sed recte in indice; vocem del. Tayl. *ἀπολογία τῆς δωροδοκίας* Suid. s. *τέως*. Partem priorem deesse apparet. 5 *οἵου* Markl: *ὅτου* X 10 *πυριχιστὰς* X 14 *κυκλίῳ* Tayl: *κυκλικῷ* X, cf. Aesch. I 10. III 232, Ar. Ran. 366, Nub. 333, Plat. Axioch. 371[d] 18 *εἰσφορὰς* Markl: *εἰσφορὰν* X, ⟨*δὶς*⟩ *εἰσφορὰν* Pluygers 23 *πλέον* X 24 *Κηφισοδώρῳ* Clinton ad ann. 402. Bergk apud Schillerum And. 138: *Κηφισοδότῳ* X

ναίοις τοῖς μικροῖς ἐχορήγουν πυρριχισταῖς ἀγενείοις,
5 καὶ ἀνήλωσα ἑπτὰ μνᾶς. νενίκηκα δὲ τριήρει μὲν ἁμιλ-
λώμενος ἐπὶ Σουνίῳ, ἀναλώσας πεντεκαίδεκα μνᾶς· χω-
ρὶς δὲ ἀρχιθεωρίας καὶ ἀρρηφορίας καὶ ἄλλα τοιαῦτα,
εἰς ἃ ἐμοὶ δεδαπάνηται πλεῖν ἢ τριάκοντα μναῖ. καὶ τού-
των ὧν κατέλεξα, εἰ ἐβουλόμην κατὰ τὰ γεγραμμένα ἐν
τῷ νόμῳ λῃτουργεῖν, οὐδ' ἂν τὸ τέταρτον μέρος ἀνή-
6 λωσα. τὸν δὲ χρόνον ὃν ἐτριηράρχουν, ἡ ναῦς ἄριστά
μοι ἔπλει παντὸς τοῦ στρατοπέδου. τεκμήριον δὲ τούτου
ὑμῖν μέγιστον ἐρῶ. πρῶτον μὲν γὰρ Ἀλκιβιάδης, ὃν ἐγὼ
περὶ πολλοῦ ἂν ἐποιησάμην μὴ συμπλεῖν μοι, οὔτε φί-
λος ὢν οὔτε συγγενὴς οὔτε φυλέτης ἔπλει ἐπὶ τῆς ἐμῆς
7 νεώς. καίτοι ὑμᾶς οἶμαι εἰδέναι ὅτι στρατηγὸς ⟨ὤν⟩, ᾧ
ἐξῆν ποιεῖν ὅ τι ἐβούλετο, οὐκ ἄν ποτε ἀνέβη ἐπ' ἄλλην
ναῦν εἰ μὴ τὴν ἄριστα πλέουσαν, μέλλων αὐτὸς κινδυ-
νεύσειν. ἐπειδὴ δὲ ἐκείνους μὲν ὑμεῖς ἐπαύσατε τῆς ἀρ-
8 χῆς, τοὺς δὲ μετὰ Θρασύλλου δέκα εἵλεσθε, οὗτοι πάν-
τες ἐβούλοντο ἐπὶ τῆς ἐμῆς νεὼς πλεῖν, ἀνέβη μέντοι
πολλῶν λοιδοριῶν αὐτοῖς γενομένων Ἀρχέστρατος ὁ
Φρεάρριος· ἀποθανόντος δὲ τούτου ἐν Μυτιλήνῃ Ἐρα-
σινίδης μετ' ἐμοῦ συνέπλει. καίτοι οὕτω παρεσκευασμέ-
νον ⟨τὴν⟩ τριήρη πόσα οἴεσθε ἀνηλωκέναι χρήματα; ἢ
πόσα τοὺς πολεμίους εἰργάσθαι κακά; ἢ πόσα τὴν πόλιν
9 εὖ πεποιηκέναι; τεκμήριον δὲ τούτου μέγιστον· ὅτε γὰρ

---

1 πυριχισταῖς X 3 χώρὶς δὲ ⟨εἰς⟩ Pluygers 4 ἀρχιθεωρίαι καὶ ἀρρηφορίαι Rs, καὶ ἐρρηφ. Robert 5 εἰς ἃ del. Pluygers, εἰς del. Francken πλέον X 9 ἔπλει C: πλεῖ X τεκμήρια . . . 10 μέγιστα Zaka 13 ὢν add. C 16 ἐκείνους] ἐκεῖνον Tayl, sed cf. Xen. Hell. I 5, 16 17 θρασύλου X 19 ⟨ἐν⟩ αὐτοῖς Kayser, ἀλλήλοις Auger 20 φρεάριος X μιτυλήνῃ a pr. m. ex μυτυλήνῃ X Ἀρχέστρ. Ἐρασ. cf. Xen. Hell. l. l. 21 ⟨εἰς⟩ οὕτω Naber παρεσκευασμένον ⟨τὴν⟩ Halb: παρεσκευασμένην X 22 πόσα ⟨μ'⟩ Herw

ἐν τῇ τελευταίᾳ ναυμαχίᾳ αἱ νῆες διεφθάρησαν, οὐδενός μοι συμπλέοντος στρατηγοῦ (ἵνα καὶ τούτου μνησθῶ, ἐπειδὴ καὶ τοῖς τριηράρχοις ὠργίσθητε διὰ τὴν γενομένην συμφοράν) ἐγὼ τήν τε ἐμαυτοῦ ναῦν ἐκόμισα καὶ τὴν Ναυσιμάχου τοῦ Φαληρέως ἔσωσα. καὶ ταῦτα οὐκ **10** *ἀπὸ τύχης ἐγίγνετο, ἀλλ' ἀπὸ παρασκευῆς τῆς ἐμῆς· εἶχον γὰρ χρήμασι πείσας κυβερνήτην Φαντίαν ἅπαντα τὸν χρόνον, ὃς ἐδόκει τῶν Ἑλλήνων ἄριστος εἶναι, παρεσκευασάμην δὲ καὶ τὸ πλήρωμα πρὸς ἐκεῖνον καὶ τὴν ἄλλην ὑπηρεσίαν ἀκόλουθον. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, πάντες ἐπίστασθε, ὅσοι ἐτυγχάνετε ὄντες ἐκεῖ τῶν στρατιωτῶν. κάλεσον δὲ καὶ Ναυσίμαχον.*

ΜΑΡΤΥΡΙΑ.

Αἱ μὲν τοίνυν σωθεῖσαι τῶν νεῶν δώδεκα ἦσαν· ἐγὼ **11** *δ' ὑμῖν δύο ἐκόμισα, τὴν ἐμαυτοῦ καὶ τὴν Ναυσιμάχου τριήρη.*

Καὶ οὕτω πολλοὺς κινδύνους ὑπὲρ ὑμῶν κεκινδυνευκὼς καὶ τοσαῦτα ἀγαθὰ εἰργασμένος τὴν πόλιν, νυνὶ δέομαι οὐ δωρεὰν ὥσπερ ἕτεροι ἀντὶ τούτων παρ' ὑμῶν λαβεῖν, ἀλλὰ μὴ στερηθῆναι τῶν ἐμαυτοῦ, ἡγούμενος καὶ ὑμῖν αἰσχρὸν εἶναι παρά τε ἑκόντος ἐμοῦ καὶ παρ' ἄκοντος λαμβάνειν. καὶ οὐ τοσοῦτόν μοι μέλει εἴ με δεῖ **12** *τὰ ὄντα ἀπολέσαι· ἀλλ' οὐκ ἂν δεξαίμην ὑβρισθῆναι, οὐδὲ παραστῆναι τοῖς διαδυομένοις τὰς λητουργίας ἐμοὶ*

---

3 *καὶ τοῖς* Markl: *δὲ τοῖς* X 4 *ἐκομισάμην* Rauch, sed cf. § 11 6 *ἐγένετο* C *εἶχον* est in X 7 *Φιντίαν* Cob, *Φανίαν* Scheibe coll. Xen. Hell. V 1, 26, Ath. XII 551 e 8 *παρεσκευάσμην* Cob 11 *τῶν ἐκεῖ στρ.* Pluygers 12 *Ναυσίμαχον* Schott: *λυσίμαχον* X *καὶ* ante hoc nomen aut del. aut *μοι ὅμως* proponit Rs 13 titulum in margine habet X 15 *τήν ⟨τ'⟩ ἐμ.* Cob 17 *καὶ οὕτως* X 20 *ἡγούμενος ⟨ἐμοί τε δεινὸν⟩ καὶ* Markl coll. § 25 24 an *ἀναδυομένοις*? Hude

μὲν ἀχάριστα εἶναι τὰ εἰς ὑμᾶς ἀνηλωμένα, ἐκείνους δὲ δοκεῖν ὀρθῶς βεβουλεῦσθαι ὅτι ὑμῖν οὐδὲν προεῖνται τῶν σφετέρων αὐτῶν. ἐὰν οὖν ἐμοὶ πεισθῆτε, τά τε δίκαια ψηφιεῖσθε καὶ τὰ λυσιτελοῦντα ὑμῖν αὐτοῖς αἱρή-
13 σεσθε. ὁρᾶτε γάρ, ὦ ἄνδρες δικασταί, τὰ προσιόντα τῇ πόλει ὡς ὀλίγα ἐστί, καὶ ταῦτα ὡς ὑπὸ τῶν ἐφεστηκότων ἁρπάζεται· ὥστ' ἄξιον ταύτην ἡγεῖσθαι πρόσοδον βεβαιοτάτην τῇ πόλει, τὰς οὐσίας τῶν ἐθελόντων λῃτουργεῖν. ἐὰν οὖν εὖ βουλεύσησθε, οὐδὲν ἧττον ἐπιμελήσεσθε τῶν ἡμετέρων χρημάτων ἢ τῶν ἰδίων τῶν ὑμε-
14 τέρων αὐτῶν, εἰδότες ὅτι ἕξετε πᾶσι χρῆσθαι τοῖς ἡμετέροις ὥσπερ καὶ πρότερον· οἶμαι δὲ πάντας ὑμᾶς ἐπίστασθαι ὅτι τῶν ἐμῶν ἐγὼ πολὺ βελτίων ὑμῖν ἔσομαι ταμίας τῶν τὰ τῆς πόλεως ὑμῖν ταμιευόντων. ἐὰν δ' ἐμὲ πένητα ποιήσητε, καὶ ὑμᾶς αὐτοὺς ἀδικήσετε· ἕτεροι δὲ καὶ ταῦτα διανεμοῦνται, ὥσπερ καὶ τἆλλα.
15 Ἄξιον δέ ἐστιν | ἐνθυμηθῆναι ὅτι πολὺ μᾶλλον ὑμῖν προσήκει τῶν ὑμετέρων ἐμοὶ διδόναι ἢ τῶν ἐμῶν ἐμοὶ ἀμφισβητῆσαι, καὶ πένητα γενόμενον ἐλεῆσαι μᾶλλον ἢ πλουτοῦντι φθονῆσαι, καὶ τοῖς θεοῖς εὔχεσθαι τοὺς ἄλλους εἶναι τοιούτους πολίτας, ἵνα τῶν μὲν ὑμετέρων ⟨μὴ⟩ ἐπιθυμήσωσι, τὰ δὲ σφέτερα αὐτῶν εἰς ὑμᾶς ἀνα-
16 λίσκωσιν. ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί (καὶ μηδεὶς ὑμῶν ἀχθεσθῇ), πολὺ ἂν δικαιότερον ὑμᾶς ὑπὸ τῶν ζητητῶν ἀπογραφῆναι τὰ ἐμὰ ἔχειν, ἢ ἐμὲ νυνὶ κινδυνεύειν ὡς τοῦ δημοσίου χρήματα ἔχοντα. τοιοῦτον γὰρ ἐμαυτὸν τῇ πόλει παρέχω, ὥστε ἰδίᾳ μὲν ζῶν φείδομαι, δη-

1 ἐκείνους] ἐκείνοις Tayl 5 προσιόντα Rs: προσόντα X 8 θελόντων X 10 χρημάτων ἰδίων ἢ τῶν Bake 15 ante καὶ ὑμᾶς si κἀμὲ non deest, subaudiendum Rs ἕτεροι γὰρ ταῦτα Rs An. II 85 21 ὑμετέρων Dobr: ἑτέρων X, ἀλλοτρίων post Dobraeum Cob 22 μὴ add. Cont 27 ζῶν scripsi:

μοσίᾳ δὲ λητουργῶν ἥδομαι, καὶ οὐκ ἐπὶ τοῖς περιοῦσι
μέγα φρονῶ, ἀλλ' ἐπὶ τοῖς εἰς ὑμᾶς ἀνηλωμένοις, ἡγού- 17
μενος τούτων μὲν αὐτὸς αἴτιος εἶναι, τὴν δ' οὐσίαν
ἑτέρους μοι καταλιπεῖν, καὶ διὰ ταύτην μὲν ὑπὸ τῶν
ἐχθρῶν ἀδίκως συκοφαντεῖσθαι, δι' ἐκεῖνα δὲ ὑφ' ὑμῶν
δικαίως σῴζεσθαι. ὥστ' οὐκ ἂν εἰκότως ἕτεροί με ἐξαι-
τήσαιντο παρ' ὑμῶν, ἀλλὰ καὶ εἴ τις τῶν ἐμῶν φίλων
τοιοῦτον ἀγῶνα ἠγωνίζετο, ὑμᾶς ἂν ἠξίουν ἐμοὶ δοῦναι
τὴν χάριν, καὶ εἰ παρ' ἄλλοις ἐκινδύνευον, ὑμᾶς εἶναι
τοὺς δεομένους ὑπὲρ ἐμοῦ. ⟨οὐ γὰρ ἂν δήπου⟩ τοῦτό 18
γε εἰπεῖν ἔχοι τις, ὡς πολλὰς ἀρχὰς ἄρξας ἐκ τῶν ὑμε-
τέρων ὠφέλημαι, ἢ ὡς αἰσχρὰς δίκας δεδίκασμαι, ἢ ὡς
αἰσχροῦ τινος αἴτιός εἰμι, ἢ ὡς τὰς τῆς πόλεως συμφο-
ρὰς ἀσμένως εἶδον· ὑπὲρ ἁπάντων δὲ καὶ ⟨τῶν⟩ ἰδίων
καὶ τῶν δημοσίων οὕτως ἡγοῦμαί μοι πεπολιτεῦσθαι καὶ
ὑμᾶς εἰδέναι, ὥστε οὐδὲν δεῖν με ἀπολογήσασθαι περὶ
αὐτῶν. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, τὴν αὐτὴν 19
νῦν περὶ ἐμοῦ γνώμην ἔχειν ἥνπερ καὶ ἐν τῷ τέως
χρόνῳ, καὶ μὴ μόνον τῶν δημοσίων λητουργιῶν μεμνῆ-
σθαι, ἀλλὰ τῶν ἰδίων ἐπιτηδευμάτων ἐνθυμεῖσθαι, ἡγου-

τῶν X, om. C, τῶν ⟨ἐμῶν⟩ Cont, τῶν ⟨ὄντων⟩ Markl, δαπανῶν vel ἀναλίσκων Fuhr, γεωργῶν Zaka 6 σῴζεσθαι] σωθήσεσθαι Markl, ⟨ἂν⟩ σῴζ. Rs, σώζ. ⟨ἂν⟩ Scheibe ἐξαιτήσαιντο Emperius: ἐξῃτήσαντο X 8 τοιούτων X 9 τὴν] ταύτην Kayser, ⟨ταύτην⟩ τὴν West 10 οὐ γὰρ ἂν post Reiskium An. II 85 add. Dobr δήπου add. Gebauer, ἀλλ' οὐδὲ κατ' ἐμοῦ Rs, οὐδὲ τοῦτό γε Cont, τοῦτο δ' οὐκ ἂν C, ἐπεὶ τοῦτό γε οὐκ ἂν Rauch, καίτοι τοῦτό γε οὐκ ἂν Cob 13 αἴτιος ⟨ὑμῖν⟩ Rs 14 ἄσμενος Pluygers τῶν add. Bekker 15 καὶ ὑμᾶς ⟨δ'⟩ Rauch coll. XIX 5 16 δεῖν Rs: δεῖ X 17 δέομαι . . . 18 τέως laudat Suidas s. v. τέως omissis hisce: οὖν, ὦ ἄνδ. δικ., νῦν, ἥνπερ, praeterea habet γνώμην περὶ ἐμοῦ 19 χρόνῳ del. Blass, sed cf. VII 12, XXVII 16, XXVIII 3, XXXIII 1 μόνων X 20 ἀλλὰ ⟨καὶ⟩ τῶν C

Isae. ap. Stob. flor. V 54 [μένους ταύτην εἶναι [τὴν] λητουργίαν ἐπιπονωτά-
την, διὰ τέλους τὸν πάντα χρόνον κόσμιον εἶναι]
καὶ σώφρονα καὶ μήθ' ὑφ' ἡδονῆς ἡττηθῆναι μήθ' ὑπὸ
κέρδους ἐπαρθῆναι, ἀλλὰ τοιοῦτον παρασχεῖν ἑαυτὸν
ὥστε μηδένα τῶν πολιτῶν μήτε μέμψασθαι μήτε δίκην
τολμῆσαι προσκαλέσασθαι.

20 Οὔκουν ἄξιον, ὦ ἄνδρες δικασταί, πειθομένους κατη-
γόροις τοιούτοις ἐμοῦ καταψηφίσασθαι, οἳ περὶ ἀσεβείας
μὲν ἀγωνιζόμενοι τηλικοῦτοι γεγόνασιν, οὐκ ἂν δυνά-
μενοι δ' ὑπὲρ τῶν σφετέρων ἁμαρτημάτων ἀπολογήσα-
σθαι ἑτέρων κατηγορεῖν τολμῶσι. καὶ ὧν Κινησίας οὕτω
διακείμενος πλείους στρατείας ἐστράτευται, οὗτοι περὶ
τῶν τῆς πόλεως ἀγανακτοῦσι. καὶ ἐξ ὧν μὲν ἡ πόλις
εὐδαίμων ἔσται, οὐ συμβάλλονται, πάντα δὲ ποιοῦσιν
21 ὅπως ὑμεῖς τοῖς εὖ πεποιηκόσιν ὀργισθήσεσθε. οὗτοι
μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐν τῷ δήμῳ κατείποιεν ὑμῖν
τὰ σφέτερ' αὐτῶν ἐπιτηδεύματα· οὐ γὰρ ἂν ἔχοιμι ὅ τι
τούτου μεῖζον αὐτοῖς εὐξαίμην κακόν· ἐγὼ δ' ὑμῶν δέο-
μαι καὶ ἱκετεύω καὶ ἀντιβολῶ μὴ καταγνῶναι δωροδο-
κίαν ἐμοῦ, μηδ' ἡγήσασθαι τοσαῦτα χρήματα εἶναι, ⟨δι'⟩
22 ἃ ἐγὼ βουληθείην ἄν τι κακὸν τῇ πόλει γενέσθαι. μαι-
νοίμην γὰρ ⟨ἄν⟩, ὦ ἄνδρες δικασταί, εἰ τὴν μὲν πα-
τρῴαν οὐσίαν φιλοτιμούμενος εἰς ὑμᾶς ἀναλίσκοιμι, ἐπὶ

---

1 τὴν del. Dobr. 2 τὸν πάντα χρόνον del. Cob, sed cf. Plat. Tim. 38c, τὸν ἅπαντα χρ. Fuhr, sed cf. Isae. VII 8. 38 3 ὑφ' om. C, sed cf. Sauppe ep. cr. 15 5 μήτ' ⟨ἐς⟩ δίκην Rs 6 προκαλέσασθαι X 8 ἀσεβείας μὲν] ἀστρατείας μὲν ἀεὶ Blass 9 post ἀγωνιζόμενοι lacunam indicat Herw 11 Κινησίας cf. Harp. s. v., Lys. fr. 53 ⟨καὶ⟩ οὕτω Francken, ⟨ὁ⟩ οὕτω Naber 16 δήμῳ] aut δεινῷ scribendum aut ὑμῖν delendum putat Emperius 20 δι' add. Rs An. II 85, ὧν Scal, ἃ ἐγὼ ⟨λαβὼν⟩ Cont, (vel δεξάμενος Rs) 22 ἂν add. Bekker 23 ἀναλίσκω Hertlein, sed cf. Gebauer, arg. 203

*δὲ τῷ τῆς πόλεως κακῷ παρὰ τῶν ἄλλων δωροδοκοίην.
ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὐκ οἶδ' οὔστινας ἢ
ὑμᾶς ἐβουλήθην περὶ ἐμοῦ δικαστὰς γενέσθαι, εἴπερ χρὴ
τοὺς εὖ πεπονθότας περὶ τῶν εὖ πεποιηκότων εὔχεσθαι
τὴν ψῆφον φέρειν. καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, (ἐπι-* 23
*θυμῶ γὰρ καὶ τούτων μνησθῆναι) οὐδεπώποτε λητουρ-
γεῖν ὑπὲρ ὑμῶν δέον ⟨ἠγανάκτησα⟩, εἰ τοσούτῳ πενε-
στέρους τοὺς παῖδας καταλείψω, ἀλλὰ πολὺ μᾶλλον εἰ
μὴ προθύμως ποιήσω τὰ προσταχθέντα· οὐδ' εἴ ποτε* 24
*κινδυνεύσειν ἐν ταῖς ναυμαχίαις μέλλοιμι, οὐδεπώποτ'
ἠλέησα οὐδ' ἐδάκρυσα οὐδ' ἐμνήσθην γυναικὸς οὐδὲ
παίδων τῶν ἐμαυτοῦ, οὐδ' ἡγούμην δεινὸν εἶναι εἰ τε-
λευτήσας ὑπὲρ τῆς πατρίδος τὸν βίον ὀρφανοὺς καὶ πα-
τρὸς ἀπεστερημένους αὐτοὺς καταλείψω, ἀλλὰ πολὺ |
μᾶλλον εἰ σωθεὶς αἰσχρῶς ὀνείδη καὶ ἐμαυτῷ καὶ ἐκεί-
νοις περιάψω. ἀνθ' ὧν ὑμᾶς ἀπαιτῶ νῦν τὴν χάριν,* 25
*καὶ ἀξιῶ, ἐν τοῖς κινδύνοις ἐμοῦ τοιαύτην περὶ ὑμῶν
γνώμην ἔχοντος, ὑμᾶς νυνὶ ἐν τῷ θαρραλέῳ ὄντας ἐμὲ
καὶ τοὺς παῖδας τούτους περὶ πολλοῦ ποιήσασθαι, ἡγου-
μένους ἡμῖν μὲν δεινὸν ὑμῖν δὲ αἰσχρὸν εἶναι, εἰ ἀναγ-
κασθησόμεθα ἐπὶ τοιαύταις αἰτίαις ἄτιμοι γενέσθαι, ἢ
στερηθέντες τῶν ὑπαρχόντων πένητες εἶναι καὶ πολλῶν
ἐνδεεῖς ὄντες περιιέναι, ἀνάξια μὲν ἡμῶν αὐτῶν πεπον-*

---

2 post *οὔστινας* add. *ἄλλους* Cont, *ἂν* Rs; *ἂν* add. post *οὐκ* Kayser, post *οἶδ'* Hertlein 7 *ἠγανάκτησα* addidi cf. IV 19. XXVI 1, *ἐμνήσθην* C, *ἐλογισάμην* Cont, *ἐνεθυμήθην* Rs, *ἐνενόουν* Scheibe, *δεινὸν ἡγούμην* Rauch, *ἐφρόντισα* Cob *τοσοῦτ* (sic) X 9 *οὐδ' εἴ ποτε* C: *οὐδέποτε* X 11 *ἠλέησα*] *ἤλγησα* pp. Herw 17 *ἐν τοῖς ⟨ὑμετέροις⟩ κινδύνοις* Rs 19 *περὶ πολλοῦ ποιήσασθαι*] *περιποιῆσαι* Pluygers, *π. π. π. ⟨σῶσαι⟩* Kayser 21 *ἢ*] *καὶ* Hoelscher 22 *πένητες εἶναι* del. Pluygers *πολλῶν*] *πάντων* Pluygers 23 *ἀνάξια μὲν* C, Steph: *ἄξια μὲν* X *ἡμῶν* est in X

θότες, ἀνάξια δὲ τῶν εἰς ὑμᾶς ὑπηργμένων. μηδαμῶς, ὦ ἄνδρες δικασταί· ἀλλ' ἀποψηφισάμενοι τοιούτοις ἡμῖν χρῆσθε πολίταις οἵοισπερ ἐν τῷ πρόσθεν χρόνῳ.

22.

ΚΑΤΑ ΤΩΝ ΣΙΤΟΠΩΛΩΝ.

1 *Πολλοί μοι προσεληλύθασιν, ὦ ἄνδρες δικασταί, θαυμάζοντες ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ κατηγόρουν, καὶ λέγοντες ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν ἡγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων λόγους ποιουμένους συκοφαντεῖν νομίζετε. ὅθεν οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι.*

2 *Ἐπειδὴ γὰρ οἱ πρυτάνεις ἀπέδοσαν εἰς τὴν βουλὴν περὶ αὐτῶν, οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγόν τινες τῶν ῥητόρων ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι θανάτῳ ζημιῶσαι. ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα ἐθίζεσθαι ποιεῖν τὴν βουλήν, ἀναστὰς εἶπον ὅτι μοι δοκοίη κρίνειν τοὺς σιτοπώλας κατὰ τὸν νόμον, νομίζων, εἰ μέν εἰσιν ἄξια θανάτου εἰργασμένοι, ὑμᾶς οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τὰ δίκαια, εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς ἀκρίτους ἀπολωλέναι.*
3 *πεισθείσης δὲ τῆς βουλῆς ταῦτα, διαβάλλειν ἐπεχείρουν με λέγοντες ὡς ἐγὼ σωτηρίας ἕνεκα τῆς τῶν σιτοπωλῶν*

---

4 Or. XXII. titulum eundem habent Bekker An. I 77, 15, Suidas *ἄξιον*. 7 *ὅτι*] *ὅτε* Sauppe 8 *καί* del. de Wilamowitz *εἰ* ⟨*καὶ*⟩ *ὡς* Cont, sed cf. § 10 9 *καί* del. Francken *λόγους ποιουμένους* Frb: *ποιουμένους λόγους* X, *ποι.* ⟨*τοὺς*⟩ *λόγους* Hirschig, sed cf. § 13 12 *ἀπέδοσαν*] *ἐπέδοσαν* Vind, Rs, sed cf. Isocr. XVIII 6 13 *αὐτοῖς* et 14 *αὐτοὺς* del. Herw 14 *ὡς ἀκρίτως* X 15 ⟨*καὶ*⟩ *θανάτῳ* Cont. Xen. Hell. I 7, 10, sed cf. Din. II 20, Arist. resp. Ath. 29, 4 *θανάτῳ ζημιῶσαι* del. Rs. An. II 85 19 *ἡμῶν* i. e. *τῆς βουλῆς* *γνώσεσθε* X 20 *ἀκρίτους* del. Roehl, *ἀδίκως* Fuhr, sed illud ipsum iis imminebat 22 *σωτηρίας οὕνεκα* X

τοὺς λόγους τούτους ἐποιούμην. πρὸς μὲν οὖν τὴν βου-
λήν, ὅτ' ἦν αὐτοῖς ἡ κρίσις, ἔργῳ ἀπελογησάμην· τῶν
γὰρ ἄλλων ἡσυχίαν ἀγόντων ἀναστὰς αὐτῶν κατηγό-
ρουν, καὶ πᾶσι φανερὸν ἐποίησα ὅτι οὐχ ὑπὲρ τούτων
ἔλεγον, ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν. ἠρξά- **4**
μην μὲν οὖν τούτων ἕνεκα, δεδιὼς τὰς αἰτίας· αἰσχρὸν
δ' ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς περὶ
αὐτῶν ὅ τι ἂν βούλησθε ψηφίσησθε.

Καὶ πρῶτον μὲν ἀνάβητε. εἰπὲ σὺ ἐμοί, μέτοικος εἶ; **5**
Ναί. Μετοικεῖς δὲ πότερον ὡς πεισόμενος τοῖς νόμοις
τοῖς τῆς πόλεως, ἢ ὡς ποιήσων ὅ τι ἂν βούλῃ; Ὡς πει-
σόμενος. Ἄλλο τι οὖν ἢ ἀξιοῖς ἀποθανεῖν, εἴ τι πεποίη-
κας παρὰ τοὺς νόμους, ἐφ' οἷς θάνατος ἡ ζημία; Ἔγωγε.
Ἀπόκριναι δή μοι, εἰ ὁμολογεῖς πλείω σῖτον συμπρία-
σθαι πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύει.
Ἐγὼ τῶν ἀρχόντων κελευόντων συνεπριάμην.

Ἐὰν μὲν τοίνυν ἀποδείξῃ, ὦ ἄνδρες δικασταί, ὡς **6**
ἔστι νόμος ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὸν
σῖτον, ἐὰν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε· εἰ δὲ
μή, δίκαιον ὑμᾶς καταψηφίσασθαι. ἡμεῖς γὰρ ὑμῖν παρε-
σχόμεθα τὸν νόμον, ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ
πόλει ⟨πλείω⟩ σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι.

---

1 βουλὴν] διαβολὴν Halb, sed senatus et iudicium inter se opponuntur 7 δὲ, quod est in X pone δεδιώς, post αἰσχρὸν transposuit Dobr qui δεδιὼς τὰς αἰτίας delere malit, οὐ δεδιὼς δὲ τὰς Cob 9 ἀνάβητε. εἰπὲ Frb: ἀνάβηθι εἰπὲ X, πρ. μοι ἀνάβηθι Markl, ἀνάβηθι [εἰπὲ] σύ μοι Halb εἶ; ναί] εἶναι X corr. a manu secunda 12 ἢ ἀξιοῖς Rs An. II 86: ἀξιοῖς ἢ X, ἢ del. Sauppe, quod loquendi genus ab oratoribus alienum videtur 15 πεντήκοντα φορμῶν del. Kaibel, φορμός in mg. a. man. rec. habet X[k] ὧν] ὅσων vel ὅσον Scheibe, ὧν . . . κελεύει del. Naber 22 πλείω add. post Stephanum Markl, ceterum X[st] praebet πόλει, ῦιτον (sic), litera σ ex ν correcta, scriba volebat fort. πόλει πλεῖν σῖτον, μηδένα τῶν σιτώνῶν πλείω σ. Rs An. II 86

7 *Χρῆν μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἱκανὴν εἶναι
ταύτην τὴν κατηγορίαν, ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ συμ-
πρίασθαι, ὁ δὲ νόμος ἀπαγορεύων φαίνεται, ὑμεῖς δὲ
κατὰ τοὺς νόμους ὀμωμόκατε ψηφιεῖσθαι· ὅμως δ' ἵνα
πεισθῆτε ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται, ἀνάγκη*
8 *διὰ μακροτέρων εἰπεῖν περὶ αὐτῶν. ἐπειδὴ γὰρ οὗτοι
τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον, παρακαλέσαντες τοὺς
ἄρχοντας ἠρωτῶμεν. καὶ οἱ μὲν νῦν οὐδὲν ἔφασαν εἰδέ-
ναι τοῦ πράγματος, Ἄνυτος δ' ἔλεγεν ὡς τοῦ προτέρου
χειμῶνος, ἐπειδὴ τίμιος ἦν ὁ σῖτος, | τούτων ὑπερβαλ-
λόντων ἀλλήλους καὶ πρὸς σφᾶς αὐτοὺς μαχομένων συμ-
βουλεύσειεν αὐτοῖς παύσασθαι φιλονικοῦσιν, ἡγούμενος
συμφέρειν ὑμῖν τοῖς παρὰ τούτων ὠνουμένοις ὡς ἀξιώ-
τατον τούτους πρίασθαι· δεῖν γὰρ αὐτοὺς ὀβολῷ μόνον*
9 *πωλεῖν τιμιώτερον. ὡς τοίνυν οὐ συμπριαμένους κατα-
θέσθαι ἐκέλευεν αὐτούς, ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖσθαι
συνεβούλευεν, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι.*

ΜΑΡΤΥΡΙΑ.

Καὶ [ὡς] οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους εἶπε τοὺς λόγους, οὗτοι δὲ τῆτες συνωνούμενοι φαίνονται.

---

1 *χρῆν* Rs: *χρὴ* X 2 *τὴν* del. Dobr 6 *διὰ μακροτέρων* P. Müller: *καὶ μακρότερον* X, cf. Isocr. XIV 3, Dem. L 2, *καὶ μακρότερα* Cob 8 *ἠρωτῶμεν* ex *ἠρώτων μὲν* a pr. m. X *νῦν* scripsi: *δύο* X, *τέσσαρες* Bergk, sed § 9 docet Anytum anno priore in numero *τῶν σιτοφυλάκων* fuisse 9 ⟨*περὶ*⟩ *τοῦ πράγματος* Frb 12 *φιλονεικοῦσιν* X 14 ⟨*κἂν*⟩ *ὀβολῷ* Graux, *γὰρ κἂν ὀβολῷ* Wdn, *δεῖν . . . τιμιώτερον* del. Kocks, sed cf. § 12 *ὥσπερ . . . συνωνούμενοι* 15 *ἀποθέσθαι* pp. Herw 18 *ΜΑΡΤΥΡΙΑ* huc rursus transposui, ubi in X spatium est octo fere litterarum; vulgo post *φαίνονται* lemma infertur 19 *ὡς* del. Pluygers 20 *δὲ τῆτες* Emperius: *δ' ἐπίτηδες* X, *δ' ἔτι τῆτες* (sic) Rs, *δ' ἐπὶ τῆσδε* Bekker, *ἐπὶ τῆς τῆτες* Frb

Ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες 10 συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε· ἡγοῦμαι δ', ἐὰν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ αὑτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν· περὶ γὰρ ὧν εἰσι νόμοι διαρρήδην γεγραμμένοι, πῶς οὐ χρὴ διδόναι δίκην καὶ τοὺς μὴ πειθομένους καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν;

Ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οἴομαι αὐτοὺς ἐπὶ μὲν 11 τούτῳ τῷ λόγῳ οὐκ ἐλεήσεσθαι· ἴσως δ' ἐροῦσιν, ὥσπερ καὶ ἐν τῇ βουλῇ ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ὑμῖν πωλοῖεν. μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον τεκμήριον ὅτι ψεύδονται· ἐχρῆν γὰρ αὐτούς, εἴπερ ὑμῶν ἕνεκα ἔπραττον ταῦτα, 12 φαίνεσθαι τῆς αὐτῆς τιμῆς πολλὰς ἡμέρας πωλοῦντας, ἕως ὁ συνεωνημένος αὐτοὺς ἐπέλιπε· νῦν δ' ἐνίοτε τῆς αὐτῆς ἡμέρας ἐπώλουν δραχμῇ τιμιώτερον, ὥσπερ κατὰ μέδιμνον συνωνούμενοι. καὶ τούτων ὑμᾶς μάρτυρας παρέχομαι. δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ ὅταν μὲν εἰσφο- 13 ρὰν εἰσενεγκεῖν δέῃ, ἣν πάντες εἴσεσθαι μέλλουσιν, οὐκ ἐθέλουσιν, ἀλλὰ πενίαν προφασίζονται, ἐφ' οἷς δὲ θάνατός ἐστιν ἡ ζημία καὶ λαθεῖν αὐτοῖς συνέφερε, ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. καίτοι πάντες ἐπίστασθε ὅτι τούτοις ἥκιστα προσήκει τοιούτους ποιεῖσθαι λόγους. τἀναντία γὰρ αὐτοῖς καὶ τοῖς ἄλλοις

4 ἀπολογήσασθαι X 8 ἀλλὰ γὰρ Ald: ἀλλὰ μὲν γὰρ X 9 τούτῳ τῷ λόγῳ . . ἐλεήσεσθαι Wdn: τοῦτον τὸν λόγον . . ἐλεύσεσθαι X, . . τρέψεσθαι Cob, πορεύσεσθαι Frb, καταφεύξεσθαι Rauch ἐροῦσιν et 10 ὡς . . . 11 πωλοῖεν laudat Suidas s. ἄξιον, qui praebet ὠνοῦνται et πωλῶσι 11 ὑμῖν C: ἡμῖν X Suid, cf. § 12 ὑμῶν ἕνεκα 13 οὕνεκα X 15 ⟨σῖτος⟩ αὐτοὺς Herw νῦν Hofmeister: νυνὶ X 17 ὠνούμενοι Dobr ὑμᾶς est in X, ὑμῖν μαρτ. παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Markl 21 ἐστιν et αὐτοῖς del. Francken 23 ἐπίστασθε ex ἐπίστασθαι a pr. m. X ⟨πάντων⟩ ἥκιστα Rs

συμφέρει· τότε γὰρ πλεῖστα κερδαίνουσιν, ὅταν κακοῦ
τινος ἀπαγγελθέντος τῇ πόλει τίμιον τὸν σῖτον πωλῶ-
14 *σιν. οὕτω δ' ἄσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας ὁρῶ-*
σιν, ὥστε τὰς μὲν πρότεροι τῶν ἄλλων πυνθάνονται,
τὰς δ' αὐτοὶ λογοποιοῦσιν, ἢ τὰς ναῦς διεφθάρθαι τὰς
ἐν τῷ Πόντῳ, ἢ ὑπὸ Λακεδαιμονίων ἐκπλεούσας συνει-
λῆφθαι, ἢ τὰ ἐμπόρια κεκλῇσθαι, ἢ τὰς σπονδὰς μέλλειν
15 *ἀπορρηθήσεσθαι, καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν, ὥστ'*
ἐν [τούτοις] τοῖς καιροῖς ἐπιβουλεύουσιν ὑμῖν, ὥσπερ
οἱ πολέμιοι. ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμε-
νοι, ἀναρπάζουσιν οὗτοι καὶ οὐκ ἐθέλουσι πωλεῖν, ἵνα
μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ' ἀγαπῶμεν ἐὰν
ὁποσουτινοσοῦν πριάμενοι παρ' αὐτῶν ἀπέλθωμεν. ὥστ'
16 *ἐνίοτε εἰρήνης οὔσης ὑπὸ τούτων πολιορκούμεθα. οὕτω*
δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ κακονοίας ἡ
πόλις ἔγνωκεν, ὥστ' ἐπὶ μὲν τοῖς ἄλλοις ὠνίοις ἅπασι
τοὺς ἀγορανόμους φύλακας κατεστήσατε, ἐπὶ δὲ ταύτῃ
μόνῃ τῇ τέχνῃ χωρὶς σιτοφύλακας ἀποκληροῦτε· καὶ
πολλάκις ἤδη παρ' ἐκείνων πολιτῶν ὄντων δίκην τὴν
μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ' ἦσαν τῆς τούτων πο-
νηρίας ἐπικρατῆσαι. καίτοι τί χρὴ αὐτοὺς τοὺς ἀδικοῦν-
τας ὑφ' ὑμῶν πάσχειν, ὁπότε καὶ τοὺς οὐ δυναμένους
φυλάττειν ἀπεκτείνετε;

17 *Ἐνθυμεῖσθαι δὲ χρὴ ὅτι ἀδύνατον ὑμῖν ἐστιν ἀπο-*

---

2 *τίμιον* del. Scheibe 4 *πυνθάνονται* a pr. m. ex *πυνθάνωνται* X 5 *αὐτοὶ* Markl: *οὗτοι* X 7 *κεκλεῖσθαι* X 8 *ἀναρρηθήσεσθαι* Rs 9 *τούτοις* delevi, cf. Demosth. XXVI 17 sq., prooem. 35. 3, ep. II 12, *ἐν τοῖς αὐτοῖς κ.* Cob, *ἐν τοιούτοις κ.* Kayser *ὑμῖν* C, Bekker, cf. *τυγχάνητε*, quod sequitur: *ἡμῖν* X *ὥσπερ* Bake: *ἐν οἷσπερ* X, *ἐν οἷσπερ* ⟨*οὐδ'*⟩ Rs, *ἐν οἷσπερ οἱ πολέμιοι* ** sc. a nobis abstinent Roehl, *ἐν οἷς περιγίγνονται οἱ π.* Wdn 11 *συναρπάζουσι* Cob 18 *ἀπεκληροῦτε* Markl 23 *ἀπεκτείνετε* scripsi: *ἀποκτείνετε* X, quo servato debebat esse *τοὺς μὴ δυν.* 24 *ὑμῖν ἐστιν* est in X

*ψηφίσασθαι. εἰ γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν
ἐπὶ τοὺς ἐμπόρους συνίστασθαι, δόξεθ' ὑμεῖς ἐπιβου-
λεύειν τοῖς εἰσπλέουσιν. εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπο-
λογίαν ἐποιοῦντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμένοις
ἐπιτιμᾶν· ἐφ' ὑμῖν γὰρ ὁποτέροις βούλεσθε πιστεύειν·
νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε ποιεῖν, εἰ τοὺς ὁμολο-
γοῦντας παρανομεῖν ἀζημίους ἀφήσετε; ἀναμνήσθητε δέ,* 18
*ὦ ἄνδρες δικασταί, ὅτι πολλῶν ἤδη ἐχόντων ταύτην τὴν
αἰτίαν, ἀμφισβητούντων καὶ μάρτυρας παρεχομένων,* |
*θάνατον κατέγνωτε, πιστοτέρους ἡγησάμενοι τοὺς τῶν
κατηγόρων λόγους. καίτοι πῶς ἂν οὐ θαυμαστὸν εἴη,
εἰ περὶ τῶν αὐτῶν ἁμαρτημάτων δικάζοντες μᾶλλον ἐπι-
θυμεῖτε παρὰ τῶν ἀρνουμένων δίκην λαμβάνειν; Καὶ* 19
*μὲν δή, ὦ ἄνδρες δικασταί, πᾶσιν ἡγοῦμαι φανερὸν εἶ-
ναι ὅτι οἱ περὶ τῶν τοιούτων ἀγῶνες κοινότατοι τυγχά-
νουσιν ὄντες τοῖς ἐν τῇ πόλει, ὥστε πεύσονται ἥντινα
γνώμην περὶ αὐτῶν ἔχετε, ἡγούμενοι, ἐὰν μὲν θάνατον
τούτων καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιπούς·
ἐὰν δ' ἀζημίους ἀφῆτε, πολλὴν ἄδειαν αὐτοῖς ἐψηφισμέ-
νοι ἔσεσθε ποιεῖν ὅ τι ἂν βούλωνται. χρὴ δέ, ὦ ἄνδρες* 20

---

4 *τοῖς* post *εἶχε* abesse malim 5 *γάρ* ⟨*ἐστιν*⟩ Brulart *ἐβούλεσθε* Frb, idem et ante *γὰρ* ⟨*ἦν*⟩ pp. Herw *πιστεύειν* ⟨*ἐστὶ*⟩ Scheibe 6 *δεινὰ δόξετε* Cob 9 *ἀμφισβητούντων* scripsi secundum Frohbergerum, qui *ἀλλ' ἀμφ.*: *λαμβάνειν* X, del. Markl, *πειρωμένων λανθάνειν* Rs, *λανθ. δὲ πειρ.* Kayser, *καὶ ἀρνουμένων* Dobr, *ἀλλ' ἀρν.* Sauppe, *ἀρν. δὲ* Fuhr, qui suspicatur in voce corrupta latere *ἁμαρτάνειν*: ⟨*ἀλλ' οὐ βουλομένων*⟩ *λαμβάνειν* P. Müller, ⟨*ἀλλὰ τοῦ μὴ δίκην ὑμᾶς παρ' αὐτῶν*⟩ *λαμβάνειν* West 12 *ἐπιθυμοῖτε* vel *ἐπιθυμήσετε* Dobr, sed cf. Gebauer arg. 50, Ant. II *α* 10. III *γ* 9, *ἐπεθυμεῖτε* Rs 13 *λαμβάνειν* ⟨*ἢ παρὰ τῶν ὁμολογούντων*⟩ Cont 15 *κοινοὶ* Dobr 16 *ὥστε* ⟨*πάντες*⟩ Cob post Kayserum, qui prop. *ὄντες πάσῃ τῇ πόλει, ὥστε πεύσονται πάντες* 17 ante *ἡγούμενοι* lacunam statuit Dobr, quam Cob sic explet: *νῦν τοίνυν ὦ ἄ. δ. καταψηφισάμενοι τῶν ἐσχάτων τιμήσατε* 18 *τούτων* Kayser: *αὐτῶν* X 20 *ἔσεσθαι* Dobr, idem deleta voce *ἐψηφισμένοι* Bake,

δικασταί, μὴ μόνον τῶν παρεληλυθότων ἕνεκα αὐτοὺς κολάζειν, ἀλλὰ καὶ παραδείγματος ἕνεκα τῶν μελλόντων ἔσεσθαι· οὕτω γὰρ ἔσονται μόγις ἀνεκτοί. ἐνθυμεῖσθε δὲ ὅτι ἐκ ταύτης τῆς τέχνης πλεῖστοι περὶ τοῦ σώματός εἰσιν ἠγωνισμένοι· καὶ οὕτω μεγάλα ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον αἱροῦνται καθ' ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν ἢ παύεσθαι παρ' ὑμῶν ἀδίκως 21 *κερδαίνοντες. καὶ μὲν δὴ οὐδ' ἐὰν ἀντιβολῶσιν ὑμᾶς καὶ ἱκετεύωσι, δικαίως ἂν αὐτοὺς ἐλεήσαιτε, ἀλλὰ πολὺ μᾶλλον τῶν τε πολιτῶν οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνῃσκον, καὶ τοὺς ἐμπόρους ἐφ' οὓς οὗτοι συνέστησαν· οἷς ὑμεῖς χαριεῖσθε καὶ προθυμοτέρους ποιήσετε, δίκην παρὰ τούτων λαμβάνοντες. εἰ δὲ μή, τίν' αὐτοὺς οἴεσθε γνώμην ἕξειν, ἐπειδὰν πύθωνται ὅτι τῶν καπήλων, οἳ τοῖς εἰσπλέουσιν ὡμολόγησαν ἐπιβουλεύειν, ἀπεψηφίσασθε;*

22 *Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· περὶ μὲν γὰρ τῶν ἄλλων τῶν ἀδικούντων, ὅτου δικάζονται, δεῖ παρὰ τῶν κατηγόρων πυθέσθαι, τὴν δὲ τούτων πονηρίαν ἅπαντες ἐπίστασθε. ἐὰν οὖν τούτων καταψηφίσησθε, τά τε δίκαια ποιήσετε καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε· εἰ δὲ μή, τιμιώτερον.*

---

sed cf. XII 38 2 παραδείγματος del. Dobr, παρ. ἕνεκα del. Graux, sed cf. Isocr. I 34 3 ⟨καὶ⟩ οὕτω Hirschig, ⟨καίτοι⟩ οὕτω Herw, οὗτοι Tayl μόγις] μόνως P. Müller coll. Aesch. I 34, sed est: vix enim erunt vel hoc pacto tolerabiles Rs 6 αἱροῦνται C, Taylor: αἰτοῦνται X 7 παύεσθαι Scheibe: παύσεσθαι X, παύσασθαι vulg. 9 δικαίως αὐτοὺς ἐλεήσετε Cob 11 ἐφ' οὓς Tayl: ἐφ' οἷς X 13 παρὰ τούτων Tayl: παρ' αὐτῶν X τίνα αὐτοὺς C: τὴν αὐτὴν X 15 εἰσπλέουσιν Rs: ἐκπλέουσιν X 18 ὅτου Sauppe: ὅτε X 20 ⟨ἐκ πολλοῦ⟩ ἐπίστασθε Roehl ἐὰν οὖν . . . 22 τιμιώτερον laudat Suidas s. ἄξιον, hisce mutatis: ἐὰν οὖν αὐτῶν 21 εἰ . . τιμιώτερον del. Pluygers

23.

ΚΑΤΑ ΠΑΓΚΛΕΩΝΟΣ ΟΤΙ ΟΥΚ ΗΝ ΠΛΑΤΑΙΕΥΣ.

Πολλὰ μὲν λέγειν, ὦ ἄνδρες δικασταί, περὶ τουτουὶ 1
τοῦ πράγματος οὔτ' ἂν δυναίμην οὔτε μοι δοκεῖ δεῖν· ὡς δὲ ὀρθῶς τὴν δίκην ἔλαχον τουτῳὶ Παγκλέωνι οὐκ ὄντι Πλαταιεῖ, τοῦτο ὑμῖν πειράσομαι ἀποδεῖξαι.

Ὡς γὰρ ἀδικῶν με πολὺν χρόνον οὐκ ἐπαύετο, ἐλθὼν 2
ἐπὶ τὸ γναφεῖον, ἐν ᾧ ἠργάζετο, προσεκαλεσάμην αὐτὸν πρὸς τὸν πολέμαρχον, νομίζων μέτοικον εἶναι. εἰπόντος δὲ τούτου ὅτι Πλαταιεὺς εἴη, ἠρόμην ὁπόθεν δημοτεύοιτο, παραινέσαντός τινος τῶν παρόντων προσκαλέσασθαι καὶ πρὸς τὴν φυλήν, ἧστινος εἶναι σκήπτοιτο. ἐπειδὴ δὲ ἀπεκρίνατο ὅτι Δεκελειόθεν, προσκαλεσάμενος αὐτὸν καὶ πρὸς τοὺς τῇ Ἱπποθωντίδι δικάζοντας, ἐλθὼν 3
ἐπὶ τὸ κουρεῖον τὸ παρὰ τοὺς Ἑρμᾶς, οἷ Δεκελειεῖς προσφοιτῶσιν, ἠρώτων, οὕς τε ἐξευρίσκοιμι Δεκελειέων ἐπυνθανόμην εἴ τινα γιγνώσκοιεν Δεκελειόθεν δημοτευόμενον Παγκλέωνα. ἐπειδὴ δὲ οὐδεὶς ἔφασκεν γιγνώσκειν αὐτόν, πυθόμενος ὅτι καὶ ἑτέρας δίκας τὰς μὲν

---

2 Or. XXIII. titulum mutavit Hoelscher *κατὰ τῆς Παγκλέωνος παραγραφῆς*, recte Schoemann: *πρὸς τὴν Παγκλέωνος ἀντιγραφὴν* (Att. Proz.[2] 853) **6** *τουτῳὶ* Scheibe: *τούτω* X **11** *ὁπόθεν* Markl: *ὁπότε* X **14** *ἐπειδὴ . . . Δεκελειόθεν* transponit pone **11** *δημοτεύοιτο* Kayser particulam *δὲ* pone **12** *παραινέσαντος* transp. Markl *προσκαλούμενος* Francken post Bakium, qui *προσκαλεσόμενος* **15** *καὶ* (pone *αὐτὸν*) transponit ante *ἐλθὼν* Tayl, *καὶ* utrumque (hic et v. 13) del. Rs. An. II 87 *ἱπποθοωντίδι* X *δικάζοντας* cf. Ar. resp. Ath. 53 **16** *Ἑρμᾶς, οἷ* Wdn: *ἑρμασινᾶ . οἷ* X, *Ἑρμᾶς ἵνα οἱ* vulg. *Ἑρμᾶς* cf. Harp. Xen. hipparch. 3, 2 *δεκελεῖς* X cf. Meisterhans gramm.[2] 33, 35 **17** *ἠρώτων* del. et *οὕς γε* Halb, *οὕς τε* del. et *παρ' ὧν* (pro *ἠρώτων*) Francken, *οὕς τε* ⟨*ἀλλαχοῦ*⟩ Rs *δεκελέων* X **18** *ἐπυνθανόμην* del. Tayl

*φεύγοι τὰς δ' ὠφλήκοι παρὰ τῷ πολεμάρχῳ, ἔλαχον
καὶ ἐγώ.*

4 *Πρῶτον μὲν οὖν ὑμῖν Δεκελειέων οὓς ἠρόμην μάρ-
τυρας παρέξομαι, ἔπειτα δὲ καὶ τῶν ἄλλων τῶν λαχόν-
των τε δίκας αὐτῷ πρὸς τὸν πολέμαρχον καὶ καταδικα-
σαμένων, ὅσοι τυγχάνουσι παρόντες. Καί μοι ἐπίλαβε
τὸ ὕδωρ.*

ΜΑΡΤΥΡΕΣ.

5 *Ἐκ μὲν τούτων πεισθεὶς πρὸς τὸν πολέμαρχον αὐτῷ
τὴν δίκην ἔλαχον· ἐπειδὴ δέ μοι αὐτὴν ἀντεγράψατο μὴ
εἰσαγώγιμον εἶναι, περὶ | πολλοῦ ποιούμενος μηδενὶ
δόξαι ὑβρίζειν βούλεσθαι μᾶλλον ἢ δίκην λαβεῖν ὧν
ἠδικήθην, πρῶτον μὲν Εὐθύκριτον, ὃν πρεσβύτατόν τε
Πλαταιέων ἐγίγνωσκον καὶ μάλιστα ᾤόμην εἰδέναι, ἠρό-
μην εἴ τινα γιγνώσκοι Ἱππαρμοδώρου ὑὸν Παγκλέωνα*
6 *Πλαταιέα· ἔπειτα δέ, ἐπειδὴ ἐκεῖνος ἀπεκρίνατό μοι ὅτι
τὸν Ἱππαρμόδωρον μὲν γιγνώσκοι, ὑὸν δὲ ἐκείνῳ οὐ-
δένα οὔτε Παγκλέωνα οὔτε ἄλλον οὐδένα εἰδείη ὄντα,
ἠρώτων δὴ καὶ τῶν ἄλλων ὅσους ᾔδειν Πλαταιέας ὄν-
τας. πάντες οὖν ἀγνοοῦντες τὸ ὄνομα αὐτοῦ, ἀκριβέ-
στατα ἂν ἔφασάν με πυθέσθαι ἐλθόντα εἰς τὸν χλωρὸν
τυρὸν τῇ ἕνῃ καὶ νέᾳ· ταύτῃ γὰρ τῇ ἡμέρᾳ τοῦ μηνὸς*
7 *ἑκάστου ἐκεῖσε συλλέγεσθαι τοὺς Πλαταιέας. ἐλθὼν οὖν
εἰς τὸν τυρὸν ταύτῃ τῇ ἡμέρᾳ ἐπυνθανόμην αὐτῶν, εἴ
τινα γιγνώσκοιεν Παγκλέωνα πολίτην σφέτερον. καὶ οἱ*

---

1 *φεύγοι* Rs: *φύγοι* X *πρὸς τὸν πολέμαρχον* Halb
3 *δεκελέων* X 4 *δὲ* del. F. Müller, sed cf. § 6 et XVI 20
8 lemma in marg. X 13 *τε*] *ὄντα* Pluygers, *Πλ. ὄντα* Kayser
14 *Πλαταιέων* cf. Meisterhans² 111 *μάλιστ'* ⟨*ἂν*⟩ Richards
16 *δὲ* post *ἔπειτα* del. F. Müller cf. § 4 17 *ἱππαρμόδωρον
μὲν* ex *ἱππαρμοδώρου υἱὸν* a pr. m. X 22 *τυρὸν* cf. Poll.
IX 47 *ἕνῃ* (*ἕνη* X) cf. Meisterhans² 66 23 *τοὺς* ante *Πλ.*
suspectum

*μὲν ἄλλοι οὐκ ἔφασαν γιγνώσκειν, εἷς δέ τις εἶπεν ὅτι
τῶν μὲν πολιτῶν οὐδενὶ εἰδείη τοῦτο ὂν τὸ ὄνομα, δοῦ-
λον μέντοι ἔφη ἑαυτοῦ ἀφεστῶτα εἶναι Παγκλέωνα, τήν
τε ἡλικίαν λέγων τὴν τούτου καὶ τὴν τέχνην ᾗ οὗτος
χρῆται. Ταῦτ' οὖν ὡς ἀληθῆ ἐστι, τόν τε Εὐθύκριτον,* 8
*ὃν πρῶτον ἠρόμην, καὶ τῶν ἄλλων Πλαταιέων ὅσοις
προσῆλθον, καὶ τὸν ὃς ἔφη δεσπότης τούτου εἶναι, μάρ-
τυρας παρέξομαι. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.*

ΜΑΡΤΥΡΕΣ.

Ἡμέραις τοίνυν μετὰ ταῦτα οὐ πολλαῖς ὕστερον ἰδὼν **9**
*ἀγόμενον τουτονὶ Παγκλέωνα ὑπὸ Νικομήδους, ὃς ἐμαρ-
τύρησεν αὐτοῦ δεσπότης εἶναι, προσῆλθον βουλόμενος
εἰδέναι ὁποῖόν τι περὶ αὐτοῦ πραχθήσοιτο. τότε μὲν οὖν
ἐπειδὴ ἐπαύσαντο μαχόμενοι, εἶπόν τινες τῶν τούτῳ
παρόντων ὅτι εἴη αὐτῷ ἀδελφὸς ὃς ἐξαιρήσοιτο αὐτὸν
εἰς ἐλευθερίαν· ἐπὶ τούτοις ἐγγυησάμενοι παρέξειν εἰς
ἀγορὰν ᾤχοντο ἀπιόντες. τῇ δ' ὑστεραίᾳ τῆς τε ἀντι-* **10**
*γραφῆς ἕνεκα ταυτησὶ καὶ αὐτῆς τῆς δίκης ἔδοξέ μοι
χρῆναι μάρτυρας λαβόντι παραγενέσθαι, ἵν' εἰδείην τόν
τ' ἐξαιρησόμενον αὐτὸν καὶ ὅ τι λέγων ἀφαιρήσοιτο.
ἐφ' οἷς μὲν οὖν ἐξηγγυήθη, οὔτε ἀδελφὸς οὔτε ἄλλος
οὐδεὶς ἦλθε, γυνὴ δὲ φάσκουσα αὐτῆς αὐτὸν εἶναι δοῦ-
λον, ἀμφισβητοῦσα τῷ Νικομήδει, καὶ οὐκ ἔφη ἐάσειν
αὐτὸν ἄγειν. ὅσα μὲν οὖν αὐτόθι ἐρρήθη, πολὺς ἂν εἴη* **11**

---

1 *τις, ⟨Νικομήδης⟩*, Herw 7 *καὶ τὸν ⟨Νικομήδην⟩* Tayl, *καὐτὸν* Wdn 9 lemma in marg. X 11 *ὑπὸ ⟨τοῦ⟩ Ν.* Heldmann *ἐμαρτύρετο* West, *ὃς . . .* 12 *εἶναι* del. Roehl 14 *εἶπέ τις . . .* 15 *⟨καὶ⟩ ὡς ἐξ.* „ipse frater haec dicit" Rs, sed cf. § 10 16 *⟨εἶτ'⟩ ἐπὶ τούτοις* Halb *παράξειν* Cob, sed cf. XIII 23, Demosth. XXIII 91, Aesch. II 117 17 *ἀγορὰν*] *αὔριον* Rauch *ἀντιγρᾶ* X 20 *λέγων ⟨ὁ ἕτερος⟩* Heldmann *ἐξαιρήσοιτο* Pluygers, *ἐξαιροῖτο* Rauch 22 *φάσκουσα* del. Halb

μοι λόγος διηγεῖσθαι· εἰς τοῦτο δὲ βιαιότητος ἦλθον οἵ τε παρόντες τούτῳ καὶ αὐτὸς οὗτος, ὥστε ἐθέλοντος μὲν τοῦ Νικομήδους ἐθελούσης δὲ τῆς γυναικὸς ἀφιέναι, εἴ τις ἢ εἰς ἐλευθερίαν τοῦτον ⟨ἀφαιροῖτο⟩ ἢ ἄγοι φάσκων ἑαυτοῦ δοῦλον εἶναι, τούτων οὐδὲν ποιήσαντες ἀφελόμενοι ᾤχοντο. Ὡς οὖν τῇ τε προτεραίᾳ ἐπὶ τούτοις ἐξηγγυήθη καὶ τότε βίᾳ ᾤχοντο ἀφελόμενοι αὐτόν, μάρτυρας παρέξομαι ὑμῖν. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

12 *Ῥᾴδιον τοίνυν εἰδέναι ὅτι οὐδ' αὐτὸς Παγκλέων νομίζει ἑαυτὸν μὴ ὅτι Πλαταιέα εἶναι, ἀλλ' οὐδ' ἐλεύθερον. ὅστις γὰρ ἐβουλήθη βίᾳ ἀφαιρεθεὶς ἐνόχους καταστῆσαι τοὺς ἑαυτοῦ ἐπιτηδείους τοῖς βιαίοις μᾶλλον ἢ κατὰ τοὺς νόμους εἰς τὴν ἐλευθερίαν ἐξαιρεθεὶς δίκην λαβεῖν παρὰ τῶν ἀγόντων αὐτόν, οὐδενὶ χαλεπὸν γνῶναι ὅτι εὖ εἰδὼς ἑαυτὸν ὄντα δοῦλον ἔδεισεν ἐγγυητὰς καταστήσας περὶ τοῦ σώματος ἀγωνίσασθαι.*

13 *Ὅτι μὲν οὖν Πλαταιεὺς εἶναι πολλοῦ δεῖ, οἶμαι ὑμᾶς ἐκ τούτων σχεδόν τι γιγνώσκειν· ὅτι δὲ οὐδ' αὐτὸς ὃς ἄριστα οἶδε τὰ αὑτοῦ, ἡγήσατο δόξαι ἂν ὑμῖν Πλαταιεὺς εἶναι, ἐξ ὧν ἔπραξε ῥᾳδίως μαθήσεσθε. ἐν τῇ ἀντωμοσίᾳ γὰρ τῆς δίκης ἣν αὐτῷ ἔλαχεν Ἀριστόδικος οὑτοσί, ἀμφισβητῶν μὴ πρὸς τὸν πολέμαρχον εἶναί οἱ τὰς δίκας*

14 *διεμαρτυρήθη μὴ Πλαταιεὺς εἶναι. ἐπισκηψάμενος δὲ τῷ μάρτυρι οὐκ ἐπεξῆλθεν, ἀλλ' εἴασε καταδικάσασθαι αὐ-*

---

4 *ἀφαιροῖτο ἢ ἄγοι* Sauppe: *ἄγοι ἢ* X, *ἐξαιροῖτο ἢ εἰς δουλείαν ἄγοι* Rs, *ἐξαιροῖτο ἢ ἄγοι* Scheibe 14 *τὴν* ante *ἐλ.* del. Halb, sed cf. [Demosth.] LVIII 21 19 *αὐτὸς* Hertlein, vel *αὐτὸς οὗτος* vel *οὗτος αὐτὸς*: *οὗτος* X 21 *ἔπραξε ⟨μετὰ ταῦτα⟩* Rs 22 *Ἀριστόδικος* C corr.: *ἀριστόδημος* X 24 *ἐπισκηψάμενος* C, Cont: *ἐπισκεψάμενος* X 25 *αὐτοῦ* Rs: *αὐτὸν* X, *αὐτοῦ* Dyroff

τοῦ τὸν Ἀριστόδικον. ἐπεὶ δὲ ὑπερήμερος ἐγένετο, ἐξέτεισε τὴν δίκην, καθ' ὅτι ἔπειθε. καὶ τούτων, ὡς ἀληθῆ ἐστι, μάρτυρας ἐγὼ παρέξομαι ὑμῖν. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

Πρὶν τοίνυν ταῦτα ὁμολογηθῆναι αὐτῷ, δεδιὼς τὸν **15** *Ἀριστόδικον μεταστὰς ἐντεῦθεν Θήβησι | μετῴκει. καίτοι οἶμαι εἰδέναι ὑμᾶς ὅτι εἴπερ ἦν Πλαταιεύς, πανταχοῦ μᾶλλον ἢ Θήβησιν εἰκὸς ἦν αὐτὸν μετοικῆσαι. Ὡς οὖν ᾤκει ⟨ἐκεῖ⟩ πολὺν χρόνον, τούτων ὑμῖν μάρτυρας παρέξομαι. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.*

ΜΑΡΤΥΡΕΣ.

Ἐξαρκεῖν μοι νομίζω τὰ εἰρημένα, ὦ ἄνδρες δικασταί· **16** *ἐὰν γὰρ διαμνημονεύητε, οἶδ' ὅτι τά τε δίκαια καὶ τἀληθῆ ψηφιεῖσθε, καὶ ἃ ἐγὼ ὑμῶν δέομαι.*

24.

ΠΡΟΣ ΤΗΝ ΕΙΣΑΓΓΕΛΙΑΝ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΙΔΟΣΘΑΙ ΤΩΙ ΑΔΥΝΑΤΩΙ ΑΡΓΥΡΙΟΝ.

⟨Οὐ⟩ πολλοῦ δέω χάριν ἔχειν, ὦ βουλή, τῷ κατη- **1** *γόρῳ, ὅτι μοι παρεσκεύασε τὸν ἀγῶνα τουτονί. πρό-*

---

1 *ἐπειδὴ δὲ* Fuhr 2 malim *ἔπεισε* cf. [Demosth.] L 42 7 *μεταναστὰς* Cob 10 *ἐκεῖ* hic add. Markl, ante *ᾤκει* Fuhr *τούτου ὑμῖν* Pluygers 14 *διαμνημονεύσητε ἃ ἐγὼ ὑμῶν δέομαι, οἶδ' ὅτι* pp. Herw, *διαμν. ⟨τὰ εἰρημένα, καὶ ποιήσητε⟩ ἃ ἐγὼ ὑμ. δέομαι, οἶδ' ὅτι* Francken ⟨*εὖ*⟩ *οἶδ'* malit Tayl 15 *ἃ καὶ ἐγὼ* de Wilamowitz. Post hanc orationem in X paginae 112^{a} pars dimidia vel tertia et pagina 112^{b} tota vacua relinquitur 17 Or. XXIV. *πρὸς τὴν εἰσαγγελίαν* cf. Herm. XXXVII 341, Lipsius, Att. Recht 270; *περὶ τοῦ ἀδυνάτου* Harp, *ἀδύνατοι, περὶ τοῦ διδομένου τοῖς ἀδυνάτοις ὀβολοῦ* Suid. *ἀνάπηρος* 19 *Οὐ πολλοῦ* C, Markl, *ολλοῦ* littera initiali omissa X^{k}, *ὀλίγου* Cont, *πολλὴν ὀλίγου* Wdn

τερον ⟨γὰρ⟩ οὐκ ἔχων πρόφασιν ἐφ' ἧς τοῦ βίου λόγον δοίην, νυνὶ διὰ τοῦτον εἴληφα. καὶ πειράσομαι τῷ λόγῳ τοῦτον μὲν ἐπιδεῖξαι ψευδόμενον, ἐμαυτὸν δὲ βεβιωκότα μέχρι τῆσδε τῆς ἡμέρας ἐπαίνου μᾶλλον ἄξιον ἢ φθόνου· διὰ γὰρ οὐδὲν ἄλλο μοι δοκεῖ παρασκευάσαι τόνδε
2 *μοι τὸν κίνδυνον οὗτος ἢ διὰ φθόνον. καίτοι ὅστις τούτοις φθονεῖ οὓς οἱ ἄλλοι ἐλεοῦσι, τίνος ἂν ὑμῖν ὁ τοιοῦτος ἀποσχέσθαι δοκεῖ πονηρίας; εἰ μὲν γὰρ ἕνεκα χρημάτων με συκοφαντεῖ —· εἰ δ' ὡς ἐχθρὸν ἑαυτοῦ με τιμωρεῖται, ψεύδεται· διὰ γὰρ τὴν πονηρίαν αὐτοῦ οὔτε φίλῳ οὔτε ἐχθρῷ πώποτε ἐχρησάμην αὐτῷ. ἤδη τοίνυν, ὦ βουλή, δῆλός ἐστι φθονῶν, ὅτι τοιαύτῃ κεχρημένος συμφορᾷ τούτου βελτίων εἰμὶ πολίτης. καὶ γὰρ οἶμαι*
3 *δεῖν, ὦ βουλή, τὰ τοῦ σώματος δυστυχήματα τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασιν ἰᾶσθαι, εἰκότως. εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ καὶ τὴν διάνοιαν ἕξω καὶ τὸν ἄλλον βίον διάξω, τί τούτου διοίσω;*

4 *Περὶ μὲν οὖν τούτων τοσαῦτά μοι εἰρήσθω· ὑπὲρ ὧν δέ μοι προσήκει λέγειν, ὡς ἂν οἷόν ⟨τε⟩ διὰ βραχυτάτων ἐρῶ. φησὶ γὰρ ὁ κατήγορος οὐ δικαίως με λαμβάνειν τὸ παρὰ τῆς πόλεως ἀργύριον· καὶ γὰρ τῷ σώματι δύνασθαι καὶ οὐκ εἶναι τῶν ἀδυνάτων, καὶ τέχνην ἐπίστασθαι τοιαύτην ὥστε καὶ ἄνευ τοῦ διδομένου*

---

1 *γὰρ* add. C, Rs *ἐφ' ᾗ* Dobr 4 *ἐπαίνου*] *ἐλέου* Hamaker *ἀξίως* vel *ἄξια* Rs, *ἄξιον ὄντ'* Fuhr, ⟨*βίον*⟩ *βεβιωκ.* Cont 6 *μοι* ante *τὸν* del. Wdn 8 *δοκῇ* X *εἰ μὲν*] *οὐ μὲν* Sauppe, *οὐ* Frb 9 *με* est in X post *συκοφαντεῖ* subaudi *ἄφρων ἐστί*, id quod gestu indicatur cf. Guttentag, progr. Aarau 1878 *εἰ δ'*] *οὐδ'* Cob 10 *ψεύδεται* del. Cob *αὐτοῦ* del. Herw 13 *τούτου*] *αὐτοῦ* Pluygers 15 *εἰκότως* (vel *δικαίως*) P. Müller: *καλῶς* X, *καλοῖς* Markl, del. Cob 18 *οὖν τούτου* Dobr 19 *οἷόν τε* C: *οἷον* X, *οἷός τ' ὦ* P. Müller, *οἷόν τ' ᾖ* Schulze, sed cf. Ant. V 32 22 *καὶ οὐκ εἶναι τῶν ἀδ.* del. Tayl 23 *ὥστε κἂν* Herw

τούτου ζῆν. καὶ τεκμηρίοις χρῆται τῆς μὲν τοῦ σώματος 5
ῥώμης, ὅτι ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τῆς δ' ἐν τῇ τέχνῃ
εὐπορίας, ὅτι δύναμαι συνεῖναι δυναμένοις ἀνθρώποις
ἀναλίσκειν. τὴν μὲν οὖν ἐκ τῆς τέχνης εὐπορίαν καὶ
τὸν ἄλλον τὸν ἐμὸν βίον, οἷος τυγχάνει, πάντας ὑμᾶς
οἴομαι γιγνώσκειν· ὅμως δὲ κἀγὼ διὰ βραχέων ἐρῶ.
ἐμοὶ γὰρ ὁ μὲν πατὴρ κατέλιπεν οὐδέν, τὴν δὲ μητέρα 6
τελευτήσασαν πέπαυμαι τρέφων τρίτον ἔτος τουτί, παῖδες
δέ μοι οὔπω εἰσὶν οἵ με θεραπεύσουσι. τέχνην δὲ κέ-
κτημαι βραχέα δυναμένην ὠφελεῖν, ἣν αὐτὸς μὲν ἤδη
χαλεπῶς ἐργάζομαι, τὸν διαδεξόμενον δ' αὐτὴν οὔπω
δύναμαι κτήσασθαι. πρόσοδος δέ μοι οὐκ ἔστιν ἄλλη
πλὴν ταύτης, ἣν ἐὰν ἀφέλησθέ με, κινδυνεύσαιμ' ἂν
ὑπὸ τῇ δυσχερεστάτῃ γενέσθαι τύχῃ. μὴ τοίνυν, ἐπειδή 7
γε ἔστιν, ὦ βουλή, σῶσαί με δικαίως, ἀπολέσητε ἀδίκως·
μηδὲ ἃ νεωτέρῳ καὶ μᾶλλον ἐρρωμένῳ ὄντι ἔδοτε, πρε-
σβύτερον καὶ ἀσθενέστερον γιγνόμενον ἀφέλησθε· μηδὲ
πρότερον καὶ περὶ τοὺς οὐδὲν ἔχοντας κακὸν ἐλεημο-
νέστατοι δοκοῦντες εἶναι νυνὶ διὰ τοῦτον τοὺς καὶ τοῖς
ἐχθροῖς ἐλεινοὺς ὄντας ἀγρίως ἀποδέξησθε· μηδ' ἐμὲ
τολμήσαντες ἀδικῆσαι καὶ τοὺς ἄλλους τοὺς ὁμοίως ἐμοὶ
διακειμένους ἀθυμῆσαι ποιήσητε. καὶ γὰρ ἂν ἄτοπον 8
εἴη, ὦ βουλή, εἰ ὅτε μὲν ἁπλῆ μοι ἦν ἡ συμφορά, τότε
μὲν φαινοίμην λαμβάνων τὸ ἀργύριον τοῦτο, νῦν δ'
ἐπειδὴ καὶ γῆρας καὶ νόσοι καὶ τὰ τούτοις ἑπόμενα κακὰ |

2 ἐν τῇ τέχνῃ del. Baiter, ἐκ τῆς τέχνης Tayl 3 ὅτι ⟨ἐξ ἴσου⟩ pp. Herw ἀνθρώποις del. Francken 4 τῆς μὲν οὖν X εὐπορίας καὶ τῶν ἄλλων X 5 τυγχάνει ⟨ὢν⟩ Rs 9 μοι οὔπω] μοι οὐκ Herw coll. § 8 13 ἣν Cont: ἧς X 15 γ' ⟨ἐν ὑμῖν⟩ ἔστιν Rs 17 ἀσθ. γενόμενον Wdn 19 τοὺς καὶ Rs: καὶ τοὺς X 20 ἀγρ. ἀποδιώξητε Francken 24 ἐφαινόμην Hertlein, sed cf. Gebauer, arg. contr. 202 25 ἑπόμενα Rs: ἐχόμενα XC

9 προσγίγνεταί μοι, τότε ἀφαιρεθείην. δοκεῖ δέ μοι τῆς πενίας τῆς ἐμῆς τὸ μέγεθος ὁ κατήγορος ἂν ἐπιδεῖξαι σαφέστατα μόνος ἀνθρώπων. εἰ γὰρ ἐγὼ κατασταθεὶς χορηγὸς τραγῳδοῖς προκαλεσαίμην αὐτὸν εἰς ἀντίδοσιν, δεκάκις ἂν ἕλοιτο χορηγῆσαι μᾶλλον ἢ ἀντιδοῦναι ἅπαξ. καὶ πῶς οὐ δεινόν ἐστι νῦν μὲν κατηγορεῖν ὡς διὰ πολλὴν εὐπορίαν ἐξ ἴσου δύναμαι συνεῖναι τοῖς πλουσιωτάτοις, εἰ δὲ ὧν ἐγὼ λέγω τύχοι τι γενόμενον, ⟨ὁμολογεῖν ἄν με⟩ τοιοῦτον εἶναι καὶ ἔτι πονηρότερον;

10 Περὶ δὲ τῆς ἐμῆς ἱππικῆς, ἧς οὗτος ἐτόλμησε μνησθῆναι πρὸς ὑμᾶς, οὔτε τὴν τύχην δείσας οὔτε ὑμᾶς αἰσχυνθείς, οὐ πολὺς ὁ λόγος. εἰκὸς γάρ, ὦ βουλή, πάντας τοὺς ἔχοντάς τι δυστύχημα τοῦτο ζητεῖν καὶ τοῦτο φιλοσοφεῖν, ὅπως ὡς ἀλυπότατα μεταχειριοῦνται τὸ συμβεβηκὸς πάθος. ὧν εἷς ἐγώ, καὶ περιπεπτωκὼς τοιαύτῃ συμφορᾷ ταύτην ἐμαυτῷ ῥᾳστώνην ἐξηῦρον εἰς
11 τὰς ὁδοὺς τὰς μακροτέρας τῶν ἀναγκαίων. ὃ δὲ μέγιστον, ὦ βουλή, τεκμήριον ὅτι διὰ τὴν συμφορὰν ἀλλ' οὐ διὰ τὴν ὕβριν, ὡς οὗτός φησιν, ἐπὶ τοὺς ἵππους ἀναβαίνω

---

1 τότε (altero loco)] τοῦτο Rosenberg, sed cf. Gebauer ib. 113 3 μόνος del. Cob, καὶ μόνος Wdn 4 προκαλεσαίμην Rs: προσκαλεσαίμην X 6 καὶ πῶς] εἶτα πῶς C, καίτοι πῶς Cob, κᾆτα πῶς Gebauer 8 τι γεν. Emperius: τις γεν. X, τύχοιμι γενόμενος Wdn ὁμολογεῖν ἂν add. Kayser, με add. secundum Rauchensteinium Fuhr 9 καὶ ἔτι ἀπορώτερον Kayser, τοιοῦτον ἂν ἐμὲ κρῖναι Heldmann, τοιοῦτον ἂν εἶναι; καὶ τί πονηρότερον; Gebauer secundum Halmium, καὶ τί ἔτι πον.; Sauppe, καὶ ἔστι τι πον.; Scheibe, τότε πτωχὸν εἶναι (vel πενέστερον τότ' ἂν ἡγεῖσθαι) καὶ ἔτι πον.; Wdn 12 εἰκὸς Kayser: ἐγὼ X, quo servato γὰρ ⟨ὁρῶ⟩ Sauppe, γὰρ ⟨ἡγοῦμαι⟩ post Stephanum Fuhr, πάντας ⟨οἶμαι⟩ C, ἔγνων γὰρ Scheibe 13 τοῦτο (ante ζητεῖν) post Stephanum Fuhr: τοιοῦτο X (quo servato) ζητεῖν τοῦτο καὶ Francken, τοιοῦτόν τι Sauppe, τοῦτ' ⟨οἶμαι⟩ Wdn 15 ἐγὼ ⟨ὢν⟩ καὶ Rs, ἐγὼ ὢν περ. Herw 19 δι' ὕβριν Dobr

*[ῥᾴδιόν ἐστι μαθεῖν]. εἰ γὰρ ἐκεκτήμην οὐσίαν, ἐπ'
ἀστράβης ἂν ὠχούμην, ἀλλ' οὐκ ἐπὶ τοὺς ἀλλοτρίους
ἵππους ἀνέβαινον· νυνὶ δ' ἐπειδὴ τοιοῦτον οὐ δύναμαι
κτήσασθαι, τοῖς ἀλλοτρίοις ἵπποις ἀναγκάζομαι χρῆσθαι
πολλάκις. καίτοι πῶς οὐκ ἄτοπόν ἐστιν, ὦ βουλή, τοῦ-* 12
*τον ἄν, εἰ μὲν ἐπ' ἀστράβης ὀχούμενον ἑώρα με, σιωπᾶν
(τί γὰρ ἂν καὶ ἔλεγεν;), ὅτι δ' ἐπὶ τοὺς ᾐτημένους ἵπ-
πους ἀναβαίνω, πειρᾶσθαι πείθειν ὑμᾶς ὡς δυνατός
εἰμι; καὶ ὅτι μὲν δυοῖν βακτηρίαιν χρῶμαι, τῶν ἄλλων
μιᾷ χρωμένων, μὴ κατηγορεῖν ὡς καὶ τοῦτο τῶν δυνα-
μένων ἐστίν· ὅτι δ' ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τεκ-
μηρίῳ χρῆσθαι πρὸς ὑμᾶς ὥς εἰμι τῶν δυναμένων; οἷς
ἐγὼ διὰ τὴν αὐτὴν αἰτίαν ἀμφοτέροις χρῶμαι.*

Τοσοῦτον δὲ διενήνοχεν ἀναισχυντίᾳ τῶν ἁπάντων 13
*ἀνθρώπων, ὥστε ὑμᾶς πειρᾶται πείθειν, τοσούτους ὄν-
τας εἷς ὤν, ὡς οὔκ εἰμι τῶν ἀδυνάτων ἐγώ· καίτοι εἰ
τοῦτο πείσει τινὰς ὑμῶν, ὦ βουλή, τί με κωλύει κλη-
ροῦσθαι τῶν ἐννέα ἀρχόντων, καὶ ὑμᾶς ἐμοῦ μὲν ἀφε-
λέσθαι τὸν ὀβολὸν ὡς ὑγιαίνοντος, τούτῳ δὲ ψηφίσασθαι
πάντας ὡς ἀναπήρῳ; οὐ γὰρ δήπου τὸν αὐτὸν ὑμεῖς μὲν
ὡς δυνάμενον ἀφαιρήσεσθε τὸ διδόμενον, οἱ δὲ ⟨θεσ-
μοθέται⟩ ὡς ἀδύνατον ὄντα κληροῦσθαι κωλύσουσιν.
ἀλλὰ γὰρ οὔτε ὑμεῖς τούτῳ τὴν αὐτὴν ἔχετε γνώμην,* 14

---

1 *ῥᾴδιόν ἐστι μαθεῖν* del. Scheibe 3 *τοιοῦτόν τι* Cob *οὐ δύν.*] *οὐδὲν δύν.* Dobr 5 *πολλάκις* del. Pluygers 6 *ἂν* (pone *τοῦτον*) Wdn: *αὐτὸν* X, *ἂν αὐτὸν* Kayser, *σιωπᾶν* ⟨*ἂν*⟩ Scheibe 9 *εἰμι* Kayser: *εἴην* X 13 *ἀμφοτέραις* (sic) ⟨*οὐ*⟩ *χρῶμαι* Rs 17 *κωλύσει* Frb, sed cf. Gentsch, diss. Jen. IV 231 Suid. s. *ἀνάπηρος· καὶ τί κωλύει ὑμᾶς μὲν ὠφελεῖσθαι τῷ ὀβολῷ ὡς ὑγιεῖς ὄντας, τούτῳ δὲ ψηφίσασθαι ἐάσαντας ὡς ἀναπήρῳ* 18 *ὑμᾶς νῦν μὲν ἐμοῦ ἀφελ.* pp. Herw, *ὑμᾶς νῦν μὲν ἀφ. . . . τότε δὲ ψηφ.* Wdn secundum Dobraeum 20 *πάντας*] *ἐλεήσαντας* Frb 21 *θεσμοθέται* add. Frb, *νόμοι* add. Pluygers

οὔθ' οὗτος ⟨ὑμῖν⟩ εὖ ποιῶν. ὁ μὲν γὰρ ὥσπερ ἐπικλήρου τῆς συμφορᾶς οὔσης ἀμφισβητήσων ἥκει καὶ πειρᾶται πείθειν ὑμᾶς ὡς οὐκ εἰμι τοιοῦτος οἷον ὑμεῖς ὁρᾶτε πάντες· ὑμεῖς δὲ (ὃ τῶν εὖ φρονούντων ἔργον ἐστί) μᾶλλον πιστεύετε τοῖς ὑμετέροις αὐτῶν ὀφθαλμοῖς ἢ τοῖς τούτου λόγοις.

15 *Λέγει δ' ὡς ὑβριστής εἰμι καὶ βίαιος καὶ λίαν ἀσελγῶς διακείμενος, ὥσπερ εἰ φοβερῶς ὀνομάσειε, μέλλων ἀληθῆ λέγειν, ἀλλ' οὐκ, ἐὰν πάνυ πραόνως [μηδὲ ψεύδηται], ταῦτα ποιήσων. ἐγὼ δ' ὑμᾶς, ὦ βουλή, σαφῶς οἶμαι δεῖν διαγιγνώσκειν οἷς τ' ἐγχωρεῖ τῶν ἀνθρώπων*
16 *ὑβρισταῖς εἶναι καὶ οἷς οὐ προσήκει. οὐ γὰρ ⟨τοὺς⟩ πενομένους καὶ λίαν ἀπόρως διακειμένους ὑβρίζειν εἰκός, ἀλλὰ τοὺς πολλῷ πλείω τῶν ἀναγκαίων κεκτημένους· οὐδὲ τοὺς ἀδυνάτους τοῖς σώμασιν ὄντας, ἀλλὰ τοὺς μάλιστα πιστεύοντας ταῖς αὐτῶν ῥώμαις· οὐδὲ τοὺς ἤδη προβεβηκότας τῇ ἡλικίᾳ, ἀλλὰ τοὺς ἔτι νέους καὶ νέαις*
17 *ταῖς διανοίαις χρωμένους. οἱ μὲν γὰρ πλούσιοι τοῖς χρήμασιν ἐξωνοῦνται τοὺς κινδύνους, οἱ δὲ πένητες ὑπὸ τῆς παρούσης ἀπορίας σωφρονεῖν ἀναγκάζονται· καὶ οἱ μὲν νέοι συγγνώμης ἀξιοῦνται τυγχάνειν παρὰ*

---

1 *ὑμῖν* post Contium add. Rs, *οὔθ' ὅστις εὖ φρονῶν* Markl, *οὔτ' οὐδεὶς εὖ φρ.* Reuss, *οὔθ' οὗτος εὖ νοῶν* Sauppe, *οὔθ' οὗτος εὖ φρονεῖ* pp. Herw, *οὔθ' οὗτος ἑαυτῷ* Kayser, *οὔθ' οὗτος ἐμὲ εὖ ποιῶν* Heldmann, *οὔθ' οὗτος εὔλογα δοκεῖ ποιεῖν* Jebb, *οὔθ' οὗτος σπουδάζει εὖ ποιῶν* Wdn secundum Naberum, *οὔθ' οὗτος ὑμῖν· ὁ μὲν γὰρ παρανοῶν* (vel *εὖ ποιῶν*) P. Müller
ἐπὶ κλήρου X, *ὡς περὶ ἐπικλήρου* deleta voce *οὔσης* Francken
7 *λέγει* C: *λέγω* X 8 *ὀνομάσαι* X, *εἰ φθονεροῖς ὀνόμασι χρήσαιτο* Cob *μέλλων ⟨δόξειν⟩* Herw 9 *πραόνως* Tur: *πρᾶον ὡς* X *μηδὲ ψεύδηται* del. Kayser, *μηδὲν ψ.* Emperius, *ὡσπερεὶ φοβεροῖς ὀνόμασι μέλλων ἀλ. λέγ. ἀλλ' οὐχ ἂν πάνυ πραόνως μηδὲ ψευδῆ, ταῦτα πείσων* Francken, *μηδὲ ψευδῆ ταὐτὰ ποιήσων* Madvig, *πραόνως ψεύδηται, πιστὰ ποιήσων* Wdn
12 *τοὺς* add. Rs 17 *καὶ νεανικαῖς* Bake

τῶν πρεσβυτέρων, τοῖς δὲ πρεσβυτέροις ἐξαμαρτάνουσιν ὁμοίως ἐπιτιμῶσιν ἀμφότεροι· καὶ τοῖς μὲν ἰσχυροῖς 18
ἐγχωρεῖ μηδὲν αὐτοῖς πάσχουσιν, οὓς ἂν βουληθῶσιν, ὑβρίζειν, τοῖς δὲ ἀσθενέσιν οὐκ ἔστιν οὔτε ὑβριζομένοις ἀμύνεσθαι τοὺς ὑπάρξαντας οὔτε ὑβρίζειν βουλομένοις περιγίγνεσθαι τῶν | ἀδικουμένων. ὥστε μοι δοκεῖ ὁ κατήγορος εἰπεῖν περὶ τῆς ἐμῆς ὕβρεως οὐ σπουδάζων, ἀλλὰ παίζων, οὐδ' ὑμᾶς πεῖσαι βουλόμενος ὥς εἰμι τοιοῦτος, ἀλλ' ἐμὲ κωμῳδεῖν βουλόμενος, ὥσπερ τι καλὸν ποιῶν.

Ἔτι δὲ καὶ συλλέγεσθαί φησιν ἀνθρώπους ὡς ἐμὲ 19
πονηροὺς καὶ πολλούς, οἳ τὰ μὲν ἑαυτῶν ἀνηλώκασι, τοῖς δὲ τὰ σφέτερα σῴζειν βουλομένοις ἐπιβουλεύουσιν. ὑμεῖς δὲ ἐνθυμήθητε πάντες ὅτι ταῦτα λέγων οὐδὲν ἐμοῦ κατηγορεῖ μᾶλλον ἢ τῶν ἄλλων ὅσοι τέχνας ἔχουσιν, οὐδὲ τῶν ὡς ἐμὲ εἰσιόντων μᾶλλον ἢ τῶν ὡς τοὺς ἄλλους δημιουργούς. ἕκαστος γὰρ ὑμῶν εἴθισται προσ- 20
φοιτᾶν ὁ μὲν πρὸς μυροπώλιον, ὁ δὲ πρὸς κουρεῖον, ὁ δὲ πρὸς σκυτοτομεῖον, ὁ δ' ὅποι ἂν τύχῃ, καὶ πλεῖστοι μὲν ὡς ⟨τοὺς⟩ ἐγγυτάτω τῆς ἀγορᾶς κατεσκευασμένους, ἐλάχιστοι δὲ ὡς τοὺς πλεῖστον ἀπέχοντας αὐτῆς· ὥστ' εἴ τις ὑμῶν πονηρίαν καταγνώσεται τῶν ὡς ἐμὲ εἰσιόντων, δῆλον ὅτι καὶ τῶν παρὰ τοῖς ἄλλοις διατριβόντων· εἰ δὲ κἀκείνων, ἁπάντων Ἀθηναίων· ἅπαντες γὰρ εἴθισθε προσφοιτᾶν καὶ διατρίβειν ἁμουγέπου.

1 πρεσβυτέροις Frb: ἑτέροις X, γέρουσιν Herw, γεραιτέροις Zaka 3 οὓς ἐὰν β. X 5 ὑπάρξαντας C, Steph: συνάρξαντας X 9 βουλόμενος altero loco del. Cob καλὸν εἰπών Markl 16 ἢ ὑμῶν ὡς τοὺς Wdn 18 μυροπώλιον cf. Ar. Ran. 112, μυροπωλεῖον C οἱ δὲ πρὸς κουρ. X 19 ὅπῃ ἂν τύχοι X 20 τοὺς add. C, Steph 21 τοὺς πλ. C, Steph: οὐ πλ. X 25 ἁμουγέπου Morgan, ἁμοῦ γέ που Bekker: ἄλλου γέ που X

21 Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ τι δεῖ λίαν με ἀκριβῶς ἀπο-
λογούμενον πρὸς ἓν ἕκαστον ὑμῖν τῶν εἰρημένων ἐνο-
χλεῖν πλείω χρόνον. εἰ γὰρ ὑπὲρ τῶν μεγίστων εἴρηκα,
τί δεῖ περὶ τῶν φαύλων ὁμοίως τούτῳ σπουδάζειν; ἐγὼ
δ' ὑμῶν, ὦ βουλή, δέομαι πάντων τὴν αὐτὴν ἔχειν περὶ
22 ἐμοῦ διάνοιαν, ἥνπερ καὶ πρότερον· μὴ οὗ μόνου μετα-
λαβεῖν ἔδωκεν ἡ τύχη μοι τῶν ἐν τῇ πατρίδι, τούτου
διὰ τουτονὶ ἀποστερήσητέ με· μηδ' ἃ πάλαι κοινῇ πάν-
τες ἔδοτέ μοι, νῦν οὗτος εἷς ὢν πείσῃ πάλιν ὑμᾶς ἀφε-
λέσθαι. ἐπειδὴ γάρ, ὦ βουλή, τῶν μεγίστων [ἀρχῶν]
ὁ δαίμων ἀπεστέρησεν ἡμᾶς, ἡ πόλις ἡμῖν ἐψηφίσατο
τοῦτο τὸ ἀργύριον, ἡγουμένη κοινὰς εἶναι τὰς τύχας
23 τοῖς ἅπασι καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν. πῶς οὖν
οὐκ ἂν δειλαιότατος εἴην, εἰ τῶν μὲν καλλίστων καὶ με-
γίστων διὰ τὴν συμφορὰν ἀπεστερημένος εἴην, ἃ δ' ἡ
πόλις ἔδωκε προνοηθεῖσα τῶν οὕτως διακειμένων, διὰ
τὸν κατήγορον ἀφαιρεθείην; μηδαμῶς, ὦ βουλή, ταύτῃ
θῆσθε τὴν ψῆφον. διὰ τί γὰρ ἂν καὶ τύχοιμι τοιούτων
24 ὑμῶν; πότερον ὅτι δι' ἐμέ τις εἰς ἀγῶνα πώποτε κατα-
στὰς ἀπώλεσε τὴν οὐσίαν; ἀλλ' οὐδ' ἂν εἷς ἀποδείξειεν.
ἀλλ' ὅτι πολυπράγμων εἰμὶ καὶ θρασὺς καὶ φιλαπε-
χθήμων; ἀλλ' οὐ τοιαύταις ἀφορμαῖς τοῦ βίου [πρὸς τὰ
25 τοιαῦτα] τυγχάνω χρώμενος. ἀλλ' ὅτι λίαν ὑβριστὴς

---

3 περὶ τῶν μεγ. ⟨ἱκανῶς⟩ Frb 4 φαύλων ὁμοίως τούτῳ Dobr: ὁμοίως τούτῳ φαύλων X, περὶ φαύλ. ὁμ. τούτῳ ⟨αὐτῷ⟩ Heldmann 6 καὶ ⟨αἱ⟩ πρότερον Bake μὴ scripsi: μηδ' X, μὴ ⟨οὖν⟩ Fuhr, μὴ ⟨τοίνυν⟩ Wdn, μὴ ⟨δὴ⟩ Herw μόνου Markl: μόνον X 10 ἀρχῶν del. Frb, ἀγαθῶν Zaka 14 δειλαιότατος Markl: δικαιότατος X εἴην cf. Gebauer arg. 204, ἦν Hertlein, εἰμι Frb 18 θῆσθε Bekker: θέσθε X τὴν ψῆφον Cont: τῇ ψήφῳ X 22 τοιαύταις ⟨ταῖς⟩ Halb πρὸς τὰ τοιαῦτα del. Francken Fuhr verba ἀλλ οὐ . . . 23 χρώμενος pone βίαιος et verba p. 255,1 ἀλλ' οὐδ' . . . 2 ὁμοίως pone φιλαπεχθήμων transponit

καὶ βίαιος; ⟨ἀλλ'⟩ οὐδ' ἂν αὐτὸς φήσειεν, εἰ μὴ βούλοιτο καὶ τοῦτο ψεύδεσθαι τοῖς ἄλλοις ὁμοίως. ἀλλ' ὅτι ἐπὶ τῶν τριάκοντα γενόμενος ἐν δυνάμει κακῶς ἐποίησα πολλοὺς τῶν πολιτῶν; ἀλλὰ μετὰ τοῦ ὑμετέρου πλήθους ἔφυγον εἰς Χαλκίδα [τὴν ἐπ' Εὐρίπῳ], καὶ ἐξόν μοι μετ' ἐκείνων ἀδεῶς πολιτεύεσθαι, μεθ' ὑμῶν εἱλόμην κινδυνεύειν ἀπελθών. μὴ τοίνυν, ὦ βουλή, **26** *μηδὲν ἡμαρτηκὼς ὁμοίων ὑμῶν τύχοιμι τοῖς πολλὰ ἠδικηκόσιν, ἀλλὰ τὴν αὐτὴν ψῆφον θέσθε περὶ ἐμοῦ ταῖς ἄλλαις βουλαῖς, ἀναμνησθέντες ὅτι οὔτε χρήματα διαχειρίσας τῆς πόλεως δίδωμι λόγον αὐτῶν, οὔτε ἀρχὴν ἄρξας οὐδεμίαν εὐθύνας ὑπέχω νῦν αὐτῆς, ἀλλὰ περὶ ὀβολοῦ μόνον ποιοῦμαι τοὺς λόγους. καὶ οὕτως ὑμεῖς* **27** *μὲν τὰ δίκαια γνώσεσθε πάντες, ἐγὼ δὲ τούτων ὑμῖν τυχὼν ἕξω τὴν χάριν, οὗτος δὲ τοῦ λοιποῦ μαθήσεται μὴ τοῖς ἀσθενεστέροις ἐπιβουλεύειν ἀλλὰ τῶν ὁμοίων αὐτῷ περιγίγνεσθαι.*

25.

| [ΔΗΜΟΥ ΚΑΤΑΛΥΣΕΩΣ] ΑΠΟΛΟΓΙΑ.

Ὑμῖν μὲν πολλὴν συγγνώμην ἔχω, ὦ ἄνδρες δικασταί, **1** *ἀκούουσι τοιούτων λόγων καὶ ἀναμιμνῃσκομένοις τῶν γεγενημένων, ὁμοίως ἅπασιν ὀργίζεσθαι τοῖς ἐν ἄστει μείνασι· τῶν δὲ κατηγόρων θαυμάζω, οἳ ἀμελοῦντες*

1 *ἀλλ'* add. C *αὐτὸς ⟨οὗτος⟩* malit Frb 5 *τὴν ἐπ' Εὐρίπῳ* del. Frb 7 *ἀπελθών* Baeker: *ἀπάντων* X, *⟨περὶ⟩ ἀπάντων* Dobr, *ἅπαντα* Scheibe, *ἀπαντῶν* West, *ἀπόντων* vel *ἀποδημούντων* P. Müller, *⟨ἐνδεὴς⟩ ἀπάντων* Rs, *ἀποδημῶν* Reuss 8 *ὁμοίων* Cont: *ὁμοίως* X 12 *αὐτῆς* ex *αὐτῶν* a pr. m. X 13 *ὀβολοῦ* cf. Harp. *ἀδύνατοι* 14 *τοιούτων ὑμῶν τυχὼν* Markl 19 Or. XXV. *δήμου καταλύσεως* delevi cf. Meier-Lipsius, Att. Proz.[2] 246, Lipsius, Att. Recht 270 22 *εἰ ὁμ. ἅπ. ὀργίζεσθε* C 23 *εἰ ἀμελοῦντες* Markl, *ὅτι ἀμ.* Francken, *οἳ . . . ἐπιμελοῦνται* deleverit Gebauer

τῶν οἰκείων τῶν ἀλλοτρίων ἐπιμελοῦνται, εἰ σαφῶς εἰ-
δότες τοὺς μηδὲν ἀδικοῦντας καὶ τοὺς πολλὰ ἐξημαρτη-
κότας ζητοῦσι [κερδαίνειν ἢ] ὑμᾶς πείθειν περὶ ἁπάν-
2 των ἡμῶν τὴν γνώμην ταύτην ἔχειν. εἰ μὲν οὖν οἴονται,
ἃ ὑπὸ τῶν τριάκοντα γεγένηται τῇ πόλει, ⟨πάντ'⟩ ἐμοῦ
κατηγορηκέναι, ἀδυνάτους αὐτοὺς ἡγοῦμαι λέγειν· οὐδὲ
γὰρ πολλοστὸν μέρος τῶν ἐκείνοις πεπραγμένων εἰρή-
κασιν· εἰ δὲ ὡς ἐμοί τι προσῆκον περὶ αὐτῶν ποιοῦνται
τοὺς λόγους, ἀποδείξω τούτους μὲν ἅπαντα ψευδομέ-
νους, ἐμαυτὸν δὲ τοιοῦτον ὄντα οἷόσπερ ἂν τῶν ἐκ
3 Πειραιῶς ⟨ὁ⟩ βέλτιστος ἐν ἄστει μείνας ἐγένετο. δέομαι
δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, μὴ τὴν αὐτὴν γνώμην ἔχειν
τοῖς συκοφάνταις. τούτων μὲν γὰρ ἔργον ἐστὶ καὶ τοὺς
μηδὲν ἡμαρτηκότας εἰς αἰτίαν καθιστάναι (ἐκ τούτων
γὰρ ἂν μάλιστα χρηματίζοιντο), ὑμέτερον δὲ τοῖς μηδὲν
ἀδικοῦσιν ἐξ ἴσου τῆς πολιτείας μεταδιδόναι· οὕτω γὰρ
ἂν τοῖς καθεστηκόσι πράγμασι πλείστους συμμάχους
4 ἔχοιτε. ἀξιῶ δέ, ὦ ἄνδρες δικασταί, ἐὰν ἀποφήνω συμ-
φορᾶς μὲν μηδεμιᾶς αἴτιος γεγενημένος, πολλὰ δὲ κἀγαθὰ
εἰργασμένος τὴν πόλιν καὶ τῷ σώματι καὶ τοῖς χρήμασι,
ταῦτα γοῦν μοι παρ' ὑμῶν ὑπάρχειν, ὧν οὐ μόνον τοὺς

1 εἰ σαφῶς Rs: οἱ σαφῶς X, ὅτι σαφ. West, καὶ σαφ. Dobr, καὶ οἱ σαφ. Scheibe διειδότες pp. Herw 2 μηδὲν Rs: μὲν X 3 κερδαίνειν ἢ del. Dobr, κερδ. καὶ Tayl, κερδ. ⟨μᾶλλον⟩ ἢ Rs, κέρδους ἕνεκα Reuss, κερδ. ὑμᾶς πείθοντες Francken, ἢ ὑμᾶς πείθουσι Halb 4 τὴν αὐτὴν γνώμην Jacobs, γν. τὴν αὐτὴν Cont 5 ⟨πάνθ'⟩ ἃ Kayser, ⟨ἅπανθ'⟩ ἃ Bartelt, ὅσα Herw γεγένηται Jacobs: γεγένηνται X πάντ' post Reiskium add. Frb ἐμοῦ] ὁμοῦ Markl, ὁμοῦ πάντ' εἰρηκέναι Francken 9 ἀποδείξω C pr, Steph: ἀποδεῖξαι X, ἀποδ. ⟨βούλομαι⟩ Rs, ⟨πειράσομαι⟩ ἀποδ. prop. Fuhr ἅπαντα Steph: ἅπαντας X 11 ὁ add. Rs 14 καθιστάνειν X 15 χρηματίζοιντο Coraes: χρηματίζειν τὸ X 18 ἀποφήνω v. d. Es: ἀποφανῶ X, ἀπο⟨λογούμενος⟩ φανῶ Rs, ἐάνπερ φανῶ Dobr, ἐὰν κἀγὼ φανῶ P. Müller

*εὖ πεποιηκότας ἀλλὰ καὶ τοὺς μηδὲν ἀδικοῦντας τυγχά-
νειν δίκαιόν ἐστι. μέγα μὲν οὖν ἡγοῦμαί ⟨μοι⟩ τεκμή-* 5
*ριον εἶναι, ὅτι, εἴπερ ἐδύναντο οἱ κατήγοροι ἰδίᾳ με ἀδικοῦντα ἐξελέγξαι, οὐκ ἂν τὰ τῶν τριάκοντα ἁμαρτήματα ἐμοῦ κατηγόρουν, οὐδ' ἂν ᾤοντο χρῆναι ὑπὲρ τῶν ἐκείνοις πεπραγμένων ἑτέρους διαβάλλειν, ἀλλ' αὐτοὺς τοὺς ἀδικοῦντας τιμωρεῖσθαι· νῦν δὲ νομίζουσι τὴν πρὸς ἐκείνους ὀργὴν ἱκανὴν εἶναι καὶ τοὺς μηδὲν κακὸν
εἰργασμένους ἀπολέσαι. ἐγὼ δὲ οὐχ ἡγοῦμαι δίκαιον* 6
εἶναι οὔτε εἴ τινες τῇ πόλει πολλῶν ἀγαθῶν αἴτιοι γεγένηνται, ἄλλους τινὰς ὑπὲρ τούτων τιμὴν ἢ χάριν κομίσασθαι παρ' ὑμῶν, οὔτ' εἴ τινες πολλὰ κακὰ εἰργασμένοι εἰσίν, εἰκότως ἂν δι' ἐκείνους τοὺς μηδὲν ἀδικοῦντας ὀνείδους καὶ διαβολῆς τυγχάνειν· ἱκανοὶ γὰρ οἱ ὑπάρχοντες ἐχθροὶ τῇ πόλει καὶ μέγα κέρδος νομίζοντες εἶναι τοὺς ἀδίκως ἐν ταῖς διαβολαῖς καθεστηκότας.

Πειράσομαι δ' ὑμᾶς διδάξαι, οὓς ἡγοῦμαι τῶν πολι- 7
τῶν προσήκειν ὀλιγαρχίας ἐπιθυμεῖν καὶ ⟨οὓς⟩ δημοκρατίας. ἐκ τούτου γὰρ καὶ ὑμεῖς γνώσεσθε, κἀγὼ περὶ ἐμαυτοῦ τὴν ἀπολογίαν ποιήσομαι, ἀποφαίνων ὡς οὔτε ἐξ ὧν ἐν δημοκρατίᾳ οὔτε ἐξ ὧν ἐν ὀλιγαρχίᾳ πεποίηκα, οὐδέν μοι προσῆκον κακόνουν εἶναι τῷ πλήθει τῷ ὑμε-

---

2 *μοι* add. Frb, *ἐμοὶ* add. Francken 3 *εἴπερ*] *εἰ* Kayser, sed cf. I 46, [XX] 16, *ὅτι ⟨οὐκ ἀδικῶν⟩· εἰ γὰρ ἐδ.* Francken *ἰδίαμε* est in X 6 *ἐκείνοις*] *ἑτέροις* vel *ἐνίοις* Dobr *ἀλλ'* . . . 7 *τιμωρεῖσθαι* del. Wecklein 10 *πολλῶν κἀγαθῶν* Wrobel 13 *εἰκότως ἂν ⟨οἶμαι⟩* malit Gebauer 15 *καὶ μέγα*] *οἱ μέγα* Halm, *οἱ καὶ μέγα* malit Scheibe 16 *εἶναι ⟨ἁλῶναι⟩ τοὺς* Herw 17 *οὕς ⟨τε⟩* Radermacher, *οἷς* Tayl, *οἷστισιν* Herw 18 *οὓς* add. Cont, *καὶ δημοκρατίας* del. Wdn 19 *καὶ ὑμεῖς γνώσεσθε* del. Sauppe, *κἀγὼ* . . . 20 *ἀποφαίνων* del. Kayser, *ἀποφαίνων* del. Frb, *⟨ἄμεινον⟩ καὶ ὑμεῖς διαγνώσεσθε* Wdn, *⟨ῥᾷστα⟩ καὶ ὑμεῖς γν.* Boekmeijer 22 *προσῆκεν* Tayl

8 τέρῳ. πρῶτον μὲν οὖν ἐνθυμηθῆναι χρὴ ὅτι οὐδείς
ἐστιν ἀνθρώπων φύσει οὔτε ὀλιγαρχικὸς οὔτε δημο-
κρατικός, ἀλλ' ἥτις ἂν ἑκάστῳ πολιτεία συμφέρῃ, ταύ-
την προθυμεῖται καθεστάναι· ὥστε οὐκ ἐλάχιστον ἐν
ὑμῖν ἐστι μέρος ὡς πλείστους ἐπιθυμεῖν τῶν παρόντων
νυνὶ πραγμάτων. καὶ ταῦτα ὅτι οὕτως ἔχει, οὐ χαλεπῶς
9 ἐκ τῶν πρότερον γεγενημένων μαθήσεσθε. σκέψασθε
γάρ, ὦ ἄνδρες δικασταί, τοὺς προστάντας ἀμφοτέρων
⟨τῶν⟩ πολιτειῶν, ὁσάκις δὴ μετεβάλοντο. οὐ Φρύνιχος
μὲν καὶ Πείσανδρος καὶ οἱ μετ' ἐκείνων δημαγωγοί,
ἐπειδὴ πολλὰ εἰς ὑμᾶς ἐξήμαρτον, τὰς περὶ τούτων δεί-
σαντες τιμωρίας τὴν προτέραν ὀλιγαρχίαν κατέστησαν,
πολλοὶ δὲ τῶν τετρακοσίων μετὰ τῶν ἐκ Πειραιῶς συγ-
κατῆλθον, ἔνιοι δὲ τῶν ἐκείνους ἐκβαλόντων αὐτοὶ αὖθις
τῶν τριάκοντα ἐγένοντο; εἰσὶ δὲ οἵτινες | τῶν Ἐλευσῖ-
νάδε ἀπογραψαμένων, ἐξελθόντες μεθ' ὑμῶν, ἐπολιόρ-
10 κουν τοὺς μεθ' αὑτῶν. οὔκουν χαλεπὸν γνῶναι, ὦ ἄν-
δρες δικασταί, ὅτι οὐ περὶ πολιτείας εἰσὶν αἱ πρὸς
ἀλλήλους διαφοραί, ἀλλὰ περὶ τῶν ἰδίᾳ συμφερόντων
ἑκάστῳ. ὑμᾶς οὖν χρὴ ἐκ τούτων δοκιμάζειν τοὺς πο-
λίτας, σκοποῦντας μὲν ὅπως ἦσαν ἐν τῇ δημοκρατίᾳ
πεπολιτευμένοι, ζητοῦντας δὲ εἴ τις αὐτοῖς ἐγίγνετο
ὠφέλεια τῶν πραγμάτων μεταπεσόντων· οὕτως γὰρ ἂν
11 δικαιοτάτην ⟨τὴν⟩ κρίσιν περὶ αὐτῶν ποιοῖσθε. ἐγὼ
τοίνυν ἡγοῦμαι, ὅσοι μὲν ἐν τῇ δημοκρατίᾳ ἄτιμοι ἦσαν

---

2 οὔτε et οὔτε δημοκρατικός del. Wdn 4 καθεστάναι Fuhr coll. Isocr. VIII 133: καθιστάναι X 9 τῶν add. Rs μετεβάλλοντο cod. Vind 11 τὰς ὑπὲρ τούτων Frb 14 αὖθις Brulart: αὐτοῖς X, ἐκβ. αὐτομολοῦντες τῶν Wdn 16 ἐπολιόρκουν τοὺς Scheibe: ἐπολιορκοῦντο X 22 εἴ τις] ἥτις superscripto εἰ X, ἥτις ⟨ἂν⟩ Vischer ἐγένετο Francken 24 τὴν add. Rauch, δικαιότατα τὴν Cob ποιῆσθε superscripto εῖ et αι X, ποιήσαισθε Wdn 25 ἄθυμοι ἦσαν εὐθ. P. Müller ⟨ἢ⟩ ἄτ.

[εὐθύνας δεδωκότες] ἢ τῶν ὄντων ἀπεστερημένοι ἢ ἄλλῃ τινὶ συμφορᾷ τοιαύτῃ κεχρημένοι, προσήκειν αὐτοῖς ἑτέρας ἐπιθυμεῖν πολιτείας, ἐλπίζοντας τὴν μεταβολὴν ὠφέλειάν τινα αὑτοῖς ἔσεσθαι· ὅσοι δὲ τὸν δῆμον πολλὰ κἀγαθὰ εἰργασμένοι εἰσί, κακὸν δὲ μηδὲν πώποτε, ὀφείλεται δὲ αὐτοῖς χάριν κομίσασθαι παρ' ὑμῶν μᾶλλον ἢ δοῦναι δίκην τῶν πεπραγμένων, οὐκ ἄξιον τὰς ⟨περὶ⟩ τούτων ἀποδέχεσθαι διαβολάς, οὐδ' ἐὰν πάντες οἱ τὰ τῆς πόλεως πράττοντες ὀλιγαρχικοὺς αὐτοὺς φάσκωσιν εἶναι.

Ἐμοὶ τοίνυν, ὦ ἄνδρες δικασταί, οὔτ' ἰδίᾳ οὔτε δη- 12
μοσίᾳ συμφορὰ ἐν ἐκείνῳ τῷ χρόνῳ οὐδεμία πώποτε
ἐγένετο, ἀνθ' ἧς τινος ἂν προθυμούμενος τῶν παρόν-
των κακῶν ἀπαλλαγῆναι ἑτέρων ἐπεθύμουν πραγμάτων.
τετριηράρχηκά τε γὰρ πεντάκις, καὶ τετράκις νεναυμάχηκα
καὶ εἰσφορὰς ἐν τῷ πολέμῳ πολλὰς εἰσενήνοχα, καὶ τἆλλα
λελητούργηκα οὐδενὸς χεῖρον τῶν πολιτῶν. καίτοι διὰ 13
τοῦτο πλείω τῶν ὑπὸ τῆς πόλεως προσταττομένων ἐδα-
πανώμην, ἵνα καὶ βελτίων ὑφ' ὑμῶν νομιζοίμην, καὶ εἴ
πού μοί τις συμφορὰ γένοιτο, ἄμεινον ἀγωνιζοίμην. ὧν
ἐν τῇ ὀλιγαρχίᾳ ἁπάντων ἀπεστερούμην· οὐ γὰρ τοὺς
τῷ πλήθει ἀγαθοῦ τινος αἰτίους γεγενημένους χάριτος

---

malit Gebauer 1 εὐθύνας δεδωκότες del. Francken, ἢ εὐθ. ὠφληκότες Dobr, ἢ εὐθ. ἑαλωκότες Emperius, εὐθ. ⟨οὐ⟩ δεδ. Markl, ⟨οὐκ⟩ εὐθ. δεδ. Wdn 6 ὑμῶν C, Steph: ὑμῖν X 7 περὶ add. Auger, κατὰ C, ἄξιον κατὰ τούτων Madvig, ἄξ. περὶ τούτων malit Gebauer 8 ἀποδέχεσθαι Tayl: ὑποδέχεσθαι X 14 ἑτέρων] νεωτέρων Cob 15 τετριηράρχηκα Scheibe: ἐτριηράρχησα X τε Gebauer: μὲν X 16 εἰσφορὰς δ' (omisso καὶ) Wdn 17 καίτοι] καὶ Dobr 18 προσταττομένων C: πραττομένων X ἐδαπανώμην Steph: ἐδαπανῶμεν X 20 γένοιτο X[1r], quamquam dubitari possit, an γίνοιτο (sic X[h]) sit 21 πάντων Wdn

παρ' αὐτῶν ἠξίουν τυγχάνειν, ἀλλὰ τοὺς πλεῖστα κακὰ ὑμᾶς εἰργασμένους εἰς τὰς τιμὰς καθίστασαν, ὡς ταύτην παρ' ἡμῶν πίστιν εἰληφότες. ἃ χρὴ πάντας ἐνθυμουμένους μὴ τοῖς τούτων λόγοις πιστεύειν, ἀλλὰ [καὶ] ἐκ τῶν ἔργων σκοπεῖν ἃ ἑκάστῳ τυγχάνει πεπραγμένα.

14 ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, οὔτε τῶν τετρακοσίων ἐγενόμην· ἢ τῶν κατηγόρων ὁ βουλόμενος παρελθὼν ἐλεγξάτω· οὐ τοίνυν οὐδ' ἐπειδὴ οἱ τριάκοντα κατέστησαν, οὐδείς με ἀποδείξει οὔτε βουλεύσαντα οὔτε ἀρχὴν οὐδεμίαν ἄρξαντα. καίτοι εἰ μὲν ἐξόν μοι ἄρχειν μὴ ἐβουλόμην, ὑφ' ὑμῶν νυνὶ τιμᾶσθαι δίκαιός εἰμι· εἰ δὲ οἱ τότε δυνάμενοι μὴ ἠξίουν μοι μεταδιδόναι τῶν πραγμάτων, πῶς ἂν φανερώτερον ἢ οὕτως ψευδομένους ἀποδείξαιμι τοὺς κατηγόρους;

15 Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ ἐκ τῶν ἄλλων τῶν ἐμοὶ πεπραγμένων ἄξιον σκέψασθαι. ἐγὼ γὰρ τοιοῦτον ἐμαυτὸν ἐν ταῖς τῆς πόλεως συμφοραῖς παρέσχον ὥστε, εἰ πάντες τὴν αὐτὴν γνώμην ἔσχον ἐμοί, μηδένα ἂν ὑμῶν μηδεμιᾷ χρήσασθαι συμφορᾷ. ὑπ' ἐμοῦ γὰρ ἐν τῇ ὀλιγαρχίᾳ οὔτε ἀπαχθεὶς οὐδεὶς φανήσεται, οὔτε τῶν ἐχθρῶν οὐδεὶς τετιμωρημένος, οὔτε τῶν φίλων εὖ πε-
16 πονθώς. (καὶ τοῦτο μὲν οὐκ ἄξιον θαυμάζειν· εὖ μὲν γὰρ ποιεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ χαλεπὸν ἦν, ἐξαμαρτάνειν δὲ τῷ βουλομένῳ ῥᾴδιον.) οὐ τοίνυν οὐδ' εἰς τὸν κατάλογον Ἀθηναίων καταλέξας οὐδένα φανήσομαι, οὐδὲ

---

1 παρ' αὐτῶν del. Dobr 3 παρ' ἡμῶν] παρ' αὐτῶν Tayl, παρ' ἀλλήλων Wdn πάντα pp. Herw, χρὴ ⟨καὶ ὑμᾶς⟩ πάντας Gebauer, χρὴ ⟨ὑμᾶς⟩ πάντας Wdn 4 καὶ del. Emperius, μᾶλλον Halb, πιστ. μᾶλλον ἢ ἐκ Wdn 6 οὔτε τῶν Markl: οὔτε ἐπὶ τῶν X 7 τῶν κατηγόρων deleverit Herw 8 οἱ τριάκοντα Markl: οἴδε X 13 ἢ οὕτως del. Fuhr 18 εἶχον Hude, sed cf. XXVI 18 19 χρήσασθαι Frb: χρῆσθαι X, quod defendit Gentsch, diss. Jen. IV 259, κεχρῆσθαι Rs 25 οὔτε δίαιταν X

δίαιταν καταδιαιτησάμενος οὐδενός, οὐδὲ πλουσιώτερος
ἐκ τῶν ὑμετέρων γεγονὼς συμφορῶν. καίτοι εἰ τοῖς τῶν
γεγενημένων κακῶν αἰτίοις ὀργίζεσθε, εἰκὸς καὶ τοὺς
μηδὲν ἡμαρτηκότας βελτίους ὑφ' ὑμῶν νομίζεσθαι. καὶ 17
μὲν δή, ὦ ἄνδρες δικασταί, μεγίστην ἡγοῦμαι περὶ ἐμαυ-
τοῦ τῇ δημοκρατίᾳ πίστιν δεδωκέναι. ὅστις γὰρ τότε
οὐδὲν ἐξήμαρτον οὕτω πολλῆς δεδομένης ἐξουσίας, ἦ
που νῦν σφόδρα προθυμηθήσομαι χρηστὸς εἶναι, εὖ εἰ-
δὼς ὅτι, ἐὰν ἀδικῶ, παραχρῆμα δώσω δίκην. ἀλλὰ γὰρ
τοιαύτην διὰ τέλους γνώμην ἔχω, ὥστε ἐν ὀλιγαρχίᾳ
μὲν μὴ ἐπιθυμεῖν τῶν ἀλλοτρίων, ἐν δημοκρατίᾳ δὲ τὰ
ὄντα προθύμως εἰς ὑμᾶς ἀναλίσκειν.

Ἡγοῦμαι δέ, ὦ ἄνδρες δικασταί, οὐκ ἂν δικαίως ὑμᾶς 18
μισεῖν τοὺς ἐν τῇ ὀλιγαρχίᾳ μηδὲν πεπονθότας κακόν,
ἐξὸν ὀργίζεσθαι τοῖς εἰς τὸ πλῆθος ἐξημαρτηκόσιν, οὐδὲ
τοὺς μὴ φυγόντας ἐχθροὺς νομίζειν, ἀλλὰ τοὺς ὑμᾶς
ἐκβαλόντας, οὐδὲ τοὺς προθυμουμένους τὰ ἑαυτῶν σῶ-
σαι, ἀλλὰ τοὺς τὰ τῶν ἄλλων ἀφῃρημένους, οὐδὲ οἳ τῆς
σφετέρας αὐτῶν σωτηρίας ἕνεκα ἔμειναν ἐν τῷ ἄστει,
ἀλλ' οἵτινες ἑτέρους ἀπολέσαι βουλόμενοι μετέσχον τῶν
πραγμάτων. εἰ δὲ οἴεσθε χρῆναι, οὓς ἐκεῖνοι παρέλιπον
ἀδικοῦντες, ὑμεῖς ἀπολέσαι, οὐδεὶς τῶν πολιτῶν ὑπο-
λειφθήσεται.

Σκοπεῖν δὲ χρὴ καὶ ἐκ τῶνδε, ὦ ἄνδρες δικασταί. 19
πάντες γὰρ ἐπίστασθε ὅτι ἐν τῇ προτέρᾳ δημοκρατίᾳ
τῶν τὰ τῆς πόλεως πραττόντων πολλοὶ μὲν τὰ δημόσια

---

3 ὀργίζεσθε Ald: ὀργίζοισθε X 8 προθυμήσομαι lib. Vind. 15 ἐξημαρτηκόσι ⟨πολλὰ⟩ malit Fuhr 16 ἐχθροὺς C: ἐκ τοῦ X 17 ἐκβαλόντας C: ἐκβάλλοντας X 18 ὑφῃρημένους Sauppe 22 ὑπολειφθήσεται Dobr: ἀπολειφθήσεται X

ἔκλεπτον, ἔνιοι δ' ἐπὶ τοῖς ὑμετέροις ἐδωροδόκουν, οἱ δὲ συκοφαντοῦντες τοὺς συμμάχους ἀφίστασαν. καὶ εἰ μὲν οἱ τριάκοντα τούτους μόνους ἐτιμωροῦντο, ἄνδρας ἀγαθοὺς καὶ ὑμεῖς ἂν αὐτοὺς ἡγεῖσθε· νῦν δέ, ὅτε ὑπὲρ τῶν ἐκείνοις ἡμαρτημένων τὸ πλῆθος κακῶς ποιεῖν ἠξίουν, ἠγανακτεῖτε, ἡγούμενοι δεινὸν εἶναι τὰ τῶν ὀλί-
20 γων ἀδικήματα πάσῃ τῇ πόλει κοινὰ γίγνεσθαι. οὐ τοίνυν ἄξιον χρῆσθαι τούτοις, οἷς ἐκείνους ἑωρᾶτε ἐξαμαρτάνοντας, οὐδὲ ἃ πάσχοντες ἄδικα ἐνομίζετε πάσχειν, ὅταν ἑτέρους ποιῆτε, δίκαια ἡγεῖσθαι, ἀλλὰ τὴν αὐτὴν κατελθόντες περὶ ἡμῶν γνώμην ἔχετε, ἥνπερ φεύγοντες περὶ ὑμῶν αὐτῶν εἴχετε· ἐκ τούτων γὰρ καὶ ὁμόνοιαν πλείστην ποιήσετε, καὶ ἡ πόλις ἔσται μεγίστη, καὶ τοῖς ἐχθροῖς ἀνιαρότατα ψηφιεῖσθε.

21 Ἐνθυμηθῆναι δὲ χρή, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἐπὶ τῶν τριάκοντα γεγενημένων, ἵνα τὰ τῶν ἐχθρῶν ἁμαρτήματα ἄμεινον ὑμᾶς ποιήσῃ περὶ τῶν ὑμετέρων αὐτῶν βουλεύσασθαι. ὅτε μὲν γὰρ ἀκούοιτε τοὺς ἐν ἄστει τὴν αὐτὴν γνώμην ἔχειν, μικρὰς ἐλπίδας εἴχετε τῆς καθόδου, ἡγούμενοι τὴν ἡμετέραν ὁμόνοιαν μέγιστον
22 κακὸν εἶναι τῇ ὑμετέρᾳ φυγῇ· ἐπειδὴ δὲ ἐπυνθάνεσθε τοὺς μὲν τρισχιλίους στασιάζοντας, τοὺς ἄλλους δὲ πολίτας ἐκ τοῦ ἄστεως ἐκκεκηρυγμένους, τοὺς δὲ τριάκοντα

4 νῦν δὲ a pr. m. ex νυνὶ X ὅτε Gebauer: ὅτι X 6 τὰ ὀλίγων Vischer, ὀλίγων a pr. m. ex λόγων X 8 χρῆσθαι ⟨παραδείγμασι⟩ τούτοις Herw 9 πάσχειν del. Herw, hoc et ἑτέρους deleverit Gebauer 10 ἡγεῖσθαι C: ἡγεῖσθε X ante ἀλλὰ non pauca deesse putat Pluygers 11 ἡμῶν Francken: αὐτῶν X, ἄλλων Auger, τῶν ἄλλων Wdn 12 περὶ ὑμῶν αὐτῶν del. Kayser 14 τἀνιαρότατα Wdn 18 ὅτε] ὁπότε Cob 21 κακὸν C, cod. Vind: ἀγαθὸν X ἐπυνθάνεσθε Markl: πυνθάνοισθε X 22 τοὺς δὲ ἄλλους C πολίτας del. Wdn 23 ἐκ τοῦ ἄστεος, quod X pone στασιάζοντας habet, huc transp. Fuhr, pone ἐκκεκ. transposuerat Tayl,

μὴ τὴν αὐτὴν γνώμην ἔχοντας, πλείους ⟨δὲ⟩ ὄντας τοὺς ὑπὲρ ὑμῶν δεδιότας ἢ τοὺς ὑμῖν πολεμοῦντας, τότ' ἤδη καὶ κατιέναι προσεδοκᾶτε καὶ παρὰ τῶν ἐχθρῶν λήψεσθαι δίκην. ταὐτὰ γὰρ τοῖς θεοῖς ηὔχεσθε, ἅπερ ἐκείνους ἑωρᾶτε ποιοῦντας, ἡγούμενοι διὰ τὴν τῶν τριάκοντα πονηρίαν πολὺ μᾶλλον σωθήσεσθαι ἢ διὰ τὴν τῶν φευγόντων δύναμιν κατιέναι. χρὴ τοίνυν, ὦ ἄνδρες 23 *δικασταί, τοῖς πρότερον γεγενημένοις παραδείγμασι χρωμένους βουλεύεσθαι περὶ τῶν μελλόντων ἔσεσθαι, καὶ τούτους ἡγεῖσθαι δημοτικωτάτους, οἵτινες ὁμονοεῖν ὑμᾶς βουλόμενοι τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμένουσι, νομίζοντες καὶ τῆς πόλεως ταύτην ἱκανωτάτην εἶναι σωτηρίαν καὶ τῶν ἐχθρῶν μεγίστην τιμωρίαν· οὐδὲν γὰρ ἂν εἴη αὐτοῖς τούτων χαλεπώτερον, ἢ πυνθάνεσθαι μὲν ἡμᾶς μετέχοντας τῶν πραγμάτων, αἰσθάνεσθαι δὲ οὕτως διακειμένους τοὺς πολίτας ὥσπερ μηδενὸς ἐγκλήματος πρὸς ἀλλήλους γεγενημένου. χρὴ δὲ εἰδέναι, ὦ ἄνδρες* 24 *δικασταί, ὅτι οἱ φεύγοντες τῶν ἄλλων πολιτῶν ὡς πλείστους καὶ διαβεβλῆσθαι καὶ ἠτιμῶσθαι βούλονται, ἐλπίζοντες τοὺς ὑφ' ὑμῶν ἀδικουμένους ἑαυτοῖς ἔσεσθαι συμμάχους, τοὺς δὲ συκοφάντας εὐδοκιμεῖν δέξαιντ' ἂν παρ' ὑμῖν καὶ μέγα δύνασθαι ἐν τῇ πόλει· τὴν γὰρ τούτων πονηρίαν ἑαυτῶν ἡγοῦνται σωτηρίαν.*

Ἄξιον δὲ μνησθῆναι ⟨καὶ⟩ τῶν μετὰ τοὺς τετρακοσίους πραγμάτων· εὖ γὰρ εἴσεσθε ὅτι, ἃ μὲν οὗτοι συμ- 25

---

del. Dobr, *στασ. τοὺς ἐξ ἄστεως* Bake 1 *δὲ* add. C, Cont 2 *ὑπὲρ ἡμῶν* C, *ὑπὲρ αὐτῶν* Dobr *τότε δὴ* pp. Herw 4 *ταὐτὰ* scripsi: *ταῦτα* X, *ταῦτα γάρ τοι* Pluygers 6 *σωθήσεσθαι* del. Pluygers 7 *κατιέναι* del. Sauppe 11 *βούλονται . . . ἐμμένοντας* Rs 13 *τιμωρίαν*] *ἀπορίαν* Wdn 14 *τούτων χαλεπώτερον* Gebauer: *χαλ. τούτων* X, aut *τούτων* aut *ἢ* delendum censet Rs 21 *δέξαιτ'* X, *εὔξαιντ'* Dobr 24 *καὶ* add. Baiter

βουλεύουσιν, οὐδεπώποτε ὑμῖν ἐλυσιτέλησεν, ἃ δ' ἐγὼ
παραινῶ, ἀμφοτέραις ἀεὶ ταῖς πολιτείαις συμφέρει. ἴστε
γὰρ Ἐπιγένην καὶ Δημοφάνην καὶ | Κλεισθένην ἰδίᾳ
μὲν καρπωσαμένους τὰς τῆς πόλεως συμφοράς, δημοσίᾳ
26 δὲ ὄντας μεγίστων κακῶν αἰτίους. ἐνίων μὲν γὰρ ἔπει-
σαν ὑμᾶς ἀκρίτων θάνατον καταψηφίσασθαι, πολλῶν δὲ
ἀδίκως δημεῦσαι τὰς οὐσίας, τοὺς δ' ἐξελάσαι καὶ ἀτι-
μῶσαι τῶν πολιτῶν· τοιοῦτοι γὰρ ἦσαν ὥστε τοὺς μὲν
ἡμαρτηκότας ἀργύριον λαμβάνοντες ἀφιέναι, τοὺς δὲ
μηδὲν ἠδικηκότας εἰς ὑμᾶς εἰσιόντες ἀπολλύναι. καὶ οὐ
πρότερον ἐπαύσαντο, ἕως τὴν μὲν πόλιν εἰς στάσεις καὶ
τὰς μεγίστας συμφορὰς κατέστησαν, αὐτοὶ δ' ἐκ πενή-
27 των πλούσιοι ἐγένοντο. ὑμεῖς δὲ οὕτως διετέθητε ⟨ὥστε⟩
τοὺς μὲν φεύγοντας κατεδέξασθε, τοὺς δ' ἀτίμους ἐπι-
τίμους ἐποιήσατε, τοῖς δ' ἄλλοις περὶ ὁμονοίας ὅρκους
ὤμνυτε· τελευτῶντες δὲ ἥδιον ἂν τοὺς ἐν τῇ δημοκρα-
τίᾳ συκοφαντοῦντας ἐτιμωρήσασθε ἢ τοὺς ἄρξαντας ἐν
τῇ ὀλιγαρχίᾳ. καὶ εἰκότως, ὦ ἄνδρες δικασταί· πᾶσι γὰρ
ἤδη φανερόν ἐστιν ὅτι διὰ τοὺς μὲν ἀδίκως πολιτευομέ-
νους ἐν τῇ ὀλιγαρχίᾳ δημοκρατία γίγνεται, διὰ δὲ τοὺς
ἐν τῇ δημοκρατίᾳ συκοφαντοῦντας ὀλιγαρχία δὶς κατ-
έστη. ὥστε οὐκ ἄξιον τούτοις πολλάκις χρῆσθαι συμβού-
28 λοις, οἷς οὐδὲ ἅπαξ ἐλυσιτέλησε πειθομένοις. σκέψασθαι
δὲ χρὴ ὅτι καὶ τῶν ἐκ Πειραιῶς οἱ μεγίστην δόξαν ἔχον-
τες καὶ μάλιστα κεκινδυνευκότες καὶ πλεῖστα ὑμᾶς ἀγαθὰ
εἰργασμένοι πολλάκις ἤδη τῷ ὑμετέρῳ πλήθει διεκελεύ-

3 Δημόφαντον (And. I 96) . . . Κλειγένην (Ar. Ran. 709) E. Schwartz 5 ⟨τῶν⟩ μεγίστων Wdn 8 ὥστε] οἷοι Herw 10 εἰσιόντες] εἰσάγοντες Cob 13 ὥστε add. C 15 τοῖς δ' ἄλλοις] ἀλλήλοις δὲ Dobr, ὡς δ' ἀλλήλοις (?) Wdn 22 πολλάκις pone ἐλυσιτέλησε transp. Frb 23 πιθομένοις Cob 26 διεκελεύσαντο Tayl: διελύσαντο X

σαντο τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμένειν, ἡγούμενοι ταύτην δημοκρατίας εἶναι φυλακήν· τοῖς μὲν γὰρ ἐξ ἄστεως ὑπὲρ τῶν παρεληλυθότων ἄδειαν ποιήσειν, τοῖς δ' ἐκ Πειραιῶς οὕτως πλεῖστον ⟨ἂν⟩ χρόνον τὴν πολιτείαν παραμεῖναι. οἷς ὑμεῖς πολὺ ἂν δικαιότερον 29 *πιστεύοιτε ἢ τούτοις, οἳ φεύγοντες μὲν δι' ἑτέρους ἐσώθησαν, κατελθόντες δὲ συκοφαντεῖν ἐπιχειροῦσιν. ἡγοῦμαι δέ, ὦ ἄνδρες δικασταί, τοὺς μὲν τὴν αὐτὴν γνώμην ἔχοντας ἐμοὶ τῶν ἐν ἄστει μεινάντων φανεροὺς γεγενῆσθαι καὶ ἐν ὀλιγαρχίᾳ καὶ ἐν δημοκρατίᾳ, ὁποῖοί τινές εἰσι πολῖται· τούτων δ' ἄξιον θαυμάζειν, ὅ τι ἂν ἐποίη-* 30 *σαν, εἴ τις αὐτοὺς εἴασε τῶν τριάκοντα γενέσθαι, οἳ νῦν δημοκρατίας οὔσης ταὐτὰ ἐκείνοις πράττουσι, καὶ ταχέως μὲν ἐκ πενήτων πλούσιοι γεγένηνται, πολλὰς δὲ ἀρχὰς ἄρχοντες οὐδεμιᾶς εὐθύνην διδόασιν, ἀλλ' ἀντὶ μὲν ὁμονοίας ὑποψίαν πρὸς ἀλλήλους πεποιήκασιν, ἀντὶ δὲ εἰρήνης πόλεμον κατηγγέλκασι, διὰ τούτους δὲ ἄπιστοι τοῖς Ἕλλησι γεγενήμεθα. καὶ τοσούτων κακῶν καὶ ἑτέρων* 31 *πολλῶν ὄντες αἴτιοι, καὶ οὐδὲν διαφέροντες τῶν τριάκοντα πλὴν ὅτι ἐκεῖνοι μὲν ὀλιγαρχίας οὔσης ἐπεθύμουν ὧνπερ οὗτοι, οὗτοι δὲ καὶ δημοκρατίας τῶν αὐτῶν ὧνπερ ἐκεῖνοι, ὅμως οἴονται χρῆναι οὕτως ῥᾳδίως ὃν ἂν βούλωνται κακῶς ποιεῖν, ὥσπερ τῶν μὲν ἄλλων ἀδικούντων, ἄριστοι δὲ ἄνδρες αὐτοὶ γεγενημένοι. (καὶ τούτων* 32

---

2 *ταύτην* ⟨*μόνην* vel *μεγίστην* vel *βεβαιοτάτην*⟩ Rs, ⟨*ἱκανωτάτην*⟩ *φυλ.* Herw, *ἀσφαλεστάτην* prop. Fuhr 4 *οὕτως* est in X *ἂν* hic add. Gebauer, pone *πολιτείαν* Tayl, pone *οὕτως* Fuhr, *παραμενεῖν* Zaka 11 *τί ἂν* Kayser, *ὅτι κἂν* Wdn 15 *εὔθυναν* malit Scheibe, *εὐθύνας* Cob 20 *τῶν αὐτῶν* pone *ἐπεθ.* add. Pluygers, illuc transp. Herw 21 *οὗτοι δὲ καὶ* est in X, *καὶ* om. Bekker 22 *ὅμως* Rs: *ὁμοίως* X 24 parenthesin indicavit Dryander, *καίτοι τούτων* Rauch, *ἢ τούτων . . . διδόντες*; Kayser

*μὲν οὐκ ἄξιον θαυμάζειν, ὑμῶν δέ, ὅτι οἴεσθε μὲν δη-
μοκρατίαν εἶναι, γίγνεται δὲ ὅ τι ἂν οὗτοι βούλωνται,
καὶ δίκην διδόασιν οὐχ οἱ τὸ ὑμέτερον πλῆθος ἀδικοῦν-
τες, ἀλλ' οἱ τὰ σφέτερα αὑτῶν μὴ διδόντες). καὶ δέξαιντ'
ἂν μικρὰν εἶναι τὴν πόλιν μᾶλλον ἢ δι' ἄλλους μεγάλην*
33 *καὶ ἐλευθέραν, ἡγούμενοι νῦν μὲν διὰ τοὺς ἐκ Πειραιῶς
κινδύνους αὑτοῖς ἐξεῖναι ποιεῖν ὅ τι ἂν βούλωνται, ἐὰν
δ' ὕστερον ὑμῖν δι' ἑτέρους σωτήρια γένηται, τούτους
μὲν πεπαύσεσθαι, ἐκείνους δὲ μεῖζον δυνήσεσθαι· ὥστε
τὸ αὐτὸ πάντες ἐμποδών εἰσιν, ἐάν τι δι' ἄλλων ἀγαθὸν*
34 *ὑμῖν φαίνηται. τοῦτο μὲν οὖν οὐ χαλεπὸν τῷ βουλομένῳ
κατανοῆσαι· αὐτοί τε γὰρ οὐκ ἐπιθυμοῦσι λανθάνειν,
ἀλλ' αἰσχύνονται μὴ δοκοῦντες εἶναι πονηροί, ὑμεῖς τε
τὰ μὲν αὐτοὶ ὁρᾶτε τὰ δ' ἑτέρων πολλῶν ἀκούετε. ἡμεῖς
δέ, ὦ ἄνδρες δικασταί, δίκαιον μὲν ἡγούμεθ' εἶναι πρὸς
πάντας ὑμᾶς τοὺς πολίτας ταῖς συνθήκαις καὶ τοῖς ὅρ-
κοις ἐμμένειν, ὅμως δέ, ὅταν μὲν ἴδωμεν τοὺς τῶν κα-*
35 *κῶν αἰτίους δί|κην διδόντας, τῶν τότε περὶ ὑμᾶς γεγενη-*

4 *δέξαι τ'* X 5 *⟨δι' ἑαυτοὺς⟩ μικρὰν* Rs 6 *τοὺς ⟨τῶν⟩ ἐκ* Sauppe 7 *κινδύνους* del. vel *κινδυνεύσαντας* Scheibe, *ἀκινδύνως* P. Müller 8 *δι' ἑτέρους* Tayl: *δι' ἑτέρου* X, *δι' ἑτέρων* C, Markl *σωτήρια* Frb: *σωτηρία* X 9 *πεπαύσεσθαι* Gebauer: *ἐπιλύσασθαι* X, *παύσεσθαι* olim Herw, *ἐπιλήσεσθαι* vel *ἐπιλησθήσεσθαι* Cont, *ὑποδύσεσθαι* Sauppe, *ἐπιλήψεσθαι*(?) Wdn, *ἐκλυθήσεσθαι* vel *ἐκλύσεσθαι* Rauch, *αὐτοὶ μὲν καταλύσεσθαι* Herw, *τούτων μὲν ὑμᾶς ἐπιλήσεσθαι* Francken, *τούτου μὲν ἀπελαθήσεσθαι* Scheibe, *ἐπιλύσεσθαι* (vel *ἐπικωλύσειν*), *ἐκείνους δὲ μεῖον δ.* Reuss 10 *τὸ αὐτὸ πάντες*] *τούτῳ πάντες* Markl, *τῷ αὐτῷ πάντες* Baiter, *διὰ τοῦτο πάντως* Frb, *τοῦτο δείσαντες* Kayser, *τοῦτ' αὐτὸ δείσαντες* Scheibe, *τοῦτο ὑποτοποῦντες* Sauppe, *τοῦτο γνόντες* vel *ὑποπτεύσαντες* P. Müller, *τοιοῦτοί γ' ὄντες* West, *συκοφαντοῦντες* Francken, *αὐτίκα πάντες* Halb, *αὐτὸ τοῦτο πάντες* Fuhr, *τὸ αὐτὸ πράττοντες* Wdn, *⟨φρονοῦντες⟩ τὸ αὐτὸ πάντες* Rs, sed idem fere („una omnes") valent, quae X habet 12 *κατανοῆσαι* C: *κατηγορῆσαι* X *αὐτοί τε* est in X 13 *ὑμεῖς τε* Rs: *ὑμεῖς δὲ* X 18 *περὶ ὑμᾶς* C: *περὶ ἡμᾶς* X

μένων μεμνημένοι συγγνώμην ἔχομεν, ὅταν δὲ φανεροὶ γένησθε τοὺς μηδὲν αἰτίους ἐξ ἴσου τοῖς ἀδικοῦσι τιμωρούμενοι, τῇ αὐτῇ ψήφῳ πάντας ἡμᾶς εἰς ὑπο⟨ψίαν καταστήσετε⟩ . . . . . .

26.

⟨ΠΕΡΙ ΤΗΣ ΕΥΑΝΔΡΟΥ ΔΟΚΙΜΑΣΙΑΣ.⟩

. . . . *οὐδ' ἡγούμενος ἀκριβῆ νῦν τὴν δοκιμασίαν αὐ-* 1
τοὺς διὰ τὸν χρόνον ποιήσεσθαι, ἐπεὶ σύνοισθα πολλὰ καὶ δεινὰ εἰς αὐτοὺς ἐξημαρτηκώς, ὧν ἐπιλελῆσθαι καὶ οὐδ' ἀναμνησθήσεσθαι ἐνίων αὐτοὺς νομίζεις. ὃ δὴ ἔγωγε καὶ ἀγανακτῶ, εἰ ταύτῃ τῇ ἐλπίδι εἰς ὑμᾶς ἥκει πιστεύων, ὥσπερ ἄλλων μέν τινων ὄντων τῶν ἠδικημένων, ἑτέρων δὲ τῶν ταῦτα διαψηφιουμένων, ἀλλ' οὐκ ἀμφότερα τῶν αὐτῶν καὶ πεπονθότων καὶ ἀκουσομένων. αἴτιοι δὲ τούτων ὑμεῖς ἐστε· οὐ γὰρ ἐνθυμεῖσθε ὅτι 2
οὗτοι μέν, ὅτε ἡ πόλις ὑπὸ [τῶν] Λακεδαιμονίων ἤρχετο, οὐδὲ τῆς αὐτῆς δουλείας ὑμῖν μεταδοῦναι ἠξίωσαν, ἀλλὰ κἀκ τῆς πόλεως ἐξήλασαν· ὑμεῖς δ' ἐλευθέραν αὐτὴν ποιήσαντες οὐ μόνον τῆς ἐλευθερίας αὐτοῖς ἀλλὰ καὶ τοῦ δικάζειν καὶ τοῦ ἐκκλησιάζειν περὶ τῶν κοινῶν μετέδοτε, ὥστε εἰκότως ὑμῶν ταύτην τὴν εὐήθειαν κατα-

---

1 *ἕξομεν* Herw 3 *ὑπο⟨ψίαν καταστήσετε⟩* supplevit Francken 5 Or. XXVI. Ante hanc orationem in X sedecim paginarum quaternio interiit. Titulus ex indice suppletus, quo totam orationem *κατὰ Νικίδου ἀργίας* in foliis deperditis extitisse docemur 7 *οὐδ'* agnoscitur in X[s], *οὐκ* Tayl, *οὐκ ἂν* P. Müller *δοκιμασίαν* habet X 8 *διὰ χρόνου* Rs *ποιήσεσθαι* C: *ποιήσασθαι* X 10 *ἐνίων αὐτοὺς* P. Müller: *ἐνίους αὐτῶν* X, ⟨*αὐτοὺς*⟩ *καὶ οὐδ'* deleto quod sequitur *αὐτῶν* Francken 13 *ταῦτα*] *ἐνταῦθα* Halb 14 *ἀμφότερα* habet X, cf. Isocr. VIII 139 16 *τῶν* del. Pertz *αὐτῆς* del. vel *αὐτῆς τῆς* Dobr 17 *ὑμῖν* C corr.: *ἡμῖν* X 18 *κἀκ* Fuhr, coll. III 40. 43, XIII 47: *καὶ* X *ἐξήλασαν*, adhuc distinguebatur 21 *ταύτην τὴν* del.

3 γιγνώσκουσιν. ὧν εἷς οὗτος ὢν οὐκ ἀγαπᾷ εἴ τις αὐτὸν
ἐᾷ τούτων μετέχειν, ἀλλὰ καὶ πρὶν ἐκείνων δοῦναι δίκην
πάλιν ἄρχειν ἀξιοῖ. καὶ νυνὶ αὐτὸν ἀκούω μὲν ὑπὲρ
τῶν αὑτοῦ κατηγορουμένων διὰ βραχέων ἀπολογήσεσθαι,
ἐπισύροντα τὰ πράγματα καὶ διακλέπτοντα τῇ ἀπολογίᾳ
τὴν κατηγορίαν, λέξειν δὲ ὡς πολλὰ εἰς τὴν πόλιν
ἀνηλώκασι καὶ φιλοτίμως λελητουργήκασι καὶ νίκας
πολλὰς καὶ καλὰς ἐν δημοκρατίᾳ νενικήκασι, καὶ ὅτι
αὐτὸς κόσμιός ἐστι καὶ οὐχ ὁρᾶται ποιῶν ἃ ἕτεροι ἐν-
4 ταῦθα τολμῶσιν, ἀλλὰ τὰ ἑαυτοῦ πράττειν ἀξιοῖ. ἐγὼ
δὲ πρὸς τούτους τοὺς λόγους οὐ χαλεπὸν οἶμαι ἀντειπεῖν·
πρὸς μὲν τὰς λητουργίας, ὅτι κρείττων ἦν ὁ πατὴρ αὐ-
τοῦ μὴ λητουργήσας ἢ τοσαῦτα τῶν ἑαυτοῦ ἀναλώσας·
διὰ γὰρ ταῦτα πιστευθεὶς ὑπὸ τοῦ δήμου κατέλυσε τὴν
δημοκρατίαν, ὥστ' εἶναι ταῦτα τὰ ἔργα ἀειμνηστότερα
5 ἢ τὰ ἐκ τῶν λητουργιῶν αὐτῷ ἀναθήματα· πρὸς δὲ τὴν
ἡσυχιότητα τὴν τούτου, ὅτι οὐ νῦν δεῖ αὐτὸν ἐξετάζειν
εἰ σώφρων ἐστίν, ὅτ' αὐτὸν οὐκ ἔξεστιν ἀσελγαίνειν,
ἀλλ' ἐκεῖνον τὸν χρόνον σκοπεῖν, ἐν ᾧ ἐξὸν ὁποτέρως
ἐβούλετο ζῆν εἵλετο παρανόμως πολιτευθῆναι. τοῦ μὲν
γὰρ νῦν μηδὲν ἐξαμαρτάνειν οἱ κωλύσαντες αἴτιοι, τῶν
δὲ τότε γενομένων ὁ τούτου τρόπος καὶ οἱ τούτῳ ἐπι-
τρέπειν ἀξιοῦντες. ὥστ' ἐὰν ἐκ τούτων δοκιμάζεσθαι

Francken, τὴν del. Rauch, τὴν ἐσχάτην εὐ. Rs An. II 91, πλεί-στην εὐ. Kayser 3 ἀκούω μὲν Scheibe: ἀκούομεν X, ἀκούω Francken, ἀκούω μέλλειν P. Müller, ἀκούω ὑπὲρ μὲν Rauch 4 τῶν αὑτοῦ κατηγορουμένων Baiter: ὧν αὐτὸν κατηγοροῦ-μεν ὢν X, αὐτῶν τῶν κατηγορουμένων Zaka ἀπολογήσασθαι X 6 ⟨οἱ πρόγονοι⟩ πολλὰ Tayl 15 ὥστ'] malim καὶ cf. Jahn. ann. CXVII 552 16 αὐτῷ, quod pendet a voce ἀειμνηστότερα cf. Lyc. Leocr. 129 ὑμῖν] αὑτοῦ Markl, αὐτῶν Rs ἀναλώματα Markl 18 αὐτὸν del. Cob οὐκ ⟨ἔτι⟩ Herw 20 τοῦ νῦν μὲν γὰρ Rs 21 κωλύσοντες Dobr, κωλύ-οντες Zaka

ἄξιοι, ταῦτα χρὴ ὑπολαμβάνειν, μὴ εὐήθεις αὐτῷ εἶναι δοκῆτε.

Ἐὰν δὲ καὶ ἐπὶ τοιόνδε λόγον τράπωνται, ὡς ὁ χρόνος 6
οὐκ ἐγχωρεῖ ἄλλον ἀποκληρῶσαι, ἀλλὰ ἀνάγκη, ἐὰν αὐτὸν ἀποδοκιμάσητε, ἄθυτα τὰ πάτρια ἱερὰ γίγνεσθαι, τάδ' ἐνθυμήθητε, ὅτι πάλαι ὁ χρόνος ἤδη παρελήλυθεν. ἡ γὰρ αὔριον ἡμέρα μόνη λοιπὴ τοῦ ἐνιαυτοῦ ἐστιν, ἐν δὲ ταύτῃ τῷ Διὶ τῷ σωτῆρι θυσία γίγνεται, δικαστήριον δὲ παρὰ τοὺς νόμους ἀδύνατον πληρωθῆναι. εἰ δὲ 7
ταῦτα πάνθ' οὗτος ὥστε γενέσθαι διαπέπρακται, τί ⟨χρὴ⟩ προσδοκῆσαι δοκιμασθέντ' αὐτὸν ποιήσειν, εἰ τὴν ἐξιοῦσαν ἀρχὴν πέπεικεν αὐτοῦ ἕνεκα παρανομῆσαι; ἆρ' ἂν ὀλίγα τοιαῦτα ἐν τῷ ἐνιαυτῷ διαπράξασθαι; ἐγὼ μὲν γὰρ οὐκ ἂν οἶμαι. ἔστι δ' ὑμῖν ⟨οὐ⟩ τοῦτο μόνον 8
σκεπτέον, ἀλλὰ καὶ πότερον εὐσεβέστερον τὸν βασιλέα καὶ τοὺς συνάρχοντας τὰ ὑπὲρ τοῦ μέλλοντος ἄρξειν ἱερὰ θῦσαι, ὡς καὶ πρότερον ἤδη γεγένηται, ἢ καὶ τοῦτον, ὃν οὐδὲ καθαρὸν εἶναι τὰς χεῖρας οἱ εἰδότες μεμαρτυρήκασι, καὶ πότερον ὑμεῖς ὠμόσατε εἰς τὴν ἀρχὴν ἀδοκίμαστον καταστήσειν, ἢ δοκιμάσαντες τὸν ἄξιον τῆς ἀρχῆς | στεφανώσειν. ταῦτα γὰρ σκοπεῖσθε· κἀκεῖνο 9

1 ⟨ἵνα⟩ μὴ Rs 2 δοκεῖτε superscripto η X 3 ὁ χρόνος del. P. Müller, συγχωρεῖ Cob, sed cf. Ant. VI 45, [Demosth.] XLIV 45 6 τάδ'] τόδ' P. Müller ἤδη del. Cob 9 παρὰ] κατὰ Dobr, sed cf. Demosth. XVIII 239 ἀδύνατον Cont: δυνατὸν X, οὐ δυνατὸν C κληρωθῆναι Markl, sed cf. Isae. VI 37, Demosth. XXIV 92 10 ὥστε ⟨ἄρχων⟩ P. Müller, [ὥστε γενέσθαι] ⟨ἰδίᾳ⟩ διαπέπρακται Francken, διαπ. ⟨ἀδοκίμαστος ὢν vel ἰδιωτεύων⟩ Rs, διαπ., ⟨κολαστέος μᾶλλον ἢ τιμητέος. ἢ⟩ Dobr 11 χρὴ add. Gebauer arg. 274, δεῖ post προσδ. add. Ald, προσδοκᾶτε C δοκιμασθέντ' C, Ald: δοκισθέντ' X 12 ἐξιοῦσαν cod. Vind: ἀξιοῦσαν X 13 ἐν τῷ⟨ἑαυτοῦ⟩ Rs, ἐν τῷ ⟨ὅλῳ⟩ P. Müller 14 οὐ add. C, Steph. 17 καὶ post ἢ del. Auger, sed cf. Ant. V 23. And I 140 21 γὰρ] γοῦν Tayl, del. Cob

⟨δ'⟩ ἐνθυμεῖσθε, ὅτι ὁ θεὶς τὸν περὶ τῶν δοκιμασιῶν νόμον οὐχ ἥκιστα [περὶ] τῶν ἐν ὀλιγαρχίᾳ ἀρξάντων ἕνεκα ἔθηκεν, ἡγούμενος δεινὸν εἶναι, εἰ δι' οὓς ἡ δημοκρατία κατελύετο, οὗτοι ἐν τῇ αὐτῇ πολιτείᾳ πάλιν ἄρξουσι, καὶ κύριοι γενήσονται τῶν νόμων καὶ τῆς πόλεως, ἣν πρότερον παραλαβόντες οὕτως αἰσχρῶς καὶ δεινῶς ἐλωβήσαντο. ὥστ' οὐκ ἄξιον τῆς δοκιμασίας ὀλιγώρως ἔχειν, οὐδὲ μικρὸν ἡγουμένους τὸ πρᾶγμα μὴ φροντίζειν αὐτῆς, ἀλλὰ φυλάττειν· ὡς ἐν τῷ ἕκαστον δικαίως ἄρχειν ἥ τε πολιτεία καὶ τὸ ἄλλο πλῆθος τὸ ὑμέτερον σῴζεται.

10 ⟨καὶ⟩ εἰ μὲν βουλεύσων νυνὶ ἐδοκιμάζετο καὶ ὡς ἱππευκότος αὐτοῦ ἐπὶ τῶν τριάκοντα τοὔνομα ἐν ταῖς σανίσιν ἐνεγέγραπτο, καὶ ἄνευ κατηγόρου ἂν αὐτὸν ἀπεδοκιμάζετε· νῦν δέ, ὅτε [μὴ μόνον ἱππευκὼς μηδὲ βεβουλευκώς, ἀλλὰ] καὶ εἰς τὸ πλῆθος ἐξημαρτηκὼς φαίνεται, οὐκ ἂν ἄτοπον ποιήσαιτε, εἰ μὴ τὴν αὐτὴν γνώ-
11 μην ἔχοντες περὶ αὐτοῦ φανεῖσθε; καὶ μὲν δὴ βουλεύειν γε δοκιμασθεὶς πεντακοσιοστὸς ὢν μετὰ τῶν ἄλλων ἐνιαυτὸν ἂν μόνον ἐβούλευσεν, ὥστε καὶ εἴ τι ἐν τούτῳ τῷ χρόνῳ ἐξαμαρτάνειν ἐβούλετο, ῥᾳδίως ἂν ὑπὸ τῶν

---

1 δ' add. Cob post Reiskium, ⟨ἔτι δὲ⟩ κἀκ. Gebauer 2 περὶ del. Cont, καὶ Rs, defendit Bernhardy synt. 200 3 δημοκρατία] πολιτεία Halb 4 κατελύθη Cob τῇ αὐτῇ Auger: αὐτῇ τῇ X, αὐτῇ ταύτῃ τῇ P. Müller, ταύτῃ τῇ Herw, τῇ πολιτείᾳ del. Bekker 6 ἣν ⟨ὑγιᾶ vel ἀκέραιον⟩ Rs, ἣν ⟨μεγάλην καὶ ὀνομαστὴν⟩ Francken πρότερον] πρωτεύουσαν Herw παραλαβόντες Markl: προλαβόντες X 8 τὸ ante πρᾶγμα del. Dobr 10 ἄλλο del. Herw 11 καὶ add. P. Müller, spatium trium litt. in X^h, καίτοι Rauch, εἰ μὲν ⟨δὴ⟩ C ἐδοκιμάζετε X 12 τοὔνομα Rs An. II 92: ἅρμα X, ὄνομα Schott, γράμμα Emperius, ἁμάρτημα Reuss 14 μὴ μόνον . . . 15 καὶ del. P. Müller, καὶ retin. Roehl, μηδὲ βεβουλευκὼς om. C, ὅτι οὐ μόνον Rauch 17 φανεῖσθε Tayl: φανοῖσθε X, φαίνοισθε Cob 18 ⟨αὐτὸς⟩ ὢν P. Müller 19 ἐβούλευσεν est in X, ἐβούλευεν Cob

ἄλλων ἐκωλύετο. ταύτης δὲ τῆς ἀρχῆς ἀξιούμενος αὐτὸς
καθ' αὑτὸν ἄρξει, καὶ μετὰ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς
τὸν ἅπαντα χρόνον τῶν μεγίστων κύριος γενήσεται·
ὥστε ὑμῖν καθήκειν περὶ ταύτης τῆς ἀρχῆς ἀκριβεστέραν 12
τὴν δοκιμασίαν ἢ περὶ τῶν ἄλλων ἀρχῶν ποιεῖσθαι. εἰ
δὲ μή, πῶς οἴεσθε τὸ ἄλλο πλῆθος τῶν πολιτῶν δια-
κείσεσθαι, ὅταν αἴσθωνται, ⟨ὃν⟩ προσῆκε δίκας τῶν
ἡμαρτημένων διδόναι, τοῦτον ὑφ' ὑμῶν τοιαύτης ἀρχῆς
ἠξιωμένον; καὶ φόνου δίκας δικάζοντα, ὃν ἔδει αὐτὸν
ὑπὸ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς κρίνεσθαι; καὶ πρὸς
τούτοις ἴδωσιν ἐστεφανωμένον, καὶ ἐπικλήρων καὶ ὀρ-
φανῶν κύριον γεγενημένον, ὧν ἐνίοις αὐτὸς ὢν οὗτος
τῆς ὀρφανίας αἴτιος ἀποδέδεικται; ἆρ' οὐκ ἂν οἴεσθε 13
αὐτοὺς χαλεπῶς διακεῖσθαι καὶ ὑμᾶς αὐτῶν αἰτίους
ἡγήσασθαι, ὅταν γένωνται ἐν ἐκείνοις τοῖς χρόνοις, ἐν
οἷς αὐτῶν πολλοὶ εἰς τὸ δεσμωτήριον ἀπήγοντο καὶ
ἄκριτοι ὑπὸ τούτων ἀπώλλυντο καὶ φεύγειν τὴν σφε-
τέραν αὐτῶν ἠναγκάζοντο; κἀκεῖνο προσενθυμηθῶσιν,
ὅτι ὁ αὐτὸς οὗτος ἀνὴρ [Θρασύβουλος] αἴτιος γεγένηται

---

1 *ταύτην δὲ τὴν ἀρχὴν* Markl *ἀξιούμενος* scripsi: *ἀξιοῖ μόνος* X, *ἀξιούμενος ἀξιοῖ μόνος* Dryander, *ἠξιωμένος* Wdn, *μόνος* del. Pluygers 2 *ἄρξει* Wdn: *ἄρχειν* X *καὶ μετασχὼν ἔπειτα τῆς* Kayser 3 *ἅπαντα ⟨ἔπειτα⟩ χρόνον* P. Müller *γενήσεται* scripsi: *τε γενέσθαι* X, *ἔσται* Wdn 4 *καθήκει* Francken, *προσήκειν* Franz 5 *ἀρχῶν* deleverit Herw, malim *ἁπασῶν* 6 *πῶς* C: *ὡς* X 7 *ὃν* post *αἴσθωνται*, non post 9 *δικάζοντα* om. X 12 *ὢν* om. C, *ὢν τοιοῦτος* Ald 13 *ἀποδέδεικται* scripsi cf. § 8 XIII 95. [XV 11]: *γεγένηται* X *οὐκ ἂν* P. Müller: *οὖν* X, *οὐκ* Steph 14 *διακεῖσθαι* X, *διακείσεσθαι* et *ἡγήσεσθαι* C, Steph *αὐτῶν* (post *ὑμᾶς*)] *πάντων* Markl 15 *ὅταν γένωνται*] cf. Plat Menex. 239[d] Aesch. III 152, *τῇ διανοίᾳ* post *γέν.* add. Cob, *ὅσα ἐγένοντο* Markl, *ὅσα γεγένηται* Kayser, *ὅταν ⟨αὖ⟩ γένωνται* aut *τῶν αὐτῶν αἰτ. ἡγ. ὅσα γεγένηται* Scheibe, *ὅταν ἐννοῶνται ἐν ἐκ. τ. χρ. ὡς αὐτῶν* Sluiter, *ὅταν γένηται ἃ γεγένηται* P. Müller 18 *κἀκεῖνο* C, Ald: *κἀκεῖνοι* X, *κἂν ἐκεῖνοι* Scheibe 19 *Θρασύ-*

Λεωδάμαντά τε ἀποδοκιμασθῆναι καὶ τοῦτον δοκιμασθῆναι, τοῦ μὲν κατήγορος γενόμενος, ὑπὲρ τούτου δὲ ἀπολογήσασθαι παρασκευασάμενος, ⟨εὖ εἰδὼς⟩ ὅπως πρὸς τὴν πόλιν διάκειται καὶ πόσων αἴτιος αὐτῇ κακῶν γε-
14 *γένηται; ἢ πειθόμενοι πῶς ἂν οἴεσθε διαβληθῆναι; τότε μὲν γὰρ ὑμᾶς ᾤοντο ὀργισθέντας Λεωδάμαντα ἀποδοκιμάσαι· ἐὰν δὲ τοῦτον δοκιμάσητε, εὖ εἴσονται ὅτι οὐ δικαίᾳ γνώμῃ περὶ αὐτοῦ κέχρησθε. ἔστι δὲ τούτοις μὲν πρὸς ὑμᾶς ἀγών, ὑμῖν δὲ πρὸς ἅπασαν τὴν πόλιν,*
15 *ἢ σκοπεῖ νυνὶ τίνα ὑμεῖς γνώμην περὶ αὐτῆς ἕξετε. καὶ μηδεὶς ὑμῶν ἡγείσθω με Λεωδάμαντι χαριζόμενον κατηγορεῖν Εὐάνδρου, ὅτι φίλος ὢν τυγχάνει, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῆς πόλεως προνοούμενον. ῥᾴδιον δ' ἐξ αὐτοῦ τοῦ πράγματος μαθεῖν. Λεωδάμαντι γὰρ συμφέρει τοῦτον δοκιμασθῆναι, οὕτω γὰρ ὑμεῖς μάλιστα διαβληθήσεσθε, καὶ δόξετε ἀντὶ δημοτικῶν ἀνθρώπων ὀλιγαρχικοὺς εἰς τὰς ἀρχὰς καθιστάναι· ὑμῖν δὲ τόνδε ἀποδοκιμάσαι, δόξετε γὰρ κἀκεῖνον δικαίως [ἂν] ἀποδοκιμάσαι· ἐὰν δὲ μηδὲ τόνδε, οὐδ' ἐκεῖνον δικαίως.*

16 *Καίτοιγε αὐτὸν ἀκούω λέξειν ὡς οὐ περὶ αὐτοῦ μόνου ἡ δοκιμασία ἐστίν, ἀλλὰ περὶ πάντων τῶν ἐν ἄστει μει-*

βουλος del. Kayser 1 *Λαοδάμαντά γε* X 3 *παρεσκευασμένος* Scaliger *εὖ εἰδὼς* addidi, *οὐκ ἐνθυμούμενος* Rs An. II 92, ὃς add. C, quem editores sequuntur lacuna post *γεγένηται* indicata, *ὃν ἴστε* (vel *ἴσασι*) *πάντες* Rs, ὃς *σιωπῶ* add. Dryander, ὃς *πῶς* Hude 4 *διάκειται* Scaliger, Euandrum puta: *διακεῖσθαι* X, *διέκειτο* C *ὁπόσων* Dryander 5 ἢ] ᾗ Schott *πιθόμενοι* Cob *τότε* C: *ὅτε* X 6 *λαοδάμαντι* X[1] *ἀποδοκιμάσαι* C: *ἀποδοκιμάσητε* X 7 *τοῦτον* Markl: *αὐτὸν* X, *αὖ τοῦτον* Rs, *αὐτὸν νῦν* Schott, *Εὔανδρον* Halb 9 *ἀγὼν* Tur: *ἀγὼν* X, *ὁ ἀγὼν* Franz 10 *ἣ σκοπεῖ* ex *ἢ σκοπεῖν* a pr. m. X 11 hic et 14 in X est *λεωδάμαντι* 12 *ὅτι . . . τυγχάνει* vel ponenda ante *κατηγορεῖν* vel potius delenda, Dobr 17 *καθιστάνειν* X 18 *ἂν* del. Dobr 19 *μὴ τόνδε* C *οὐδ'* C: *οὐκ* X 20 *μόνου* ci. Hude

νάντων, καὶ τοὺς ὅρκους καὶ τὰς συνθήκας ὑμᾶς ὑπο-
μνήσειν, ὡς ἐκ τούτων προσληψόμενον αὐτὸν δοκιμαστὰς
τοὺς ἐν ⌈*ἄστει* ⌊ *μείναντας. ἐγὼ δ' ὑπὲρ τοῦ πλήθους*
βραχέα πρὸς αὐτὸν εἰπεῖν βούλομαι, ὅτι ὁ δῆμος οὐ τὴν
αὐτὴν γνώμην ἔχει περὶ πάντων τῶν ἐν ἄστει μεινάν-
των, ἀλλὰ περὶ μὲν τῶν τοιαῦτα ἐξα|μαρτανόντων οἵαν
ἐγώ φημι δεῖν, περὶ δὲ τῶν ἄλλων τὴν ἐναντίαν. τεκ- 17
μήριον δέ· οὐ γὰρ ἔλαττον τούτους ἡ πόλις τετίμηκε
τῶν ἐπὶ Φυλὴν ἐλθόντων καὶ τὸν Πειραιᾶ καταλαβόν-
των. εἰκότως· τοὺς μὲν γὰρ ἴσασιν ὁποῖοί τινες ἐν δη-
μοκρατίᾳ μόνῃ γεγένηνται, ὁποῖοι δ' ἂν τινες ἐν ὀλι-
γαρχίᾳ γένοιντο, οὔπω πεῖραν εἰλήφασι· παρὰ δὲ τούτων
ἑκατέρας τῆς πολιτείας ἱκανὴν βάσανον ἔχουσιν, ὥστ'
εἰκότως πιστεύειν. καὶ ἡγοῦνταί γε διὰ μὲν τοὺς τοι- 18
ούτους συλληφθέντας τότε ἀποθανεῖν, διὰ δὲ τοὺς ἄλ-
λους [τοὺς συλληφθέντας] ἐκφυγεῖν, ἐπεὶ εἴ γε τὴν αὐ-
τὴν γνώμην ἅπαντες ἔσχον, οὔτ' ἂν φυγὴ οὔτ' ἂν κά-
θοδος οὔτ' ἄλλο οὐδὲν ἂν τῶν γεγενημένων τῇ πόλει
συνέβη. ἀλλὰ καὶ ὃ ἄλογον δοκεῖ εἶναι παρά τισιν, 19
ὅπως ποτὲ πολλοὶ ὄντες ὑπ' ὀλίγων τῶν ἐν Πειραιεῖ
ἡττήθησαν, οὐδαμόθεν ἄλλοθεν ἢ ἐκ τῆς τούτων προ-
νοίας γεγένηται· οὗτοι γὰρ εἵλοντο μετὰ τῶν κατελθόν-

---

2 *αὐτὸν* aut del. aut *αὐτῷ* prop. Halb, an *ὑμῶν*? 3 *μεί-νantας ⟨ὑμῶν⟩* Zaka 6 *ἐξαμαρτόντων* Hirschig 8 *ἔλαττον τούτους* Lipsius: *ἐλάττους τούτων* X 9 ⟨*ἢ*⟩ *τῶν* Markl 13 *τῆς*] *τὰς* Dobr 15 *συλλ. ἀποθ.* cf. XVIII 8, ⟨*τοὺς*⟩ *συλλ. ἀπ.* Markl, ⟨*οἵους εἶπον*⟩ *συλλ. ἀπ.* Rauch, ⟨*οἷος σὺ*⟩ *συλλ. ἀπ.* Herw *διὰ δὲ* ⟨*τούτους*⟩ *τοὺς* Rs 16 *τοὺς συλληφθέντας* del. Halb, *τοὺς* ⟨*οὐ*⟩ *συλλ.* Rs, *τοὺς* ⟨*μὴ*⟩ *συλλ.* Dobr *ἐκφυγεῖν* Markl: *ἐκφεύγειν* X 18 a *γεγενημένων* usque ad § 20 *ὑπὲρ τοῦ δήμου* literae atramento recentiore restauratae sunt in X^k 19 *καὶ ὃ* Steph: *καὶ τὸ* X *δοκοῦν* C *παρά*] cf. I 2, del. Francken, *πάνυ* P. Müller 22 *γεγέννηται* X

των πολιτεύεσθαι μᾶλλον ἢ μετὰ τῶν τριάκοντα Λακε-
20 δαιμονίοις δουλεύειν. τοιγάρτοι ἀντὶ τούτων αὐτοὺς ὁ
δῆμος ταῖς μεγίσταις τιμαῖς τετίμηκεν, ἱππαρχεῖν καὶ
στρατηγεῖν καὶ πρεσβεύειν ὑπὲρ αὐτῶν αἱρούμενοι· καὶ
οὐδέποτε αὐτοῖς μετεμέλησεν. καὶ διὰ μέν γε τοὺς πολλὰ
ἐξαμαρτόντας τὰς δοκιμασίας εἶναι ἐψηφίσαντο, διὰ δὲ
τοὺς μηδὲν τοιοῦτον πράξαντας τὰς συνθήκας ἐποιή-
σαντο. τοσαῦτά σοι ἐγὼ ὑπὲρ τοῦ δήμου ἀποκρίνομαι.
21 Ὑμέτερον δὴ ἔργον ἐστίν, ὦ ἄνδρες βουλευταί, σκέψα-
σθαι ποτέρῳ ἂν πειθόμενοι περὶ τῆς δοκιμασίας ταύ-
της ἄμεινον βουλεύσαισθε, πότερον ἐμοὶ ἢ Θρασυβού-
λῳ, ὃς αὐτῷ ἀπολογήσεται. περὶ μὲν οὖν ἐμοῦ ἢ τοῦ
πατρὸς ἢ τῶν προγόνων οὐδὲν οὗτος εἰπεῖν ἕξει εἰς
μισοδημίαν. οὔτε γὰρ ὡς ὀλιγαρχίας μετέσχον (ὕστερον
γὰρ τῶν χρόνων τούτων ἀνὴρ εἶναι ἐδοκιμάσθην), οὔθ'
ὡς ὁ πατήρ (πρὸ γὰρ τῶν στάσεων πολὺ ἐν Σικελίᾳ ἄρ-
22 χων ἐτελεύτησεν)· οὐδ' ὡς οἱ πρόγονοι ὑπὸ τοῖς τυράν-
νοις ἐγένοντο· στασιάζοντες γὰρ πρὸς αὐτοὺς τὸν ἅπαν-
τα χρόνον διετέλεσαν. ἀλλὰ μὲν δὴ οὐδὲ τὴν οὐσίαν
ἡμᾶς ἐν τῷ πολέμῳ φήσει κτήσασθαι, εἰς δὲ τὴν πόλιν
οὐδὲν ἀνηλωκέναι· πᾶν γὰρ τοὐναντίον, ἐν εἰρήνῃ μὲν
ὀγδοηκοντατάλαντος ἡμῶν ὁ οἶκος ἐγένετο, εἰς δὲ τὴν
23 τῆς πόλεως σωτηρίαν ἐν τῷ πολέμῳ ἅπας ἀνηλώθη. ἐγὼ
δὲ περὶ τούτου τρία ἕξω εἰπεῖν τηλικαῦτα τὸ μέγεθος,

5 οὐδέποτε] οὐδεπώποτε Herw πολλὰ Rs: πολλοὺς X 8 τοσαῦτά σοι post Reiskium Lipsius: τοιαύτας οἵας X, τοιαῦτά σοι Tur 10 πιθόμενοι Cob 11 πότερον del. Pluygers Θρασυβ. Collyttensi puta cf. Sauppe ep. crit. 20 12 ὃς αὐτῷ ἀπολογ. del. Pluygers, ὃς vel ὅταν αὐτοῦ ὑπεραπολογήσεται Rs, ὃς αὐτῷ ἀναβήσεται Halb, αὐτῷ ⟨βοηθῶν⟩ ἀπολ. Richards coll. XIV 21 14 ⟨ἐγὼ⟩ μετέσχον Kayser 15 οὔθ' ὡς est in X 16 ἄρχων] τριηραρχῶν Cob 17 οὔθ' ὡς οἱ Rs 19 ἀλλὰ γὰρ δὴ Rs, sed cf. XIII 27 21 πᾶν C, Steph: πάντα X

ὥστ᾽ ἄξιον εἶναι ἕκαστον ἔργον θανάτου· πρῶτον μὲν ὅτι τὴν ἐν Βοιωτοῖς πολιτείαν χρήματα λαβὼν μετέστησε καὶ τῆς συμμαχίας ἡμᾶς ταύτης ἀπεστέρησεν, ἔπειτα ὅτι τὰς ναῦς προὔδωκε καὶ τὴν πόλιν περὶ σωτηρίας βουλεύεσθαι πεποίηκεν, ἔπειτα ὅτι παρὰ τῶν αἰχμαλώτων, 24
οὓς αὐτὸς ἀπώλεσε, τριάκοντα μνᾶς ἐσυκοφάντησεν, οὐ φάσκων αὐτοὺς λύσεσθαι, εἰ μὴ τοῦτο αὐτῷ παρὰ σφῶν αὐτῶν παράσχοιεν. συνειδότες οὖν ἡμῶν ἑκατέρῳ τὸν βίον, πρὸς ταῦτα βουλεύεσθε ὁποτέρῳ χρὴ πιστεύειν περὶ τῆς Εὐάνδρου δοκιμασίας, καὶ οὕτως οὐκ ἐξαμαρτήσεσθε.

27.

ΚΑΤΑ ΕΠΙΚΡΑΤΟΥΣ [ΚΑΙ ΤΩΝ ΣΥΜΠΡΕΣΒΕΥΤΩΝ ΕΠΙΛΟΓΟΣ ΩΣ ΘΕΟΔΩΡΟΣ].

Κατηγόρηται μέν, ὦ ἄνδρες Ἀθηναῖοι, Ἐπικράτους 1
ἱκανὰ καὶ τῶν συμπρεσβευτῶν· ἐνθυμεῖσθαι δὲ χρὴ ὅτι πολλάκις ἠκούσατε τούτων λεγόντων, ὁπότε βούλοιντό τινα ἀδίκως ἀπολέσαι, ὅτι, εἰ μὴ καταψηφιεῖσθε ὧν αὐτοὶ κελεύουσιν, ἐπιλείψει ὑμᾶς ἡ μισθοφορά. καὶ νῦν [Ar. Equ. 1359]
οὐδὲν ἧττον τοσοῦτον | ἐνδεῖ· ὥστε τὸ μὲν ὄνειδος καὶ ἡ 2

---

5 *ἐποίησεν* ci. Herw 6 *μνᾶς* ⟨*λαβὼν*⟩ Kayser 7 *τοῦτο*] *τοσοῦτο* Scheibe 8 *ἑκατέρῳ* Rs: *ἑκατέρων* X 13 Or. XXVII. Titulus falsus est cf. § 16, ex qua Epicratem solum accusatum esse apparet. Bekker An. I 103 vocem *καταδιῶξαι* affert ex Lys. or. *κατὰ Ἐπικράτους*, quae vox in oratione nostra non invenitur. Verum pars prior interiisse videtur 16 *καὶ τῶν συμπρ.* cum Falkio delent plerique, idem proponit *καὶ τῶν συμποριστῶν*, *καὶ τῶν μετ᾽ αὐτοῦ* Blass, *καὶ τῶν συμπρέσβεων* Herw, sed cf. Arist. Pol. II 9, 1271ª, And. III 41 19 *ἐπιλείψει* Rs: *ὑπολείψει* X *καὶ νῦν* . . . p. 276, 1 *τούτοις* suspecta cf. Jahrb. f. Phil. CXVII 559 20 *τοσοῦτον* om. C et Bekker *ὄνειδος* Cont: *πλῆθος* cum asterisco X, *πένθος* Schott, *μῖσος* vel *βλάβος* Rs, *πάθος* Foertsch, *ἔχθος* Sauppe, quae vox non est apud oratores, *πλῆθος* ⟨*τῶν ἀπολλυμένων* vel

αἰσχύνη ἡ διὰ τούτων ὑμῖν γίγνεται, ἡ δ' ὠφέλεια τούτοις·
πεπείρανται γὰρ ὅτι, ὁπόταν οὗτοι καὶ οἱ τούτων λόγοι
δοκῶσιν αἴτιοι εἶναι ψηφιεῖσθαι ὑμᾶς παρὰ τὸ δίκαιον, ῥᾳ-
3 *δίως παρὰ τῶν ἀδικούντων χρήματα λαμβάνουσι. καίτοι*
τίνα χρὴ ἐλπίδα ἔχειν σωτηρίας, ὁπόταν ἐν χρήμασιν ᾖ καὶ
σωθῆναι τῇ πόλει καὶ μή, ταῦτα δὲ οὗτοι, φύλακες ὑφ'
ὑμῶν καταστάντες, οἱ τῶν ἀδικούντων κολασταί, κλέ-
πτωσί τε καὶ καταδωροδοκῶσι; καὶ οὐ νῦν πρῶτον
ὤφθησαν ἀδικοῦντες, ἀλλὰ καὶ πρότερον ἤδη δώρων
4 *ἐκρίθησαν. ⟨ὃ⟩ καὶ ὑμῖν ἔχω ἐπικαλέσαι ὅτι τοῦ αὐτοῦ*
ἀδικήματος Ὀνομάσαντος μὲν κατεψηφίσασθε, τούτου δὲ
ἀπεψηφίσασθε, τοῦ αὐτοῦ ἀνδρὸς ἁπάντων κατηγοροῦν-
τος καὶ τῶν αὐτῶν καταμαρτυρούντων, οἳ οὐχ ἑτέρων
ἤκουσαν, ⟨ἀλλ'⟩ αὐτοὶ ἦσαν οἱ περὶ τῶν χρημάτων καὶ
5 *τῶν δώρων πρὸς τούτους πράττοντες. καίτοι τοῦτο ἅπαν-*
τες ἐπίστασθε, ὅτι οὐχ ὅταν τοὺς μὴ δυναμένους λέγειν
κολάζητε, τότε ἔσται παράδειγμα τοῦ μὴ ὑμᾶς ἀδικεῖν,

δημεύσεων⟩ Rs, *πλ.* ⟨*τῶν κινδύνων*⟩ Franz, *πλ.* ⟨*τῶν πενήτων* vel *πεπονθότων*⟩ P. Müller, *πλ.* ⟨*πένεται, οὗτοι δὲ πλουτοῦσιν*⟩ Francken 1 *διὰ τούτων*] *ἀπὸ τούτων* vel *διὰ τούτους* Rs *ὑμῖν* C: *ἡμῖν* X 2 *πεπείραται* Kayser *ὁπότε ἂν* X *οὗτοι οἱ λόγοι* Halb 3 *εἶναι*] *ἔσεσθαι* Frb *ψηφιεῖσθαι*] *τοῦ ψηφίζεσθαι* Rs, *ψηφίζεσθαι* Francken *παρὰ τὸ*] *κατὰ τὸ* Kayser 4 *τῶν* ⟨*οὐκ*⟩ *ἀδικούντων* Frb, *τῶν* ⟨*μηδὲν*⟩ *ἀδ.* P. Müller, *τῶν ἀδικουμένων* Schoell, sed est: si vobis persuadebunt, ut ab insontibus poenas repetatis, facile ab hominibus noxiis lucrum parabunt 6 *τῇ πόλει*] *τὴν πόλιν* Markl, del. Rauch, *καὶ μὴ ἐν τῇ πόλει* Heldmann ⟨*οἱ*⟩ *φύλακες* Rs *ὑφ'* del. Francken 7 *κατασταθέντες* Hirschig ⟨*καὶ*⟩ *οἱ τῶν* P. Müller, *καὶ τῶν* Cont 10 *ὃ* add. Halb 11 *Ὀνομάσαντος* corruptum, *Ὀνομασάνδρου* Steph, *Ὀνομακρίτου* Rs, *ὄντος, Μνάσωνος* Markl, *Ὀνομακλέους* Franz, *Τιμαγόρου* Scheibe, *Λεωδάμαντος* Cob *τούτου δὲ* est in X, *τούτων δὲ* P. Müller 12 *ἀπεψηφίσασθε* C: *ἀποψηφίσασθαι* X *ἁπάντων*] del. Dobr, *ἀμφοῖν* Schott, *αὐτῶν* Scheibe, *ἅμ' αὐτῶν* vel *τῶν αὐτῶν* Heldmann 14 *ἀλλ'* add. C *καὶ τῶν δώρων* del. Halb 17 *τοῦ μὴ*] *τὸ μὴ* vel *μὴ* Dobr

*ἀλλ' ὁπόταν παρὰ τῶν δυναμένων δίκην λαμβάνητε,
τότε πάντες παύσονται ἐπιχειροῦντες εἰς ὑμᾶς ἐξαμαρ-
τάνειν. νῦν δ' ἀσφαλῶς αὐτοῖς ἔχει τὰ ὑμέτερα κλέ-* 6
*πτειν. ἐὰν μὲν γὰρ λάθωσιν, ἀδεῶς αὐτοῖς ἕξουσι χρῆ-
σθαι· ἐὰν δὲ ὀφθῶσιν, ἢ μέρει τῶν ἀδικημάτων τὸν
κίνδυνον ἐξεπρίαντο, ἢ εἰς ἀγῶνα καταστάντες τῇ αὑ-
τῶν δυνάμει ἐσώθησαν. νῦν τοίνυν, ὦ ἄνδρες δικασταί,
παράδειγμα ποιήσατε τοῖς ἄλλοις δικαίοις εἶναι, παρὰ
τούτων δίκην λαβόντες. ἥκουσι δὲ πάντες οἱ τὰ τῆς πό-* 7
*λεως πράττοντες οὐχ ἡμῶν ἀκροασόμενοι, ἀλλ' ὑμᾶς εἰ-
σόμενοι ἥντινα γνώμην περὶ τῶν ἀδικούντων ἕξετε. ὥστ'
εἰ μὲν ἀποψηφιεῖσθε τούτων, οὐδὲν δεινὸν δόξει αὐτοῖς
εἶναι ὑμᾶς ἐξαπατήσαντας ἐκ τῶν ὑμετέρων ὠφελεῖσθαι·
ἐὰν δὲ καταψηφισάμενοι θανάτου τιμήσητε, τῇ αὐτῇ
ψήφῳ τούς τε ἄλλους κοσμιωτέρους ποιήσετε [ἢ νῦν εἰσι],
καὶ παρὰ τούτων δίκην εἰληφότες ἔσεσθε. ἡγοῦμαι δ',* 8
*ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' εἰ μὴ προθέντες αὐτοῖς κρίσιν,
ἢ ἀπολογουμένων μὴ ἐθελήσαντες ἀκοῦσαι, καταψηφι-
σάμενοι τῶν ἐσχάτων τιμήσαιτε, οὐκ ἂν ἀκρίτους αὐ-
τοὺς ἀπολωλέναι, ἀλλὰ τὴν προσήκουσαν δίκην δεδω-
κέναι. οὐ γὰρ οὗτοι ἄκριτοί εἰσι, περὶ ὧν ἂν ὑμεῖς εἰ-
δότες τὰ πραχθέντα ψηφίσησθε, ἀλλ' οἵτινες ἂν ὑπὸ
τῶν ἐχθρῶν διαβληθέντες περὶ ὧν ὑμεῖς μὴ ἴστε, ἀκροά-
σεως μὴ τύχωσι. τούτων δὲ τὰ μὲν πράγματα κατηγο-*

---

2 *τότε πάντες* C, Steph: *τοὺς πάντας* X 3 *νῦν δ'* . . . 7 *ἐσώθησαν* suspecta cf. Jahrb. f. Phil. CXVII 560 4 *ἕξουσι*] *ἔχουσι* Dobr 5 *ὀφθῶσι*] *ληφθῶσι* Hirschig, sed cf. § 3 *ἀδικημάτων*] *ἀδίκων χρημάτων* Foertsch, *δωροδοκημάτων* Kayser, *λημμάτων* Hirschig, sed cf. Plat. Resp. 365e 8 *ποιήσατε* Halb: *ποιήσετε* X 14 ⟨*αὐτοῖς*⟩ *τιμήσητε* Herw 15 *ἢ νῦν εἰσι* del. P. Müller cf. XXX 23. XXII 19 17 *αὐτοῖς* C: *αὐτοὺς* X 20 *δεδωκέναι* ⟨*δοκεῖν*⟩ Kayser, sed cf. Lyc. Leocr. 140

9 ρεῖ, ἡμεῖς δὲ καταμαρτυροῦμεν· καὶ οὐ τοῦτο δέδοικα,
ὡς ἐὰν ἀκροᾶσθε αὐτῶν ἀποψηφιεῖσθε· ἀλλ' οὐκ ἂν
ἡγοῦμαι αὐτοὺς δίκην ἀξίαν δεδωκέναι, εἰ ἀκροασάμενοι
αὐτῶν καταψηφίσαισθε. πῶς γάρ, ὦ ἄνδρες δικασταί,
οἷς οὐδὲ ταὐτὰ καὶ ὑμῖν συμφέρει; οὗτοι μὲν γὰρ ἐν τῷ
πολέμῳ ἐκ πενήτων πλούσιοι γεγόνασιν ἐκ τῶν ὑμετέ-
10 ρων, ὑμεῖς δὲ διὰ τούτους πένητες. καίτοι οὐ ταῦτα
ἀγαθῶν δημαγωγῶν ἐστι, τὰ ὑμέτερα ἐν ταῖς ὑμετέραις
συμφοραῖς λαμβάνειν, ἀλλὰ τὰ ἑαυτῶν ὑμῖν διδόναι.
καὶ γάρ τοι εἰς τοσοῦτον ἥκομεν, ὥσθ' οἳ πρότερον ἐν
τῇ εἰρήνῃ οὐδὲ σφᾶς αὐτοὺς ἐδύναντο τρέφειν, νῦν
ὑμῖν εἰσφορὰς εἰσφέρουσι καὶ χορηγοῦσι καὶ οἰκίας με-
11 γάλας οἰκοῦσι. καίτοι ἑτέροις ὑμεῖς ἔστιν ὅτε τὰ πα-
τρῷα κεκτημένοις ταῦτα ποιοῦσιν ἐφθονεῖτε· νῦν δ'
οὕτως ἡ πόλις διάκειται, ὥστε οὐκέτι ὧν οὗτοι κλέ-
πτουσιν ὀργίζεσθε, ἀλλ' ὧν αὐτοὶ λαμβάνετε χάριν ἴστε,
ὥσπερ ὑμεῖς τὰ τούτων μισθοφοροῦντες, ἀλλ' οὐ τού-
12 των τὰ ὑμέτερα κλεπτόντων. τὸ δὲ πάντων ὑπερφυέ-
στατον, ὅτι ἐν μὲν τοῖς ἰδίοις ⟨οἱ⟩ ἀδικούμενοι δακρύ-
ουσι καὶ ἐλεινοί εἰσιν, ἐν δὲ τοῖς δημοσίοις οἱ μὲν ἀδι-
κοῦντες ἐλεινοί, ὑμεῖς δ' οἱ ἀδικούμενοι ἐλεεῖτε. καὶ
νῦν ἴσως ποιήσουσιν ἅπερ καὶ πρότερον ἦσαν εἰθισμέ-
νοι καὶ δημόται καὶ φίλοι κλάοντες ἐξαιτεῖσθαι αὐτοὺς

---

2 ἀκροάσησθε Herw 5 ταὐτὰ C: ταῦτα X 7 ⟨ἐκ πλουσίων⟩ πένητες Herw καίτοι ... 9 διδόναι suspecta, cf. Jahrb. f. Phil. CXVII 560 12 ὑμῖν C: ἡμῖν X εἰσφορὰς Rs: εἰσφορὰν X 13 ὑμεῖς C: ὑμῖν X ἔστι ⟨μὲν⟩ ὅτε Scheibe, ἑτέροις ⟨μὲν⟩ Halb τὰ del. Dobr 16 αὐτοὶ aut ante ὧν aut pone λαμβάνετε transponit Rs 19 οἱ add. Cont 22 ποιήσουσιν] ἐπιχειρήσουσιν vel ζητήσουσιν Scheibe εἰθισμένοι οἱ δημόται καὶ φίλοι καὶ κλαίοντες ἐξαιτήσονται αὐτοὺς Kayser 23 ἐξαιτεῖσθαι Ald: ἐξαιτεῖσθε X, ἐξαιτήσονται C, ⟨πειράσονται⟩ ἐξ. Markl, ⟨ζητήσουσιν vel σπουδάσουσιν vel ἀξιώσουσιν⟩ ἐξ. Rs αὐτοὺς] τοὺς αἰτίους Francken

παρ' ὑμῶν. ἐγὼ δ' οὕτως ἀξιῶ γενέσθαι· εἰ μὲν ἀδι- 13
κεῖν τούτους | μηδὲν νομίζουσιν, ἀποδείξαντας ὡς ψευδῆ
τὰ κατηγορημένα, οὕτως πείθειν ὑμᾶς ἀποψηφίσασθαι·
εἰ δὲ νομίσαντες ἀδικεῖν αἰτήσονται, δῆλον ὅτι τοῖς ἀδι-
κοῦσιν εὐνούστεροί εἰσιν ἢ ὑμῖν τοῖς ἀδικουμένοις, ὥστ'
οὐ χάριτος ἄξιοι τυχεῖν ἀλλὰ τιμωρίας, ὁπόταν ὑμεῖς
δύνησθε. ἔτι δὲ τοὺς αὐτοὺς ἡγεῖσθαι χρὴ καὶ τῶν κα- 14
τηγόρων σφόδρα δεδεῆσθαι, νομίζοντας πολὺ ἂν θᾶτ-
τον παρ' ἡμῶν ὀλίγων ὄντων ταύτην τὴν χάριν λαμβά-
νειν ἢ παρ' ὑμῶν, ἔτι δὲ ῥᾷον ἄλλους τινὰς ⟨τὰ⟩ ὑμέ-
τερα καταχαρίζεσθαι ἢ ὑμᾶς αὐτούς γε. ἡμεῖς μὲν τοί- 15
νυν οὐκ ἠθελήσαμεν προδοῦναι, ἀξιοῦμεν δὲ μηδ' ὑμᾶς,
ἐνθυμουμένους ὅτι σφόδρ' ἂν ἡμῖν ὠργίζεσθε καὶ ἐτι-
μωρεῖσθε, ὅπου παρεπίπτομεν, ὡς εἰκὸς τοὺς ἀδικοῦν-
τας, εἰ ἡμεῖς παρὰ τούτων ἢ χρήματα λαβόντες ἢ ἄλλῳ
τινὶ τρόπῳ διηλλάγημεν. καίτοι εἰ τοῖς μὴ δικαίως ἐπε-
ξιοῦσιν ὀργίζεσθε, ἦ που σφόδρα χρὴ αὐτοὺς τοὺς ἀδι-
κοῦντας τιμωρεῖσθαι. νῦν τοίνυν, ὦ ἄνδρες δικασταί, 16
καταψηφισάμενοι Ἐπικράτους τῶν ἐσχάτων τιμήσατε,

---

2 *ἀποδείξαντες* X 4 *νομίσαντες*] *νομίζοντες* Markl *ἐξαιτήσονται* Cont, sed cf. XII 86. XXX 33 *ὅτι ⟨τούτοις⟩ τοῖς* Pluygers 5 *ὥστ'* Markl: *ἴσως τ'* X 6 *ὁπόταν*] *ὅπου ἂν* vel *ὁποίαν ἂν* Markl, *ὁποίας ἂν* Rs 7 *δύνησθε* a pr. m. ex *δύναισθε* (?) corr. X, ⟨*λαβεῖν*⟩ *δύνησθε* Herw 8 *δεδεῆσθαι* P. Müller: *δεήσεσθαι* X, *δεήσασθαι* Emperius, *δεηθῆναι* Kayser 10 *ἔστι δὲ ῥᾷον* Rs, sed *ἔτι* ad comparativum pertinet *τὰ* add. Ald 11 *ὑμᾶς αὐτό γε* X, *γε* del. Cob 12 *ἀξιοῦμεν . . .* 13 *ἐνθυμουμένους* del. Kayser 14 *ὅπου . . . ἀδικοῦντας* del. Kayser, *ὥσπερ εἰκὸς* vel *ὡς εἰκός ἐστιν*, deletis, quae sequuntur, *τοὺς ἀδικοῦντας* Dobr, *ὅπως περιεπίπτομεν, οἷς εἰκὸς* Francken, sed cf. Demosth. I 8. Xen. Cyr. I 2, 10; an *παρέπιπτεν*? Hude, sed cf. Plat. leg. IV 709[c] 15 *ἡμεῖς* C, Schott: *ὑμεῖς* X ft. *πρὸς τούτους* 16 *τοῖς μὴ ἐπεξιοῦσι δικαίως* Poutsma secundum Dobraeum, qui aliquando *δικαίως* delebat 19 *Ἐπικρ.* del. P. Müller *τιμήσατε* Steph: *τιμωρήσατε* X

καὶ μή, ὥσπερ ἐν τῷ τέως χρόνῳ εἰθισμένοι ἐστέ, ἐπειδὰν καταψηφισάμενοι ἐξελέγξητε τοὺς ἀδικοῦντας, ἐν τῷ τιμήματι ἀζημίους ἀφίετε, ἔχθραν, οὐ δίκην παρὰ τῶν ἀδικούντων λαμβάνοντες, ὥσπερ τοῦ ὀνείδους ἀλλ' οὐ τῆς ζημίας αὐτοῖς μέλον, εὖ εἰδότες ὅτι ἐν μὲν τῇ ψήφῳ οὐδὲν ἄλλο ποιεῖτε ἢ ὀνειδίζετε τοῖς ἀδικοῦσιν, ἐν δὲ τῷ τιμήματι τιμωρεῖσθε τοὺς ἐξαμαρτάνοντας.

28.

ΚΑΤΑ ΕΡΓΟΚΛΕΟΥΣ ΕΠΙΛΟΓΟΣ.

1 Τὰ μὲν κατηγορημένα οὕτως ἐστὶ πολλὰ καὶ δεινά, ὦ
ἄνδρες Ἀθηναῖοι, ὥστε οὐκ ἄν μοι δοκεῖ δύνασθαι Ἐργοκλῆς ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων αὐτῷ πολλάκις ἀποθανὼν δοῦναι δίκην ἀξίαν τῷ ὑμετέρῳ πλήθει. καὶ γὰρ πόλεις προδεδωκὼς φαίνεται, καὶ προξένους καὶ πολίτας ὑμετέρους ἠδικηκώς, καὶ ἐκ πένητος ἐκ τῶν ὑμε-
2 τέρων πλούσιος γεγενημένος. καίτοι πῶς αὐτοῖς χρὴ συγγνώμην ἔχειν, ὅταν ὁρᾶτε τὰς μὲν ναῦς, ὧν ἦρχον οὗτοι, δι' ἀπορίαν χρημάτων καταλυομένας καὶ ἐκ πολλῶν ὀλίγας γιγνομένας, τούτους δὲ πένητας καὶ ἀπόρους ἐκπλεύσαντας οὕτως ταχέως πλείστην τῶν πολιτῶν οὐσίαν κεκτημένους; ὑμέτερον τοίνυν ἔργον ἐστίν, ὦ ἄνδρες
3 Ἀθηναῖοι, ἐπὶ τοῖς τοιούτοις ὀργίζεσθαι· καὶ γὰρ δὴ δεινὸν ἂν εἴη, εἰ νῦν μὲν οὕτως αὐτοὶ πιεζόμενοι ταῖς εἰσφοραῖς συγγνώμην τοῖς κλέπτουσι καὶ τοῖς δωροδο-

---

1 ἐστέ] ἦστε Cob 2 καταψηφισάμενοι del. aut leg. καταψηφίσησθε ἐξελέγξαντες Rs τοὺς] αὐτοὺς Francken 3 ἔχθραν ⟨ἐπιδεικνύμενοι⟩ Herw 6 ποιεῖτε del. Herw 8 Or. XXVIII. 11 οὐκ ἂν] οὐδ' ἂν Fuhr 12 ⟨οὐδ'⟩ ὑπὲρ Rs ⟨οὐδὲ⟩ πολλάκις coll. XII 37 Scheibe 14 προξένους] ξένους Rs 16 πλούσιος ἐκ τῶν ὑμ. Dobr 20 οὕτως est in X 22 ἐπὶ del. Hirschig δὴ suspectum

*κοῦσιν ἔχοιτε, ἐν δὲ τῷ τέως χρόνῳ, καὶ τῶν οἴκων τῶν
ὑμετέρων μεγάλων ὄντων καὶ τῶν δημοσίων προσόδων
μεγάλων οὐσῶν, θανάτῳ ἐκολάζετε τοὺς τῶν ὑμετέρων
ἐπιθυμοῦντας. οἶμαι δ' ἔγωγε πάντας ⟨ἂν⟩ ὑμᾶς ὁμολο-* 4
*γῆσαι, εἰ ὑμῖν Θρασύβουλος ἐπηγγέλλετο τριήρεις ἔχων
ἐκπλεύσεσθαι καὶ ταύτας παλαιὰς ἀντὶ καινῶν παραδώ-
σειν, καὶ τοὺς μὲν κινδύνους ὑμετέρους ἔσεσθαι, τὰς δ'
ὠφελείας τῶν αὑτοῦ φίλων, καὶ ὑμᾶς μὲν διὰ τὰς εἰσ-
φορὰς πενεστέρους ἀποδείξειν, Ἐργοκλέα δὲ καὶ τοὺς
κόλακας τοὺς αὑτοῦ πλουσιωτάτους τῶν πολιτῶν ποιή-
σειν, οὐδένα ἂν ὑμῶν ἐπιτρέψαι τὰς ναῦς ἐκεῖνον ἔχοντα
ἐκπλεῦσαι. ἄλλως τε ἐπειδὴ καὶ τάχιστα ὑμεῖς ἐψηφί-* 5
*σασθε τὰ χρήματα ἀπογράψαι τὰ ἐκ τῶν πόλεων εἰλημ-
μένα καὶ τοὺς ἄρχοντας τοὺς μετ' ἐκείνου καταπλεῖν
εὐθύνας δώσοντας, Ἐργοκλῆς ἔλεγεν ὡς ἤδη συκοφαν-
τεῖτε καὶ τῶν ἀρχαίων νόμων ἐπιθυμεῖτε, καὶ Θρασυ-
βούλῳ συνεβούλευε Βυζάντιον καταλαβεῖν καὶ τὰς ναῦς
ἔχειν | καὶ τὴν Σεύθου θυγατέρα γαμεῖν· „ἵνα αὐτῶν* 6
*ἐκκόψῃς“ ἔφη „τὰς συκοφαντίας· ποιήσεις γὰρ αὐτοὺς
οὐκ ἐπιβουλεύοντας σοὶ καθῆσθαι καὶ τοῖς σοῖς φίλοις,
ἀλλὰ περὶ αὑτῶν δεδιέναι.“* οὕτως, ὦ ἄνδρες Ἀθηναῖοι,
*ἐπειδὴ τάχιστα ἐνεπέπληντο καὶ ⟨τῶν⟩ ὑμετέρων ἀπέ-
λαυσαν, ἀλλοτρίους τῆς πόλεως αὑτοὺς ἡγήσαντο. ἅμα* 7
γὰρ πλουτοῦσι καὶ ὑμᾶς μισοῦσι, καὶ οὐκέτι ὡς ἀρξό-

---

2 *μεγάλων ὄντων* deleverit Herw 3 *οὐσῶν* del. Markl, *μεγάλων οὐσῶν* del. Fuhr, *προσόδων . . . οὐσῶν* del. Wdn 4 *ἂν* hic add. Auger, *ἔγωγ' ἂν* Markl, *ὁμολογῆσαι ⟨ἂν⟩* Gebauer 5 *ἐπήγγελτο* Cob 6 *ἀποδώσειν* Baiter 12 *ἄλλως τε ἐπειδὴ καὶ* X, quae aperte corrupta sunt; *ἄλλως τε καὶ ἐπειδὴ* Steph, quibus pone *καὶ* Rs addit *ὅπου* vel *ὅτι*. Possis coll. XIII 79 *ἀλλ' ἕτερον· ἐπειδὴ γὰρ* 22 *ἐπειδὴ δὲ τάχιστα* X *ἐνέπληντο* Cob coll. Ar. Vesp. 911. 1304, recte fort. *τῶν* add. Ald *καὶ* et *ἀπέλαυσαν* om. Cob 23 *ἅμα* Rs: *ἀλλὰ* X 24 *⟨οὗτοι⟩ καὶ ὑμᾶς* Francken, *⟨οἱ τοιοῦτοι⟩ πλουτοῦσι* Rauch

μενοι παρασκευάζονται ἀλλ' ὡς ὑμῶν ἄρξοντες, καὶ δε-
διότες ὑπὲρ ὧν ὑφῄρηνται ἕτοιμοί εἰσι καὶ χωρία κατα-
λαμβάνειν καὶ ὀλιγαρχίαν καθιστάναι καὶ πάντα πράττειν,
ὅπως ὑμεῖς ἐν τοῖς δεινοτάτοις κινδύνοις καθ' ἑκάστην
ἡμέραν ἔσεσθε· οὕτως γὰρ ἡγοῦνται οὐκέτι τοῖς σφετέ-
ροις αὐτῶν ἁμαρτήμασι τὸν νοῦν ὑμᾶς προσέξειν, ἀλλ'
ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως ὀρρωδοῦντας ἡσυχίαν
8 πρὸς τούτους ἕξειν. Θρασύβουλος μὲν οὖν, ὦ ἄνδρες
Ἀθηναῖοι, (οὐδὲν γὰρ δεῖ περὶ αὐτοῦ πλείω λέγειν) κα-
λῶς ἐποίησεν οὕτως τελευτήσας τὸν βίον· οὐ γὰρ ἔδει
αὐτὸν οὔτε ζῆν τοιούτοις ἔργοις ἐπιβουλεύοντα, οὔθ'
ὑφ' ὑμῶν ἀποθανεῖν ἤδη τι δοκοῦντα ὑμᾶς ἀγαθὸν πε-
ποιηκέναι, ἀλλὰ τοιούτῳ τρόπῳ τῆς πόλεως ἀπαλλαγῆναι.
9 ὁρῶ δ' αὐτοὺς διὰ τὴν πρῴην ἐκκλησίαν οὐκέτι φειδο-
μένους τῶν χρημάτων, ἀλλ' ὠνουμένους τὰς αὑτῶν ψυ-
χὰς καὶ παρὰ τῶν λεγόντων καὶ παρὰ τῶν ἐχθρῶν καὶ
παρὰ τῶν πρυτάνεων, καὶ πολλοὺς Ἀθηναίων ἀργυρίῳ
διαφθείρειν. ὑπὲρ ὧν ὑμῖν ἄξιόν ἐστιν ἀπολογήσασθαι
παρὰ τούτου νῦν δίκην λαβοῦσι, καὶ πᾶσιν ἀνθρώποις
ἐπιδεῖξαι ὅτι οὐκ ἔστι τοσαῦτα χρήματα, ὧν ὑμεῖς ἡττή-
10 σεσθε ὥστε μὴ τιμωρεῖσθαι τοὺς ἀδικοῦντας. ἐνθυμεῖσθε
γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐκ Ἐργοκλῆς μόνος κρί-
νεται, ἀλλὰ καὶ ἡ πόλις ὅλη. νυνὶ γὰρ τοῖς ἄρχουσι τοῖς
ὑμετέροις ἐπιδείξετε πότερον χρὴ δικαίους εἶναι, ἢ ὡς
πλεῖστα τῶν ὑμετέρων ὑφελομένους τῷ αὐτῷ τρόπῳ τὴν

2 ὑφῄρηνται Rs: ἀφήρηνται X 3 καθιστάνειν X 6 τὸν νοῦν ἡμᾶς X 8 ἕξειν] ἄξειν Cob 10 οὕτως abesse malit Hude 15 τῶν χρημάτων est in X 16 ἐχθρῶν] προέδρων Scheibe 18 διαφθείροντας C, ⟨τολμῶντας⟩ διαφθ. P. Müller, διαφθ. ⟨ἐπιχειροῦντας⟩ Rauch, καί, quod est ante πολλούς, del. Rs, καὶ . . . διαφθ. del. Francken 24 πότερον χρὴ del. Francken coll. XXVII 6 δικαίους et 25 ὑφελομένους Cob: δικαίοις et ὑφελομένοις X

σωτηρίαν παρασκευάζεσθαι, ᾧπερ οὗτοι νυνὶ πειρῶνται.
καίτοι εὖ εἰδέναι χρή, ὦ ἄνδρες Ἀθηναῖοι· ὅστις ἐν το- 11
σαύτῃ ἀπορίᾳ τῶν ὑμετέρων πραγμάτων ἢ πόλεις προ-
δίδωσιν ἢ χρήματα κλέπτειν ἢ δωροδοκεῖν ἀξιοῖ, οὗτος
καὶ τὰ τείχη καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδίδωσι
καὶ ὀλιγαρχίαν ἐκ δημοκρατίας καθίστησιν· ὥστ' οὐκ
ἄξιον ὑμῖν τῆς τούτων παρασκευῆς ἡττᾶσθαι, ἀλλὰ παρά-
δειγμα πᾶσιν ἀνθρώποις ποιῆσαι καὶ μήτε κέρδος μήτ'
ἔλεον μήτ' ἄλλο μηδὲν περὶ πλείονος ποιήσασθαι τῆς τού-
των τιμωρίας.

Οἶμαι δ' Ἐργοκλέα, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ μὲν 12
Ἁλικαρνασσοῦ καὶ περὶ τῆς ἀρχῆς καὶ περὶ τῶν αὐτῷ
πεπραγμένων οὐκ ἐπιχειρήσειν ἀπολογεῖσθαι, ἐρεῖν δὲ
ὡς ἀπὸ Φυλῆς κατῆλθε καὶ ὡς δημοτικός ἐστι καὶ ὡς
τῶν κινδύνων τῶν ὑμετέρων μετέσχεν. ἐγὼ δέ, ὦ ἄν-
δρες Ἀθηναῖοι, ⟨οὐ⟩ τοιαύτην γνώμην ἔχω περὶ τῶν
τοιούτων· ἀλλ' ὅσοι μὲν ἐλευθερίας καὶ τοῦ δικαίου ἐπι- 13
θυμοῦντες καὶ τοὺς νόμους ἰσχύειν βουλόμενοι καὶ τοὺς
ἀδικοῦντας μισοῦντες τῶν ὑμετέρων κινδύνων μετέσχον,
οὐ πονηροὺς εἶναι πολίτας, οὐδὲ ἀδίκως τούτοις φημὶ
ἂν εἶναι ὑπόλογον τὴν ἐκείνων φυγήν· ὅσοι δὲ κατελ-
θόντες ἐν δημοκρατίᾳ τὸ μὲν ὑμέτερον πλῆθος ἀδικοῦσι,

---

2 *Ἀθηναῖοι* Schott: *δικασταί* X ⟨*ὅτι*⟩ *ὅστις* Steph, sed cf. Sauppe epist. crit. 23 5 *παραδίδωσι*] *προδίδωσι* Cob 7 *ἡττᾶσθαι* a pr. m. ex *ἡττῆσθαι* X 12 *ἁλικαρνασοῦ* X *περὶ* priore loco a pr. m. add. X 13 *οὐδ' ἐπιχειρήσειν* Naber 14 *καὶ ὡς τῶν . . .* 15 *μετέσχεν* del. Fuhr 16 *οὐ* add. Ald *τοιαύτην*] *τὴν αὐτὴν* Sauppe, quod volebat Taylori quoque *ταὐτὴν* 17 *ἀλλ'* om. C 18 *ἰσχύειν* Markl: *ἴσχειν* X 19 post *μετέσχον* lacunam indicat Dobr: *πάσης τιμῆς καὶ χάριτος ἀξίους νομίζω· ὅσοι δὲ αὐτοῖς μὴ συνεκινδύνευον μέν, ὅμως δὲ ὅσον ἐδύναντο ὠφέλουν* 21 *ὑπόλογον* Steph: *ὑπὸ λόγον* X *τὴν ἐκείνων*] *ἐκείνην τὴν* vel *τὴν ἐκεῖσε* Dobr, *τὴν κοινὴν* Herw

τοὺς δὲ ἰδίους οἴκους ἐκ τῶν ὑμετέρων μεγάλους ποι-
οῦσι, πολὺ μᾶλλον αὐτοῖς προσήκει ὀργίζεσθαι ἢ τοῖς
14 τριάκοντα. οἱ μὲν γὰρ ἐπὶ τοῦτ' ἐχειροτονήθησαν, ἵνα
κακῶς, εἴ πῃ δύναιντο, ὑμᾶς ποιήσειαν· τούτοις δ' ὑμᾶς
αὐτοὺς ἐπετρέψατε, ὡς μεγάλην καὶ ἐλευθέραν τὴν πό-
λιν ποιήσωσιν· ὧν ὑμῖν οὐδὲν ἀποβέβηκεν, ἀλλὰ τὸ ἐπὶ
τούτοις εἶναι ἐν τοῖς δεινοτάτοις κινδύνοις καθεστή-
κατε, ὥστε πολὺ ἂν δικαιότερον ὑμᾶς αὐτοὺς ἢ τούτους
ἐλεοῖτε, καὶ τοὺς ὑμετέρους παῖδας καὶ γυναῖκας, ὅτι
15 ὑπὸ τοιούτων ἀνδρῶν λυμαίνεσθε. ὅταν γὰρ ἡγησώμεθα
σωτηρίας ἀντειλῆφθαι, δεινότερα ὑπὸ τῶν ἡμετέρων ἀρ-
χόντων πάσχομεν ἢ ὑπὸ τῶν πολεμίων. καίτοι | πάντες
ἐπίστασθε ὅτι οὐδεμία ἐλπὶς σωτηρίας ὑμῖν δυστυχή-
σασιν. ὥστε ἄξιον ὑμᾶς παρακελευσαμένους ὑμῖν αὐτοῖς
παρὰ τούτων νυνὶ τὴν μεγίστην δίκην λαβεῖν, καὶ τοῖς
ἄλλοις Ἕλλησιν ἐπιδεῖξαι ὡς τοὺς ἀδικοῦντας τιμω-
ρεῖσθε, καὶ τοὺς ὑμετέρους ἄρχοντας βελτίους ποιήσετε.
16 ἐγὼ μὲν οὖν ταῦθ' ὑμῖν παρακελεύομαι· ὑμᾶς δὲ χρὴ
εἰδέναι ὅτι, ἐὰν μὲν ἐμοὶ πεισθῆτε, εὖ περὶ αὐτῶν βου-
λεύσεσθε, εἰ δὲ μή, χείροσι τοῖς ἄλλοις πολίταις χρή-
σεσθε. ἔτι δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν αὐτῶν ἀποψηφί-
σησθε, οὐδεμίαν ὑμῖν εἴσονται χάριν, ἀλλὰ τοῖς ἀνηλω-
μένοις καὶ τοῖς χρήμασιν οἷς ὑφῄρηνται· ὥστε τὴν μὲν
ἔχθραν ὑμῖν αὐτοῖς καταλείψετε, τῆς δὲ σωτηρίας ἐκεί-
17 νοις εἴσονται χάριν. καὶ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι,

---

2 *προσήκειν* Markl 4 *ποιήσαιεν* X *ὑμεῖς αὐτοὺς* Blass 6 *ποιήσουσιν* Tayl 8 *ἢ τούτους* del. Halb 10 *ὅτε γὰρ ἡγησάμεθα* Rs, *ὅταν γὰρ ἡγώμεθα* Francken 12 *ἐπάσχομεν* Kayser 13 *ὑμῖν* ⟨*ἐνταῦθα*⟩ Rs, *ὑμῖν* ⟨*νῦν*⟩ Francken 17 *καὶ τοὺς . . . ποιήσετε* pone *βουλεύσεσθε* § 16 transp. Bekker 19 *περὶ αὐτῶν* habet X, *περὶ* ⟨*ὑμῶν*⟩ *αὐτῶν* Herw 21 *κἂν αὐτῶν* Cob 23 *καὶ τοῖς χρήμασι* del. Kayser *ὑφῄρηνται* ex *ὑφῄρανται* a pr. m. X

καὶ Ἁλικαρνασσεῖς καὶ οἱ ἄλλοι οἱ ὑπὸ τούτων ἠδικημένοι, ἐὰν μὲν παρὰ τούτων τὴν μεγίστην δίκην λάβητε, νομιοῦσιν ὑπὸ τούτων μὲν ἀπολωλέναι, ὑμᾶς δὲ αὐτοῖς βεβοηθηκέναι· ἐὰν δὲ τούτους σώσητε, ἡγήσονται καὶ ὑμᾶς ὁμογνώμονας γεγονέναι τοῖς αὐτοὺς προδεδωκόσιν. ὥστ' ἄξιον τούτων ἁπάντων ἐνθυμηθέντας ἅμα τοῖς τε φίλοις τοῖς ὑμετέροις ἀποδοῦναι χάριν καὶ παρὰ τῶν ἀδικούντων τὴν δίκην λαβεῖν.

29.

ΚΑΤΑ ΦΙΛΟΚΡΑΤΟΥΣ ΕΠΙΛΟΓΟΣ.

Ὁ μὲν ἀγὼν οὗτος, ὦ ἄνδρες δικασταί, ἐρημότερος 1
γεγένηται ἢ ἐγὼ προσεδόκων. πολλοὶ γὰρ ἦσαν οἱ ἀπειλοῦντες καὶ οἱ φάσκοντες Φιλοκράτους κατηγορήσειν· ὧν οὐδεὶς νυνὶ φαίνεται. ὃ κἀμοὶ δοκεῖ οὐδενὸς ἔλαττον εἶναι τεκμήριον τῆς ἀπογραφῆς ὅτι ἀληθὴς οὖσα τυγχάνει· εἰ γὰρ μὴ πολλὰ τῶν Ἐργοκλέους εἶχε χρημάτων, οὐκ ἂν οὕτως οἷός τ' ἦν ἀπαλλάξαι τοὺς κατηγόρους·
ἐγὼ δέ, ὦ ἄνδρες δικασταί, πάντας ὑμᾶς ἡγοῦμαι εἰδέ- 2
ναι ὅτι Ἐργοκλέους διὰ τοῦτο ὑμεῖς θάνατον κατεχειροτονήσατε, ὅτι κακῶς διαθεὶς τὰ τῆς πόλεως πλεῖν ἢ τριάκοντα ταλάντων οὐσίαν ἐκτήσατο. καὶ τούτων τῶν χρημάτων οὐδὲν ἐν τῇ πόλει φαίνεται. καίτοι ποῖ χρὴ τραπέσθαι ἢ ποῦ ζητῆσαι τὰ χρήματα; εἰ γὰρ παρὰ τοῖς κηδεσταῖς καὶ οἷς ἐκεῖνος οἰκειότατ' ἀνθρώπων ἐχρῆτο

1 *καὶ* ⟨*οἱ*⟩ *Ἁλ.* Rs *ἀλικαρνασεῖς* X *ὑπὸ τούτων* del. Naber 8 *τὴν* ⟨*προσήκουσαν* vel *ὀφειλομένην*⟩ Rs, *τὴν* ⟨*ἐσχάτην*⟩ Francken, *τὴν* om. C, *νῦν* Zaka 9 Or. XXIX 13 *οἱ* ante *φάσκοντες* del. Rs, *καὶ οἱ φάσκοντες* om. Cob 20 *πλέον* X 22 *οὐδὲν ἐν τῇ πόλει*] *οὐδὲν ἐν τῇ πώλῃ* Bake, *οὐδὲ πολλοστὸν μέρος* Francken *ποῖ*] *ποῦ* X 23 *ποῦ* P. Müller: *ποῖ* X, *πῇ* Ald *χρήματα, εἰ παρὰ* et p. 286,1 *φανήσεται; χαλεπῶς γὰρ παρὰ* Cob

μὴ φανήσεται, χαλεπῶς παρὰ τοῖς ἐχθροῖς εὑρεθήσεται.
3 *τίνα δὲ Ἐργοκλῆς περὶ πλείονος Φιλοκράτους ἐποιεῖτο,*
ἢ πρὸς τίν' ἀνθρώπων διέκειτο οἰκειότερον; οὐ τῶν μὲν
ὑμετέρων ὁπλιτῶν αὐτὸν ἐξήγαγε, τῶν δ' αὐτοῦ χρημά-
των ταμίαν ἐποίησε, καὶ τὸ τελευταῖον τριήραρχον αὐτὸν
4 *κατέστησε; καίτοι δεινὸν εἰ οἱ μὲν τὰς οὐσίας ἔχοντες*
ὀλοφύρονται τριηραρχοῦντες, οὗτος δὲ οὐδὲν πρότερον
κεκτημένος ἐν ἐκείνῳ τῷ χρόνῳ ἐθελοντὴς ὑπέστη ταύ-
την τὴν λητουργίαν. οὐκοῦν δὴ οὐχ ὡς ζημιωθησόμενον
αὐτὸν τριήραρχον κατέστησεν, ἀλλ' ὡς ὠφεληθησόμενον
καὶ φυλάξοντα τὰ αὐτοῦ χρήματα, οὐκ ἔχων ὅτῳ χρὴ
5 *μᾶλλον τούτου πιστεῦσαι. ἡγοῦμαι δέ, ὦ ἄνδρες δικα-*
σταί, Φιλοκράτει δύο εἶναι καὶ μόνας ἀπολογίας· προσή-
κειν γὰρ αὐτῷ ἀποδεῖξαι ἢ ἑτέρους ἔχοντας τὰ Ἐργο-
κλέους χρήματα, ἢ ἀδίκως ἀπολωλότα ἐκεῖνον καὶ οὐδὲν
ὑφῃρημένον τῶν ὑμετέρων οὐδὲ δεδωροδοκηκότα· εἰ δὲ
τούτων μηδέτερον ποιήσει, δεδόχθαι καταψηφίζεσθαι,
καὶ μὴ τοῖς μὲν παρὰ τῶν ἄλλων λαμβάνουσιν ὀργίζε-
σθαι, τοῖς δὲ τὰ ὑμέτερ' αὐτῶν ἔχουσι συγγνώμην ἔχειν.
6 *Τίς δ' οὐκ οἶδεν Ἀθηναίων τρία τάλαντα | περὶ Ἐρ-*
γοκλέους μεσεγγυηθέντα τοῖς λέγουσιν, εἰ δύναιντο
αὐτὸν σῶσαι [καὶ μὴ κατηγορεῖν]; οἳ ἐπειδὴ ἑώρων τὴν
ὑμετέραν ὀργὴν τιμωρεῖσθαι βουλομένων, ἡσυχίαν ἦγον

---

2 *ὁπλιτῶν* Tayl. cf. Xen. Hell. IV 8, 28: *πολιτῶν* X, *πωλητὴν* Emperius, *ποριστὴν* Dobr 5 *αὐτὸν* om. C 6 *μὲν τὰς* ⟨*μεγίστας*⟩ Rs 7 *ὀλοφύρονται* Dobr: *ὀλοφυροῦνται* X 9 *ζημιωσόμενον* et 10 *ὠφελησόμενον* Cob 13 *καὶ* ante *μόνας* del. P. Müller, sed cf. Demosth. VI 13 *προσήκει* C 17 *δεδόχθαι* Markl: *δέδοκται* X, *δεδόχθω* Tayl, del. Baiter, *δεῖ* vel *δεῖν αὐτοῦ* Rauch, *δέδεικται* Wdn, *δέομαι* Gentsch 20 *περὶ*] *παρ'* C 21 *μεσεγγυηθέντα* habet X, *μεσεγγυωθέντα* Cob 22 *καὶ μὴ κατηγορεῖν* del. Dobr *ἐπειδὴ* C: *ἐπειδὰν* X 23 *βουλομένων* Tayl: *βουλομένην* X, *τιμ. βουλ.* om. Cob

καὶ οὐκ ἐτόλμων σφᾶς αὐτοὺς φανεροὺς ποιῆσαι. καὶ τὸ μὲν πρῶτον οὗτος οὐ κομιζόμενος παρ' αὐτῶν τὰ χρήματα μηνύσειν ἔφη τῇ πόλει· ἐπειδὴ δὲ καὶ ταῦτα ἀπεί- 7 ληφε καὶ τῶν ἄλλων τῶν ἐκείνου κύριος γεγένηται, εἰς τοῦτο τόλμης ἐλήλυθεν, ὥστε μάρτυρας πεπόρισται οἳ μαρτυρήσουσιν αὐτῷ ὡς ἦν ἔχθιστος ἁπάντων ἀνθρώπων Ἐργοκλεῖ. καίτοι οἴεσθ' ἂν αὐτόν, ὦ ἄνδρες δικασταί, εἰς τοῦτο μανίας ἀφικέσθαι, ὥστε Θρασυβούλου στρατηγοῦντος καὶ Ἐργοκλέους αὐτῷ διαφερομένου ἐθελοντὴν ὑποστῆναι τριήραρχον; πῶς γὰρ ἂν θᾶττον ἀπώλετο, ἢ πῶς ἂν μᾶλλον ἐπηρεάζετο;

Περὶ μὲν οὖν τούτων ἱκανὰ τὰ εἰρημένα· ἐγὼ δ' ὑμᾶς 8 ἀξιῶ ὑμῖν αὐτοῖς βοηθῆσαι, καὶ πολὺ μᾶλλον τοὺς ἀδικοῦντας τιμωρεῖσθαι ἢ τοὺς τὰ τῆς πόλεως ἔχοντας ἐλεινοὺς ἡγεῖσθαι. οὐδὲν γὰρ τῶν αὑτοῦ καταθήσει, ἀλλὰ τὰ ὑμέτερα αὐτῶν ὑμῖν ἀποδώσει, καὶ πολλῷ πλείω αὐτῷ τούτων περιέσται. καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, ὦ ἄνδρες 9 δικασταί, εἰ τοῖς μὲν μὴ δυναμένοις τὰ σφέτερ' αὐτῶν εἰσφέρειν ὀργίζοισθε καὶ τὰς οὐσίας αὐτῶν ὡς ἀδικούντων δημεύοιτε, τοὺς δὲ τὰ ὑμέτερα αὐτῶν ἔχοντας μὴ τιμωροῖσθε, ἀλλὰ τῶν τε χρημάτων ἀποστεροῖσθε καὶ τούτους χαλεπωτέρους ἐχθροὺς ἔχοιτε. ἕως γὰρ ἂν τὰ 10 ὑμέτερα ἔχοντες σφίσιν αὐτοῖς συνειδῶσιν, οὐδέποτε ὑμῖν παύσονται κακονοοῦντες, νομίζοντες τὰς τῆς πό-

---

3 *μηνύσειν* Steph: *μηνύειν* X 10 *τριηραρχίαν* Tayl, sed cf. XIX 19, Demosth. XXI 68. 69 16 *αὐτῶν ὑμῖν* Pluygers: *ὑμῖν αὐτοῖς* X, *ὑμῖν αὖθις* coll. XXX 27 Rabe, *αὐτοῖς* del. Kayser *πλείω* lib. Vind. Bekker: *πλεῖον δ'* X, *πλείον'* Ald, *πλεῖον* Scheibe 17 *καὶ γὰρ δὴ δ. ἂν εἴη* Cob et hic et § 11 coll. XXVIII 3, sed cf. Demosth. XIX 267, *καὶ* alterum del. Cont 18 *δυναμένοις*] *βουλομένοις* Cont 19 *ὀργίζεσθε* et 20 *δημεύετε* Cob, sed cf. Gebauer arg. 204 23 *ξυνειδῶσιν* X 24 *κακόνοι ὄντες* Cob

*λεως δυστυχίας μόνας ἀπαλλαγὴν εἶναι τῶν πρὸς αὐτοὺς
πραγμάτων.*

11 *Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί, οὐ μόνον περὶ χρη-
μάτων αὐτῷ προσήκειν ἀγωνίζεσθαι, ἀλλὰ καὶ περὶ τοῦ
σώματος κινδυνεύειν. καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, εἰ οἱ
μὲν τὰ τῶν ἰδιωτῶν ἀπολλύμενα τοῖς κλέπταις συνει-
δότες τοῖς αὐτοῖς ἐνέχοιντο, οὗτος δὲ τὰ τῆς πόλεως
Ἐργοκλεῖ συνειδὼς κλέπτοντι καὶ ἐπὶ τοῖς ὑμετέροις
δωροδοκοῦντι μὴ τῆς αὐτῆς τιμωρίας τυγχάνοι, ἀλλὰ
ἆθλα λάβοι τὴν ὑπ' ἐκείνου καταλειφθεῖσαν οὐσίαν ἀντὶ
τῆς αὐτοῦ πονηρίας. ἄξιοι δ' ὑμῖν εἰσιν ὀργῆς, ὦ ἄν-*
12 *δρες δικασταί. οὗτοι γάρ, ὅτε Ἐργοκλῆς ἐκρίνετο, ἐν τῷ
δήμῳ περιιόντες ἔλεγον ὡς πεντακόσιοι μὲν αὐτοῖς εἴη-
σαν ἐκ τοῦ Πειραιῶς δεδεκασμένοι, ἑξακόσιοι δὲ καὶ
χίλιοι ἐκ τοῦ ἄστεως· μᾶλλον δὲ προσεποιοῦντο πιστεύ-
ειν τοῖς χρήμασιν ἢ δεδιέναι τὰ αὐτῶν ἁμαρτήματα.*
13 *ἐκεῖ μὲν οὖν ἐπεδείξατε αὐτοῖς, ἐὰν δὲ εὖ φρονῆτε, καὶ
νυνὶ τοῦτο φανερὸν πᾶσιν ἀνθρώποις ποιήσετε, ὅτι οὐκ
ἔστι τοσαῦτα χρήματα ἃ ὑμᾶς, οὓς ἂν λαμβάνητε ἀδι-
κοῦντας, ἀποτρέψει τιμωρεῖσθαι, καὶ μηδεμίαν αὐτοῖς
ἄδειαν δώσετε τὰ ὑμέτερα αὐτῶν διαρπάζουσι καὶ κλέ-*
14 *πτουσιν. ἐγὼ μὲν οὖν ταῦτα ὑμῖν παραινῶ. πάντες γὰρ
ἐπίστασθε ὅτι Ἐργοκλῆς χρηματιούμενος ἀλλ' οὐ πρὸς
ὑμᾶς φιλοτιμησόμενος ἐξέπλευσε, καὶ οὐδεὶς ἄλλος ἔχει
τὰ χρήματα ἢ οὗτος. ἐὰν οὖν σωφρονῆτε, τὰ ὑμέτερ'
αὐτῶν κομιεῖσθε.*

---

1 *πρὸς αὐτὴν* pp. Herw 7 *ἐνέχονται* Cob, sed cf. § 9 10 *ἀντὶ* del. Rs in ind. 13 *εἴησαν* Steph: *οἳ ἦσαν* X 16 ⟨*διὰ*⟩ *τὰ αὐτῶν* Cob 19 *οὓς ἐὰν λαμβ.* X 20 *ἀποτρέψει* ⟨*τοῦ*⟩ Rs *μηδεμίαν* cf. Demosth. XXIII 117 21 *δῶτε* Zaka

30.

| ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ [ΓΡΑΜΜΑΤΕΩΣ ΕΥΘΥΝΩΝ ΚΑΤΗΓΟΡΙΑ].

Ἤδη, ὦ ἄνδρες δικασταί, τινὲς εἰς κρίσιν καταστάν- 1
τες ἀδικεῖν μὲν ἔδοξαν, ἀποφαίνοντες δὲ τὰς τῶν προγόνων ἀρετὰς καὶ τὰς σφετέρας αὐτῶν εὐεργεσίας συγγνώμης ἔτυχον παρ᾿ ὑμῶν. ἐπειδὴ τοίνυν καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε, ἐάν τι ἀγαθὸν φαίνωνται τὴν πόλιν πεποιηκότες, ἄξιον καὶ τῶν κατηγόρων ὑμᾶς ἀκροάσασθαι, ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πάλαι πονη-
ροὺς ὄντας. ὅτι μὲν τοίνυν ὁ πατὴρ ὁ Νικομάχου δημό- 2
σιος ἦν, καὶ οἷα νέος ὢν οὗτος ἐπετήδευσε, καὶ ὅσα ἔτη γεγονὼς εἰς τοὺς φράτερας εἰσήχθη, πολὺ ἂν ἔργον εἴη λέγειν· ἐπειδὴ δὲ τῶν νόμων ἀναγραφεὺς ἐγένετο, τίς οὐκ οἶδεν οἷα τὴν πόλιν ἐλυμήνατο; προσταχθὲν γὰρ αὐτῷ τεττάρων μηνῶν ἀναγράψαι τοὺς νόμους τοὺς Σόλωνος, ἀντὶ μὲν Σόλωνος αὐτὸν νομοθέτην κατέστησεν, ἀντὶ δὲ τεττάρων μηνῶν ἑξέτη τὴν ἀρχὴν ἐποιήσατο, καθ᾿ ἑκάστην δὲ ἡμέραν ἀργύριον λαμβάνων τοὺς μὲν
ἐνέγραφε τοὺς δὲ ἐξήλειφεν. εἰς τοῦτο δὲ κατέστημεν 3
ὥστε ἐκ τῆς τούτου χειρὸς ἐταμιευόμεθα τοὺς νόμους·

---

2 Or. XXX. *γραμματέως εὐθυνῶν κατ.* delevi, *κατὰ Νικομαχίδου* Harp. *ἐπιβολή*. cf. § 11 4 *δικασταί* add. a m. pr. X 7 *καὶ* pone *τοίνυν* del. Dobr, sed cf. XIV 24 9 *ἄξιον* C cf. XIV 24, *ἄξιον* an *ἀξίω* habeat X incertum est, cum accentus evanuerit Wdn, *ἀξίω* X^h 10 *πάλαι πον.*] *παμπονήρους* Cob 12 *οὗτος*] *αὐτὸς* Dobr 13 *φράτερας* Cob: *φράτορας* X 16 *τοὺς Σ.* Rs: *τοῦ Σ.* X 18 *ἑξέτη* Tayl: *ἓξ ἔτη* X 19 *δὲ* ⟨*τὴν*⟩ *ἡμέραν* Herw coll. Meisterhans gramm.[2] 191, sed cf. XXII 20, XXVIII 7, f. 53, 4 (articulus in X undecies abest, ter adest) 20 *ἀνέγραφε* Frb, cf. § 5 21 *ἐταμιευόμεθα* Dobr: *τεταμιεύμεθα* X, *ἐτεταμιεύμεθα* idem Dobr, quod aliis placuit

*καὶ οἱ ἀντίδικοι ἐπὶ τοῖς δικαστηρίοις ἐναντίους παρεί-
χοντο, ἀμφότεροι παρὰ Νικομάχου φάσκοντες εἰληφέναι.
ἐπιβαλλόντων δὲ τῶν ἀρχόντων ἐπιβολὰς καὶ εἰσαγόν-
των εἰς τὸ δικαστήριον οὐκ ἠθέλησε παραδοῦναι τοὺς
νόμους· ἀλλὰ πρότερον ἡ πόλις εἰς τὰς μεγίστας συμ-
φορὰς κατέστη, πρὶν τοῦτον ἀπαλλαγῆναι τῆς ἀρχῆς καὶ
4 τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. καὶ γάρ τοι, ὦ
ἄνδρες δικασταί, ἐπειδὴ ἐκείνων δίκην οὐ δέδωκεν,
ὁμοίαν καὶ νῦν τὴν ἀρχὴν κατεστήσατο, ὅστις πρῶτον
μὲν τέτταρα ἔτη ἀνέγραψεν, ἐξὸν αὐτῷ τριάκοντα ἡμε-
ρῶν ἀπαλλαγῆναι· ἔπειτα διωρισμένον ἐξ ὧν ἔδει ἀνα-
γράφειν, αὑτὸν ἁπάντων κύριον ἐποιήσατο, καὶ ὅσα
⟨οὐδεὶς πώποτε⟩ διαχειρίσας μόνος οὗτος τῶν ἀρξάν-
5 των εὐθύνας οὐκ ἔδωκεν, ἀλλ' οἱ μὲν ἄλλοι τῆς αὑτῶν
ἀρχῆς κατὰ πρυτανείαν λόγον ἀποφέρουσι, σὺ δέ, ὦ Νι-
κόμαχε, οὐδὲ τεττάρων ἐτῶν ἠξίωσας ἐγγράψαι, ἀλλὰ
μόνῳ σοὶ τῶν πολιτῶν ἐξεῖναι νομίζεις ἄρχειν πολὺν
χρόνον, καὶ μήτε εὐθύνας διδόναι μήτε τοῖς ψηφίσμασι
πείθεσθαι μήτε τῶν νόμων φροντίζειν, ἀλλὰ τὰ μὲν
ἐγγράφεις τὰ δ' ἐξαλείφεις, καὶ εἰς τοῦτο ὕβρεως ἥκεις
ὥστε σαυτοῦ νομίζεις εἶναι τὰ τῆς πόλεως, αὐτὸς δημό-
6 σιος ὤν. ὑμᾶς τοίνυν χρή, ὦ ἄνδρες δικασταί, ἀναμνη-
σθέντας καὶ τῶν προγόνων τῶν Νικομάχου, οἵτινες ἦσαν,*

---

1 *ἐν τοῖς δικ.* Cob, sed cf. Isocr. XVIII 9 8 *οὐκ ἔδωκεν* C et Wdn 9 *ὁμοίαν* Schott: *ὁποίαν* X, *οἵαν* Frb, *ποίαν* P. Müller, *ὁρᾶθ' ὁποίαν* vel *οἵαν* West, post *καὶ γάρ τοι* addunt *ἄξιον θαυμάζειν* Franz, *δῆλον* Kayser 11 *ἔπειτα διωρισμένον* Ald: *ἐπὶ τὰ διωρισμένα* X 12 *ἐποιήσατο* Ald: *ἐποιήσατε* 13 *οὐδεὶς πώποτε* Francken add., *οὐδεὶς ἄλλος* add. Rs *διαχειρίσας* post Contium Rs: *χειρίσας* X, *ἀλλὰ τὰ ὅσια διαχ.* Sluiter 15 *ἀποφέρουσι* Schoell: *ἀναφέρουσι* X 20 *ἀναγράφεις* post Marklandium Frb, qui verba *ἀλλὰ . . . ἐξαλείφεις* ut repetita ex § 2 delere malit 23 *οἷοί τινες* Rauch, sed cf. Demosth. XVIII 283

καὶ οὗτος ὡς ἀχαρίστως ὑμῖν προσενήνεκται παρανομήσας, κολάσαι αὐτόν, καὶ ἐπειδὴ ἑνὸς ἑκάστου δίκην οὐκ εἰλήφατε, νῦν ὑπὲρ ἁπάντων γοῦν τὴν τιμωρίαν ποιήσασθε.

7 *Ἴσως δέ, ὦ ἄνδρες δικασταί, ἐπειδὰν περὶ αὐτοῦ μηδὲν δύνηται ἀπολογεῖσθαι, ἐμὲ διαβάλλειν πειράσεται. τότε δὲ περὶ τῶν ἐμῶν τούτῳ ἀξιῶ πιστεύειν ὑμᾶς, ὁπόταν ἀπολογίας ἐμοὶ δοθείσης μὴ δύνωμαι ψευδόμενον αὐτὸν ἐξελέγξαι. ἐὰν δ' ἄρα ἐπιχειρῇ λέγειν ἅπερ ἐν τῇ βουλῇ, ὡς ἐγὼ τῶν τετρακοσίων ἐγενόμην, ἐνθυμεῖσθε ⟨ὅτι ὑπὸ⟩ τῶν τοιαῦτα λεγόντων ἐκ τῶν τετρακοσίων πλεῖν ἢ χίλιοι γενήσονται· καὶ γὰρ τοὺς ἔτι παῖδας ὄντας ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ τοὺς ἀποδημοῦντας οἱ διαβάλλειν βουλόμενοι ταῦτα λοιδοροῦσιν.* 8 *ἐγὼ δὲ οὕτω πολλοῦ ἐδέησα τῶν τετρακοσίων γενέσθαι, ὥστε οὐδὲ τῶν πεντακισχιλίων κατελέγην. δεινὸν δέ μοι δοκεῖ εἶναι ὅτ', εἰ μὲν περὶ ἰδίων συμβολαίων ἀγωνιζόμενον οὕτω φανερῶς ἐξήλεγχον αὐτὸν ἀδικοῦντα, οὐδ' ἂν αὐτὸς ἠξίωσε τοιαῦτα ἀπολογούμενος ἀποφεύγειν, νυνὶ δὲ περὶ τῶν τῆς | πόλεως κρινόμενος οἰήσεται χρῆναι ἐμοῦ κατηγορῶν ὑμῖν μὴ δοῦναι δίκην.*

---

1 *καὶ αὐτὸς ὡς* Dobr *παρανομήσας* del. Boekmeijer 2 *ἑκάστου ⟨ἀδικήματος⟩* P. Müller 3 *γοῦν* habet X, in quo nihil sollicitandum cf. XXV 4 *ποιήσασθαι* Markl 7 *τούτῳ* Rs: *τότε* X 9 *ἅπερ ⟨καὶ⟩ ἐν* malit Rs 10 et 11 *τετρακοσίων* Ald: *τριακοσίων* X 11 *ὅτι ὑπὸ* add. Francken secundum C (qui add. *ὅτι ἐκ*), *ὅτι κατὰ τοὺς λόγους τῶν* vel *ὅτι ἐὰν ἀποδέχησθε* Rs, *ὅτι τῶν . . . λεγόντων ἐὰν ἀκούσητε* Markl, *ὅτι εἰ ἀποδέξεσθε* P. Müller; sed nihil ad rem, quomodo iudices haec accepturi sint; *ἐνθυμ. τούτων τοιαῦτα* Sauppe *τὰ τοιαῦτα* Francken *ἐκ* om. C 12 *πλεῖον* X 13 *οἱ* ante *διαβ.* del. Francken 16 *πεντακισχιλίων* Tayl: *τρισχιλίων* X, quod defendit Sauppe ep. crit. 22 17 *ὅτ'* scripsi cf. VII 23: *ὅτι* X, quod del. Dobr *ἀγωνιζόμενον* Wdn: *ἀγωνιζόμενος* X

9 Ἔτι δὲ κἀκεῖνο θαυμαστὸν νομίζω Νικόμαχον ἑτέροις
ἀδίκως μνησικακεῖν ἀξιοῦν, ὃν ἐγὼ ἐπιβουλεύσαντα τῷ
πλήθει ἀποδείξω. καί μου ἀκούσατε· δίκαιον γάρ, ὦ
ἄνδρες δικασταί, περὶ τῶν τοιούτων ἀνθρώπων τὰς
τοιαύτας κατηγορίας ἀποδέχεσθαι, οἵτινες τότε συγκατα-
10 λύσαντες τὸν δῆμον νυνὶ δημοτικοί φασιν εἶναι. ἐπειδὴ
γὰρ ἀπολομένων τῶν νεῶν ἡ μετάστασις ἐπράττετο, Κλεο-
φῶν τὴν βουλὴν ἐλοιδόρει, φάσκων συνεστάναι καὶ ⟨οὐ⟩
XIII 12] τὰ βέλτιστα βουλεύειν τῇ πόλει. Σάτυρος δ' ὁ Κηφι-
σιεὺς βουλεύων ἔπεισε τὴν βουλὴν δήσαντας αὐτὸν πα-
11 ραδοῦναι δικαστηρίῳ. οἱ δὲ βουλόμενοι αὐτὸν ἀπολέσαι,
δεδιότες μὴ οὐκ ἀποκτείνωσιν ἐν τῷ δικαστηρίῳ, πεί-
θουσι Νικόμαχον νόμον ἀποδεῖξαι ὡς χρὴ καὶ τὴν βου-
λὴν συνδικάζειν. καὶ ὁ πάντων οὗτος πονηρότατος οὕ-
τως φανερῶς συνεστασίασεν, ὥστε τῇ ἡμέρᾳ ᾗ ἡ κρίσις
12 ἐγένετο ἀποδεῖξαι τὸν νόμον. Κλεοφῶντος τοίνυν, ὦ
ἄνδρες δικασταί, ἕτερα μὲν ἄν τις ἔχοι κατηγορῆσαι·
τοῦτο δὲ παρὰ πάντων ὁμολογεῖται, ὅτι οἱ καταλύοντες
τὸν δῆμον ἐκεῖνον ἐβούλοντο μάλιστα τῶν πολιτῶν ἐκ-
ποδὼν γενέσθαι, καὶ ὅτι Σάτυρος καὶ Χρέμων ὁ τῶν
τριάκοντα γενόμενος οὐχ ὑπὲρ ὑμῶν ὀργιζόμενοι Κλεο-

---

1 κἀκεῖνο Gebauer: οἶμαι X, del. Cont, καὶ Franz, ὦ ἄνδρες δικ. Baiter, εἶναι Reuss   νομίζω, quod est in X, del. Tayl, ἔστι . . . νομίζειν Rs, ἐστιν ὑμᾶς Kayser   2 ἀδίκως, quod rectissime voci δίκαιον opponitur, del. Dobr, ἀδικοῦσι Rs, ὡς ἀδικοῦσι Kayser, ἀδικίας Sauppe, ἀδικημάτων Reuss   8 οὐ add. Cont, μὴ add. Markl   9 δ' ὁ Cob: δὲ X   κηφισεὺς X   10 βουλεύων del. Halb, sed cf. [Demosth.] LIX 4, ἐπιβουλεύων Wdn   δήσαντας a pr. m. corr. ex δείσαντας X   13 Νικόμαχον Palmer: Νικομαχίδην X cf. Harp. ἐπιβολὴ, sed v. Schoemann ad Is. VI 47, K. F. Hermann, Abh. 47   15 ὥστε τῇ ⟨αὐτῇ⟩ Herw   17 τις ⟨ἴσως⟩ ἔχοι Herw   20 Χρέμων Schott: Κλεοφῶν X, del. Bekker   ὁ . . . 21 γενόμενος Frb: οἱ . . . γενόμενοι X, quibus addunt μετὰ ταῦτα Weijers, ὕστερον West, del. Reuss   21 ὑμῶν ex ἡμῶν a pr. m. corr. X

*φῶντος κατηγόρουν, ἀλλ' ἵνα ἐκεῖνον ἀποκτείναντες αὐ-
τοὶ ὑμᾶς κακῶς ποιῶσι. καὶ ταῦτα διεπράξαντο διὰ τὸν* 13
*νόμον ὃν Νικόμαχος ἀπέδειξεν. εἰκὸς τοίνυν, ὦ ἄνδρες
δικασταί, ἐνθυμεῖσθαι καὶ ὁπόσοι ὑμῶν ἐνόμιζον Κλεο-
φῶντα κακὸν πολίτην εἶναι, ὅτι καὶ τῶν ἐν τῇ ὀλιγαρ-
χίᾳ ἀποθανόντων ἴσως τις ἦν πονηρός, ἀλλ' ὅμως καὶ
διὰ τοὺς τοιούτους ὠργίζεσθε τοῖς τριάκοντα, ὅτι οὐ
τῶν ἀδικημάτων ἕνεκα ἀλλὰ κατὰ στάσιν αὐτοὺς ἀπέ-
κτειναν. ἐὰν οὖν πρὸς ταῦτα ἀπολογῆται, τοσοῦτον* 14
*μέμνησθε, ὅτι ἐν τοιούτῳ καιρῷ τὸν νόμον ἀπέδειξεν
ἐν ᾧ ἡ πολιτεία μεθίστατο, καὶ τούτοις χαριζόμενος οἳ
τὸν δῆμον κατέλυσαν, καὶ ταύτην τὴν βουλὴν συνδικά-
ζειν ἐποίησεν ἐν ᾗ Σάτυρος μὲν καὶ Χρέμων μέγιστον
ἐδύναντο, Στρομβιχίδης δὲ καὶ Καλλιάδης καὶ ἕτεροι
πολλοὶ καὶ καλοὶ κἀγαθοὶ τῶν πολιτῶν ἀπώλλυντο.*
Καὶ περὶ τούτων οὐδένα ἂν ἐποιησάμην λόγον, εἰ μὴ 15
*ᾐσθανόμην αὐτὸν ὡς δημοτικὸν ὄντα πειρασόμενον πα-
ρὰ τὸ δίκαιον σῴζεσθαι, καὶ τῆς εὐνοίας τῆς εἰς τὸ πλῆ-
θος τεκμηρίῳ χρησόμενον ὅτι ἔφυγεν. ἐγὼ δὲ καὶ ἑτέ-
ρους ἂν ἔχοιμι ἐπιδεῖξαι τῶν συγκαταλυσάντων τὸν δῆ-
μον τοὺς μὲν ἀποθανόντας, τοὺς δὲ φυγόντας τε καὶ οὐ
μετασχόντας τῆς πολιτείας, ὥστε οὐδένα εἰκὸς αὐτῷ τού-* 16
*του ὑπόλογον γενέσθαι. τοῦ μὲν γὰρ ὑμᾶς φυγεῖν μέρος
τι καὶ οὗτος συνεβάλετο, τοῦ δὲ τοῦτον κατελθεῖν τὸ
πλῆθος τὸ ὑμέτερον αἴτιον ἐγένετο. ἔτι δὲ καὶ δεινόν,*

---

2 *διὰ τοῦ νόμου* malit Rs, sed cf. VII 21   4 *καὶ* del. Dobr   *ὑμῶν* sine corr. X   12 *κατέλυον* Cob   14 *στρομαιχίδης* X   17 *πειρασόμενον* Weijers: *πειράσεσθαι* X   18 *καὶ* ante *τῆς* abesse malit Rs, quo deleto Cob *ἐπυθόμην* (pro *ᾐσθαν.*) legit   20 *συγκαταλυσάντων* a pr. m. ex *συγκαλεσάντων* X   22 *τούτου* Weijers: *τουτ̣* X   25 *δὲ καὶ* ⟨*τοῦτο*⟩ *δ.* Rs, *καὶ* del. Auger

εἰ ὧν μὲν ἄκων ἔπαθε χάριν αὐτῷ εἴσεσθε, ὧν δ' ἑκὼν
ἐξήμαρτε μηδεμίαν τιμωρίαν ποιήσεσθε.
17 Πυνθάνομαι δὲ αὐτὸν λέγειν ὡς ἀσεβῶ καταλύων τὰς
θυσίας. ἐγὼ δ' εἰ μὲν νόμους ἐτίθην περὶ τῆς ἀναγρα-
φῆς, ἡγούμην ἂν ἐξεῖναι Νικομάχῳ τοιαῦτα εἰπεῖν περὶ
ἐμοῦ· νῦν δὲ τοῖς κοινοῖς καὶ κειμένοις ἀξιῶ τοῦτον
πείθεσθαι. θαυμάζω δὲ εἰ μὴ ἐνθυμεῖται, ὅταν ἐμὲ φά-
σκῃ ἀσεβεῖν λέγοντα ὡς χρὴ θύειν τὰς θυσίας τὰς ἐκ
τῶν κύρβεων καὶ τῶν στηλῶν κατὰ τὰς συγγραφάς, ὅτι
καὶ τῆς πόλεως κατηγορεῖ· ταῦτα γὰρ ὑμεῖς ἐψηφί-
σασθε. ἔπειτα εἰ ταῦτα νομίζεις δεινά, ἦ που σφόδρα
ἐκείνους ἡγεῖ ἀδικεῖν, οἳ τὰ ἐκ τῶν κύρβεων μόνον
18 ἔθυον. καίτοι, ὦ ἄνδρες δικασταί, περὶ εὐσεβείας οὐ
παρὰ Νικομάχου ⟨χρὴ⟩ μανθάνειν, ἀλλ' ἐκ τῶν γεγενη-
μένων σκοπεῖν. οἱ τοίνυν πρόγονοι τὰ ἐκ τῶν κύρβεων
θύοντες μεγίστην καὶ εὐδαιμονεστάτην τῶν Ἑλληνίδων
τὴν πόλιν παρέδοσαν, ὥστε ἄξιον ἡμῖν τὰς αὐτὰς ἐκεί-
νοις θυσίας ποιεῖσθαι, καὶ εἰ μηδὲν δι' ἄλλο, τῆς τύχης
19 ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γεγενημένης. πῶς | δ'
ἄν τις εὐσεβέστερος γένοιτο ἐμοῦ, ὅστις ἀξιῶ πρῶτον
μὲν κατὰ τὰ πάτρια θύειν, ἔπειτα ἃ μᾶλλον συμφέρει
τῇ πόλει, ἔτι δὲ ἃ ὁ δῆμος ἐψηφίσατο καὶ δυνησόμεθα
δαπανᾶν ἐκ τῶν προσιόντων χρημάτων; σὺ δέ, ὦ Νικό-
μαχε, τούτων τἀναντία πεποίηκας· ἀναγράψας γὰρ πλείω

9 στηλῶν Tayl: εὔπλων X 12 ἡγῇ X ἀδικεῖν] ἀσεβεῖν malit Bekker 14 χρὴ hic add. Tur, pone μανθ. add. C, καίτοι ⟨εἰκός⟩, ὦ Wdn 17 παρέδοσαν ⟨ἡμῖν⟩ Cont, ἡμῖν quod sequitur huc transp. Baiter 18 εἰ καὶ μηδὲν Halb ⟨ἀλλ' οὖν⟩ τῆς vel τῆς ⟨γε⟩ Sluiter, τῆς τύχης γε Francken, τῆς γ' εὐτυχίας pp. Herw 21 ἔπειτα del. Rauch, ἐπεὶ τί ἂν ... συμφέροι Wdn μᾶλλον] πάλαι Sauppe, μάλιστα Graux, μέλλει συμφέρειν Richards 22 ἔτι δὲ] ἔπειτα Kayser καὶ ⟨ἃ⟩ δυν. Cont, κἂς ἃ δυν. Kayser 23 δαπανᾶν del. Francken προσιόντων Rs: προσόντων X

τῶν προσταχθέντων αἴτιος γεγένησαι τὰ προσιόντα χρήματα εἰς ταῦτα μὲν ἀναλίσκεσθαι, ἐν δὲ ταῖς πατρίοις θυσίαις ἐπιλείπειν. αὐτίκα πέρυσιν ἱερὰ ἄθυτα τριῶν 20 *ταλάντων γεγένηται τῶν ἐν ταῖς κύρβεσι γεγραμμένων. καὶ οὐχ οἷόν τε εἰπεῖν ὡς οὐχ ἱκανὰ ἦν ἃ προσῆλθε τῇ πόλει· εἰ γὰρ οὗτος μὴ πλείω ἀνέγραψεν ἓξ ταλάντοις, εἴς τε τὰς θυσίας τὰς πατρίους ἂν ἐξήρκεσε καὶ τρία τάλαντα ἂν περιεγένετο τῇ πόλει. περὶ δὲ τῶν εἰρημένων καὶ μάρτυρας ὑμῖν παρέξομαι.*

ΜΑΡΤΥΡΕΣ.

Ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες δικασταί, ὅτι, ὅταν μὲν 21 *κατὰ τὰς συγγραφὰς ποιῶμεν, ἅπαντα τὰ πάτρια θύεται, ἐπειδὰν δὲ κατὰ τὰς στήλας ἃς οὗτος ἀνέγραψε, πολλὰ τῶν ἱερῶν καταλύεται. κᾆθ' οὗτος ὁ ἱερόσυλος περιτρέχει, λέγων ὡς εὐσέβειαν ἀλλ' οὐκ εὐτέλειαν ἀνέγραψε· καὶ εἰ μὴ ταῦτα ὑμῖν ἀρέσκει, ἐξαλείφειν κελεύει, καὶ ἐκ τούτων οἴεται πείσειν ὡς οὐδὲν ἀδικεῖ· ὃς ἐν δυοῖν μὲν ἐτοῖν πλείω ἤδη τοῦ δέοντος δώδεκα ταλάντοις ἀνήλωσε, παρ' ἕκαστον δὲ τὸν ἐνιαυτὸν ἐπεχείρησεν ἓξ ταλάντοις τὴν πόλιν ζημιῶσαι, καὶ ταῦτα ὁρῶν αὐτὴν ἀποροῦσαν* 22 *χρημάτων καὶ Λακεδαιμονίους μὲν ἀπειλοῦντας, ὅταν μὴ ἀποπέμψωμεν αὐτοῖς τὰ χρήματα, Βοιωτοὺς δὲ σύλας ποιουμένους, ὅτι οὐ δυνάμεθα δύο τάλαντα ἀποδοῦναι,*

---

1 ⟨τοῦ⟩ τὰ Cob προσιόντα Rs: προσόντα X 5 ἦν ἃ Markl: εἶναι X, ὄντα Cont, εἴη ἃ Cob 7 εἴς τε Bekker: εἴς γε X 12 ποιῶμεν] θύωμεν Cont 14 κᾆθ' οὗτος Jacobs: καὶ τούτοις X, καίτοι οὗτος Rs, καὶ ἐπὶ τούτοις Markl, καὶ ταύτας Dobr, κἄπειθ' οὗτος Cob, καὶ τοιοῦτος West 15 ὡς ⟨εἰς⟩ . . . οὐκ ⟨εἰς⟩ Sluiter, ὡς ⟨κατ'⟩ Frb, εὐσεβείᾳ ἀλλ' οὐκ ⟨ἐπ'⟩ εὐτελείᾳ Wdn καὶ εἰ] εἰ δὲ C 16 ὑμῖν] ἡμῖν X 17 πείσειν Cob: πείθειν X 18 ἀνάλωσε X 22 σύλας Cont: σύλα X 23 ὅτι a pr. m. ex ὅτε corr. X ⟨τὰ⟩ δύο Scheibe

τοὺς δὲ νεωσοίκους ⟨καὶ⟩ τὰ τείχη περικαταρρέοντα, εἰδὼς δὲ ὅτι ἡ βουλὴ ἡ ⟨ἀεὶ⟩ βουλεύουσα, ὅταν μὲν ἔχῃ ἱκανὰ χρήματα εἰς διοίκησιν, οὐδὲν ἐξαμαρτάνει, ὅταν δε εἰς ἀπορίαν καταστῇ, ἀναγκάζεται εἰσαγγελίας δέχεσθαι καὶ δημεύειν τὰ τῶν πολιτῶν καὶ τῶν ῥητόρων
23 τοῖς ⟨τὰ⟩ πονηρότατα λέγουσι πείθεσθαι. χρὴ τοίνυν, ὦ ἄνδρες δικασταί, μὴ τοῖς βουλεύουσιν ἑκάστοτε ὀργίζεσθαι, ἀλλὰ τοῖς εἰς τοιαύτας ἀπορίας καθιστᾶσι τὴν πόλιν. προσέχουσι ⟨δὲ⟩ τὸν νοῦν οἱ βουλόμενοι τὰ κοινὰ κλέπτειν, ὅπως Νικόμαχος ἀγωνιεῖται· οἷς ὑμεῖς, ἐὰν μὴ τοῦτον τιμωρήσησθε, πολλὴν ἄδειαν ποιήσετε· ἐὰν δὲ καταψηφισάμενοι τῶν ἐσχάτων αὐτῷ τιμήσητε, τῇ αὐτῇ ψήφῳ τούς τε ἄλλους βελτίους ποιήσετε καὶ
24 παρὰ τούτου δίκην εἰληφότες ἔσεσθε. ἐπίστασθε δέ, ὦ ἄνδρες δικασταί, ὅτι παράδειγμα τοῖς ἄλλοις ἔσται μὴ τολμᾶν εἰς ὑμᾶς ἐξαμαρτάνειν οὐχ ὅταν τοὺς ἀδυνάτους εἰπεῖν κολάζητε, ἀλλ' ὅταν παρὰ τῶν δυναμένων λέγειν δίκην λαμβάνητε. τίς οὖν τῶν ἐν τῇ πόλει ἐπιτηδειότερος Νικομάχου δοῦναι δίκην; τίς ἐλάττω τὴν πόλιν
25 ἀγαθὰ πεποίηκεν ἢ πλείω ἠδίκηκεν; ὃς καὶ τῶν ὁσίων καὶ τῶν ἱερῶν ἀναγραφεὺς γενόμενος εἰς ἀμφότερα ταῦτα ἡμάρτηκεν. ἀναμνήσθητε δὲ ὅτι πολλοὺς ἤδη τῶν πολιτῶν ἐπὶ κλοπῇ χρημάτων ἀπεκτείνατε. καίτοι ἐκεῖνοι μὲν τοσοῦτον μόνον ὑμᾶς ἔβλαψαν ὅσον ἐν τῷ παρόντι, οὗτοι δ' ἐπὶ τῇ τῶν νόμων ἀναγραφῇ [καὶ τῶν

1 καὶ add. Tayl 2 εἰδώς τε Markl ἀεὶ add. Sluiter 6 τὰ add. Rs 8 καθιστᾶσι Rs: καθιστῶσι X 9 δὲ add. Sauppe, γὰρ add. Markl, δὲ καὶ add. Weijers, lacunam pone πόλιν ind. Cob, προσέχουσι . . . 18 λαμβάνητε del. Dobr, coll. XXVII 5, προσ. . . . 22 ἡμάρτηκεν del. Kocks 12 αὐτῷ Rs: αὐτὸν X, del. Dobr 25 οὗτοι δ'] οἱ δ' Francken καὶ τῶν ἱερῶν del. Francken

ἱερῶν] δῶρα λαμβάνοντες εἰς ἅπαντα τὸν χρόνον τὴν πόλιν ζημιοῦσι.

Διὰ τί δ' ἄν τις ἀποψηφίσαιτο τούτου; πότερον ὡς 26
ἀνδρὸς ἀγαθοῦ πρὸς τοὺς πολεμίους καὶ πολλαῖς μάχαις καὶ ναυμαχίαις παραγεγενημένου; ἀλλὰ ὅτε ὑμεῖς ἐκινδυνεύετε ἐκπλέοντες, οὗτος αὐτοῦ μένων τοὺς Σόλωνος νόμους ἐλυμαίνετο. ἀλλ' ὅτι χρήματα δεδαπάνηκε καὶ πολλὰς εἰσφορὰς εἰσενήνοχεν; ἀλλ' οὐχ ὅπως ὑμῖν τῶν αὐτοῦ τι ἐπέδωκεν, ἀλλὰ τῶν ὑμετέρων πολλὰ ὑφῄρηται. ἀλλὰ διὰ τοὺς προγόνους; ἤδη γάρ τινες καὶ διὰ τοῦτο 27
συγγνώμης ἔτυχον παρ' ὑμῶν. ἀλλὰ τούτῳ γε προσήκει διὰ μὲν αὐτὸν τεθνάναι, διὰ δὲ τοὺς προγόνους πεπρᾶσθαι. ἀλλ' ὡς, ἐὰν νῦν αὐτοῦ φείσησθε, αὖθις ἀποδώσει | τὰς χάριτας; ὃς οὐδ' ὧν πρότερον μετέλαβε παρ' ὑμῶν ἀγαθῶν μέμνηται. καίτοι ἀντὶ μὲν δούλου πολίτης γεγένηται, ἀντὶ δὲ πτωχοῦ πλούσιος, ἀντὶ δὲ ὑπογραμματέως νομοθέτης. ἃ καὶ ὑμῶν ἔχοι ἄν τις κατη- 28
γορῆσαι, ὅτι οἱ μὲν πρόγονοι νομοθέτας ᾑροῦντο Σόλωνα καὶ Θεμιστοκλέα καὶ Περικλέα, ἡγούμενοι τοιούτους ἔσεσθαι τοὺς νόμους οἷοίπερ ἂν ὦσιν οἱ τιθέντες, ὑμεῖς δὲ Τεισαμενὸν τὸν Μηχανίωνος καὶ Νικόμαχον καὶ ἑτέρους ἀνθρώπους ὑπογραμματέας· καὶ τὰς μὲν ἀρχὰς ὑπὸ τῶν τοιούτων ἡγεῖσθε διαφθείρεσθαι, αὐτοὶ δὲ τούτοις πιστεύετε. ὃ δὲ πάντων δεινότατον· 29
ὑπογραμματεῦσαι μὲν οὐκ ἔξεστι δὶς τὸν αὐτὸν τῇ ἀρχῇ τῇ αὐτῇ, περὶ δὲ τῶν μεγίστων τοὺς αὐτοὺς ἐᾶτε πολὺν χρόνον κυρίους εἶναι. καὶ τὸ τελευταῖον Νικόμαχον εἵλεσθε ἀναγράφειν τὰ πάτρια, ᾧ κατὰ πατέρα τῆς πό-

---

7 χρήματα C: χρήμασιν X 10 διὰ τοῦτο] διὰ τούτους Sluiter, διὰ τοιοῦτο malit Wdn 13 ἀποδώσοντος malit Francken 24 αὐτοὶ Sluiter: αὐτοῖς X, αὐτοὺς Markl

30 *λεως οὐδὲν προσήκει· καὶ ὃν ἔδει ὑπὸ τοῦ δήμου κρίνε-*
σθαι, οὗτος τὸν δῆμον συγκαταλύσας φαίνεται. νῦν
τοίνυν ὑμῖν μεταμελησάτω τῶν πεπραγμένων, καὶ μὴ
ὑπὸ τούτων ἀεὶ κακῶς πάσχοντες ἀνέχεσθε, μηδὲ ἰδίᾳ
μὲν ὀνειδίζετε τοῖς ἀδικοῦσιν, ἐπειδὰν δ' ἐξῇ δίκην παρ'
αὐτῶν λαμβάνειν, ἀποψηφίζεσθε.
31 *Καὶ περὶ μὲν τούτων ἱκανά μοι τὰ εἰρημένα· περὶ δὲ*
τῶν ἐξαιτησομένων βραχέα πρὸς ὑμᾶς εἰπεῖν βούλομαι.
παρεσκευασμένοι ⟨γάρ⟩ τινές εἰσι καὶ τῶν φίλων καὶ
τῶν τὰ τῆς πόλεως πραττόντων δεῖσθαι ὑπὲρ αὐτοῦ·
ὧν ἐγὼ ἡγοῦμαι ἐνίοις προσήκειν ὑπὲρ τῶν ἑαυτοῖς
πεπραγμένων ἀπολογεῖσθαι πολὺ μᾶλλον ἢ τοὺς ἀδι-
32 *κοῦντας σῴζειν προαιρεῖσθαι. δεινὸν δέ μοι δοκεῖ εἶναι,*
ὦ ἄνδρες δικασταί, εἰ τούτου μὲν ἑνὸς ὄντος καὶ οὐδὲν
ὑπὸ τῆς πόλεως ἠδικημένου οὐκ ἐπεχείρησαν δεῖσθαι
[ὡς χρὴ] παύσασθαι εἰς ὑμᾶς ἐξαμαρτάνοντα, ὑμᾶς δὲ
τοσούτους ὄντας καὶ ἠδικημένους ὑπὸ τουτουὶ πείσουσιν
33 *ὡς οὐ χρὴ δίκην παρ' αὐτοῦ λαμβάνειν. χρὴ τοίνυν,*
ὥσπερ καὶ τούτους ὁρᾶτε προθύμως σῴζοντας τοὺς φί-
λους, οὕτως καὶ ὑμᾶς τοὺς ἐχθροὺς τιμωρεῖσθαι, εὖ εἰ-
δότας ὅτι τούτοις πρώτοις ἄνδρες ἀμείνους δόξετε εἶναι,
ἐὰν παρὰ τῶν ἀδικούντων δίκην λαμβάνητε. ἐνθυμεῖσθε
δὲ ὅτι [οὔτε Νικόμαχος] οὐδὲ τῶν αἰτησομένων οὐδεὶς

---

1 *οὐδὲν*] Rs: *οὐ* X *ὑπὸ τοῦ* Markl: *ὑπὲρ τοῦ* X 4 *τούτων* C: *τῶν* X, *τῶν αὐτῶν* Schott, *τῶν ἀδικούντων κακῶς* Wdn, *τῶν ἀεὶ ⟨κακίστων⟩ κακῶς* Rs 5 *αὐτοῖς ἀδικοῦσιν* pp. Herw 7 *τούτων*] *τούτου* Dobr, *τουτουί* Francken *ἱκανὰ εἶναι οἶμαι τὰ* Wdn, sed cf. XXIX 8 8 *ἐξαιτησομένων* (α supra ο) X 9 *γὰρ* add. Rs 16 *ὡς χρὴ* del. Dobr, *ὡς χρηστοῦ* Rs, *ὡς χρηστοὶ* ci. Fuhr, *ἐν τῷ τέως χρόνῳ* Wdn 17 *τουτουὶ πείσουσιν* Sauppe: *τούτου ζητήσουσιν* X, *τούτου πείθειν ζητήσουσιν* vel *αἰτήσουσιν* Cont 19 *καὶ* Tur: *ἂν* X, *νῦν* Rs, del. Cont 22 *ἐὰν* Cont: *ἐπ' ἂν* X[k], *ὁπόταν* Wdn 23 *οὔτε Νικόμαχος οὔτε*, quod est in X, del. Dobr, *οὐδὲ* West, *οὔτε τις ἄλλος οὔτε*

*τοσαῦτα ἀγαθὰ πεποίηκε τὴν πόλιν, ὅσα οὗτος ἠδίκηκεν,
ὥστε πολὺ μᾶλλον ὑμῖν προσήκει τιμωρεῖσθαι ἢ τούτοις
βοηθεῖν. εὖ δ' εἰδέναι χρὴ τοὺς αὐτοὺς τούτους, ὅτι* 34
*πολλὰ δεηθέντες τῶν κατηγόρων ἡμᾶς μὲν οὐδαμῶς
ἔπεισαν, τῆς δὲ ὑμετέρας ψήφου ἀποπειράσοντες εἰσελη-
λύθασιν εἰς τὸ δικαστήριον, καὶ ἐλπίζουσιν ὑμᾶς ἐξ-
απατήσαντες ἄδειαν εἰς τὸν λοιπὸν χρόνον λήψεσθαι τοῦ
ποιεῖν ὅ τι ἂν βούλωνται. ἡμεῖς μὲν τοίνυν οὐκ ἠθε-* 35
*λήσαμεν ὑπὸ τούτων αἰτούμενοι πεισθῆναι, τὸ δὲ αὐτὸ
τοῦτο παρακαλοῦμεν ⟨ὑμᾶς⟩ μὴ πρὸ τῆς κρίσεως μισο-
πονηρεῖν, ἀλλ' ἐν τῇ κρίσει τιμωρεῖσθαι τοὺς τὴν ὑμετέ-
ραν νομοθεσίαν ἀφανίζοντας· οὕτως γὰρ ἐννόμως διοι-
κηθήσεται τὰ κατὰ τὴν πολιτείαν πάντα.*

31.

ΚΑΤΑ ΦΙΛΩΝΟΣ ΔΟΚΙΜΑΣΙΑΣ.

Ὤιμην μέν, ὦ βουλή, οὐκ ἄν ποτ' εἰς τοῦτο τόλμης 1
*Φίλωνα ἀφικέσθαι, ὥστε ἐθελῆσαι ὡς ὑμᾶς ἐλθεῖν δοκι-
μασθησόμενον· ἐπειδὴ δὲ οὐχ ἕν τι μόνον ἀλλὰ πολλὰ
τολμηρός ἐστιν, ἐγὼ δὲ ὀμόσας εἰσῆλθον εἰς τὸ βουλευ-
τήριον τὰ βέλτιστα βουλεύσειν τῇ πόλει, ἔνεστί τε ἐν* 2
τῷ ὅρκῳ ἀποφανεῖν εἴ τίς τινα οἶδε τῶν λαχόντων ἀνε-

τῶν ἐξαιτησομένων Kayser 4 *τῶν κατηγόρων* del. Herw 5 *τῆς δὲ ὑμετέρας ψήφου ἀποπειράσοντες* Frb: *τὴν δὲ ὑμετέραν ψῆφον καταπειράσοντες* X 9 *αἰτούμενοι* Söderbaum: *ἀξιούμενοι* X, *αἰτουμένων* Markl, *ἐξαιτούμενοι* Sauppe, *δεξιούμενοι* Wdn, *παρακαλούμενοι . . . ἀξιοῦμεν* Frb 10 *ὑμᾶς* add. Markl, qui malebat ⟨*καὶ*⟩ *μὴ* 11 *ἡμετέραν* X 12 *νομοθεσίαν* Tayl: *νουθεσίαν* XC *οὕτως* et 13 *πάντα* sunt in X 14 XXXI. 17 *εἰς ὑμᾶς* Cob, sed cf. Is. I 3, Dem. XXXVII 8 18 *μόνον* ⟨*πονηρὸς*⟩, *ἀλλὰ πάντα τολμηρὸς* malit Francken 19 *βουλευτήριον* Bekker: *δικαστήριον* X, *εἰς τὸ δικ.* del. Halb 20 *βουλεύσειν* Frb: *συμβουλεύσειν* X *ἔνεστι δὲ* Ald 21 *ἀποφανεῖν* Cob: *ἀποφαίνειν* X

*πιτήδειον ὄντα βουλεύειν, ἐγὼ τὴν κατὰ τουτουὶ Φί-
λωνος ποιήσομαι | κατηγορίαν, οὐ μέντοι γε ἰδίαν ἔχθραν
οὐδεμίαν μεταπορευόμενος, οὐδὲ τῷ δύνασθαι καὶ εἰω-
θέναι λέγειν ἐν ὑμῖν ἐπαρθείς, ἀλλὰ τῷ πλήθει τῶν
ἁμαρτημάτων αὐτοῦ πιστεύων, καὶ τοῖς ὅρκοις οἷς ὤμοσα*
3 *ἐμμένειν ἀξιῶν. γνώσεσθε μὲν οὖν ὅτι οὐκ ἀπὸ ἴσης
παρασκευῆς ἐγώ τε τοῦτον ἐλέγξω οἷός ἐστι καὶ οὗτος
ἐπεχείρησε πονηρὸς εἶναι· ὅμως ⟨δ'⟩ εἴ τι ἐγὼ ἐλλείποιμι
τῷ λόγῳ τῆς κατηγορίας, οὐκ ἂν δίκαιος εἴη οὗτος διὰ
τοῦτο ὠφεληθῆναι, ἀλλὰ μᾶλλον, ὅ τι ἱκανῶς διδάξαιμι,*
4 *ἐκ τούτων ἀποδοκιμασθῆναι. ἐνδεῶς μὲν γὰρ διὰ τὴν
ἀπειρίαν [πάντων τῶν τούτῳ πεπραγμένων], ἱκανῶς δὲ
διὰ τὴν περὶ αὐτὸν κακίαν εἰρηκὼς ἂν εἴην. ἀξιῶ δὲ
καὶ ὑμῶν οἵτινες δυνατώτεροι ἐμοῦ εἰσι λέγειν, ἀποφῆ-
ναι μείζω ὄντα αὐτοῦ τὰ ἁμαρτήματα, καὶ ἐξ ὧν ἂν
ἐγὼ ὑπολίπω, πάλιν αὐτοὺς περὶ ὧν ἴσασι κατηγορῆσαι
Φίλωνος· οὐ γὰρ ἐκ τῶν ὑπ' ἐμοῦ ⟨μόνου⟩ λεγομένων
δεῖ ὑμᾶς περὶ αὐτοῦ ὁποῖός ἐστι σκέψασθαι.*
5 *Ἐγὼ γὰρ οὐκ ἄλλους τινάς φημι δίκαιον εἶναι βου-
λεύειν περὶ ἡμῶν, ἢ τοὺς πρὸς τῷ εἶναι πολίτας καὶ
ἐπιθυμοῦντας τούτου. τούτοις μὲν γὰρ μεγάλα τὰ δια-
φέροντά ἐστιν εὖ τε πράττειν τὴν πόλιν τήνδε καὶ ἀνε-
πιτηδείως διὰ τὸ ἀναγκαῖον σφίσιν αὐτοῖς ἡγεῖσθαι*

2 *ἰδίαν γε* malit Fuhr 7 *ἐγώ τε* Markl: *ἔγωγε* X 8 *δ'* add. Markl 10 *μᾶλλον εἴ τι* marg. Ald, *μᾶλλον ἅττα* Halb 11 *τὴν ⟨ἐμὴν⟩* Dobr 12 *πάντων . . . πεπραγμένων* del. Frb 13 *περὶ τοῦτον* malit Gebauer 14 *λέγειν* Rs: *λόγῳ* X, *τῷ λόγῳ* Scheibe 15 pone *ἁμαρτήματα* lacunam ind. Wdn *ἐξ* del. Emperius 16 *ὑπολίπω* Hirschig: *ὑπολίπωμαι* X 17 *μόνου* add. Frb, *μόνον* add. Pluygers, ante *ἐκ* add. Rauch, pone *λεγομένων* Halb (*μόνων* Herw) 18 *ὁποῖός ⟨τις⟩* malit Fuhr 19 *δικαίους* malit Francken 20 *περὶ* del. Francken, *ὑπὲρ* malit Büchle 21 *τούτου*] *τοῦ ἴσου* Markl, immo sc. *τοῦ εἶναι πολίτας* 22 *ἀνεπιτηδείως*] *ἀκινδύνως* Herw

εἶναι μετέχειν τὸ μέρος τῶν δεινῶν, ὥσπερ καὶ τῶν
ἀγαθῶν μετέχουσι· οἳ δὲ φύσει μὲν πολῖταί εἰσι, γνώμῃ 6
δὲ χρῶνται ὡς πᾶσα γῆ πατρὶς αὐτοῖς ἐστιν ἐν ᾗ ἂν
τὰ ἐπιτήδεια ἔχωσιν, οὗτοι δῆλοί εἰσιν ὅτι ⟨ῥᾳδίως⟩
ἂν παρέντες τὸ τῆς πόλεως κοινὸν ἀγαθὸν ἐπὶ τὸ ἑαυτῶν ἴδιον κέρδος ἔλθοιεν διὰ τὸ μὴ τὴν πόλιν ἀλλὰ τὴν
οὐσίαν πατρίδα ἑαυτοῖς ἡγεῖσθαι. ἐγὼ τοίνυν ἀποφανῶ 7
Φίλωνα τουτονὶ περὶ πλείονος ποιησάμενον τὴν ἰδίαν ἀσφάλειαν ἢ τὸν κοινὸν τῆς πόλεως κίνδυνον, καὶ ἡγησάμενον κρεῖττον εἶναι αὐτὸν ἀκινδύνως τὸν βίον διάγειν ἢ τὴν πόλιν σῴζειν ὁμοίως τοῖς ἄλλοις πολίταις κινδυνεύοντα.

Οὗτος γάρ, ὦ βουλή, ὅτε ἡ συμφορὰ τῇ πόλει ἦν (ἧς 8
ἐγώ, καθ᾽ ὅσον ἀναγκάζομαι, κατὰ τοσοῦτον μέμνημαι), ἐκκεκηρυγμένος ἐκ τοῦ ἄστεως ὑπὸ τῶν τριάκοντα μετὰ τοῦ ἄλλου πλήθους τῶν πολιτῶν τέως μὲν ᾤκει ἐν ἀγρῷ, ἐπειδὴ δὲ οἱ ἀπὸ Φυλῆς κατῆλθον εἰς τὸν Πειραιᾶ, καὶ οὐ μόνον οἱ ἐκ τῶν ἀγρῶν ἀλλὰ καὶ οἱ ἐκ τῆς ὑπερορίας οἱ μὲν εἰς τὸ ἄστυ οἱ δ᾽ εἰς τὸν Πειραιᾶ συνελέγοντο, καὶ καθ᾽ ὅσον ἕκαστος οἷός τ᾽ ἦν, κατὰ τοσοῦτον ἐβοήθει τῇ πατρίδι, τὰ ἐναντία ἅπασι τοῖς ἄλλοις πολίταις
ἐποίησε· συσκευασάμενος γὰρ τὰ ἑαυτοῦ ἐνθένδε εἰς τὴν 9
ὑπερορίαν ἐξῴκησε, καὶ ἐν Ὠρωπῷ μετοίκιον κατατιθεὶς ἐπὶ προστάτου ᾤκει, βουληθεὶς παρ᾽ ἐκείνοις μετοικεῖν μᾶλλον ἢ μεθ᾽ ἡμῶν πολίτης εἶναι. οὐ τοίνυν οὐδ᾽ ὥσπερ ἔνιοί τινες τῶν πολιτῶν μετεβάλοντο, ἐπειδὴ

---

2 οἳ δὲ Frb: καὶ γὰρ X, καὶ γὰρ οἳ Ald, ὅσοι δὲ C, καίτοι οἳ Rosenberg 4 ῥᾳδίως add. Rauch, τάχ᾽ add. Francken, ἡδέως add. Halb, ὅτι κἂν Dryander 6 διὰ τὸ . . . 7 ἡγεῖσθαι del. Halb 14 τοσοῦτον C: τοῦτο X 21 ἐναντία πᾶσιν malebat Fuhr 22 ἐνθένδε Bekker: ἐνθάδε X 26 μετεβάλλοντο lib. Vind, Wdn

ἑώρων τοὺς ἀπὸ Φυλῆς ἐν οἷς ἔπραττον εὐτυχοῦντας,
οὐδὲ τούτων τι τῶν εὐτυχημάτων ἠξίωσε μετασχεῖν, ἐπὶ
κατειργασμένοις μᾶλλον ἐλθεῖν βουλόμενος ἢ συγκατελ-
θεῖν κατεργασάμενός τι τῶν τῇ κοινῇ πολιτείᾳ συμ-
φερόντων· οὐ γὰρ ἦλθεν εἰς τὸν Πειραιᾶ, οὐδ' ἔστιν
10 ὅπου ἑαυτὸν ὑμῖν τάξαι παρέσχεν. καίτοιγε ὅστις εὐτυ-
χοῦντας ὁρῶν ἡμᾶς ἐτόλμα προδιδόναι, τί ποτε ὡς μὴ
ἐβουλόμεθά γε πράττοντας ἐποίησεν ἄν; ὅσοι μὲν τοίνυν
διὰ συμφορὰς ἰδίας οὐ μετέσχον τῶν τότε γενομένων
τῇ πόλει κινδύνων, συγγνώμης τινὸς ἄξιοί εἰσι τυχεῖν·
11 οὐδενὶ γὰρ οὐδὲν ἑκούσιον δυστύχημα γίγνεται· ὅσοι
δὲ γνώμῃ τοῦτο ἔπραξαν, οὐδεμιᾶς συγγνώμης ἄξιοί
εἰσιν· οὐ γὰρ διὰ δυστυχίαν ἀλλὰ δι' ἐπιβουλὴν ἐποίη-
σαν αὐτό. καθέστηκε δέ τι ἔθος δίκαιον πᾶσιν ἀν-
θρώποις τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι
τοῖς μάλιστα δυναμένοις μὴ ἀδικεῖν, τοῖς δὲ πένησιν ἢ
ἀδυνάτοις τῷ σώματι συγγνώμην ἔχειν διὰ τὸ ἡγεῖσθαι
12 ἄκοντας αὐτοὺς ἁμαρτάνειν. οὗτος τοίνυν οὐδεμιᾶς
συγγνώμης ἄξιός ἐστι τυχεῖν· οὔτε γὰρ τῷ σώματι
ἀδύνατος ἦν ταλαιπωρεῖν, ὡς καὶ ὑμεῖς ὁρᾶτε, οὔτε τῇ
οὐσίᾳ ἄπορος λητουργεῖν, ὡς ἐγὼ ἀποδείξω. ὅστις οὖν

---

2 τούτων γε τῶν Halb, τότε τι τῶν lib. Vind., Wdn 3 κατειργασμένοις C: κατεργασαμένῳ X 4 κατεργασόμενος Huss, ἐργασάμενος Dobr, κατελθεῖν συγκατεργασάμενος malit Rs, μᾶλλον κατελθεῖν βουλόμενος ἢ συγκατεργασάμενος Halb κοινῇ τῇ πολιτείᾳ secundum Franckenium Büchle 5 οὐ γὰρ Wdn: οὐδ' X 6 παρέσχεν C: παρασχεῖν X καίτοιγε Scheibe: καὶ γὰρ X, καίτοι Bekker 7 ἡμᾶς Tayl: ὑμᾶς X 8 ἐβουλόμεθα Markl: βουλόμεθα X, ὧν μὴ βουλόμεθά τι πρ. Cob, ὡς μὴ βουλώμεθα vel βουλοίμεθα Dryander 14 δίκαιον] κοινὸν malit Markl 15 ⟨ἐπὶ⟩ τῶν P. Müller, sed cf. XII 80, XXVII 11 τῶν ταὔτ' ἠδικηκότων Hirschig μάλιστα ⟨μὲν⟩ Cont 17 τοῖς σώμασι malebat Fuhr, sed ipse confert Xen. Mem. I 6, 7; Plat. Euthyd. 271d 20 ἦν ταλαιπωρεῖν Tayl: ἢ ταλαιπωρεῖ X ὁρᾶται X

*ὅσον δυνατὸς ἦν ὠφελεῖν, τοσοῦτον κακὸς ἦν, πῶς οὐκ
ἂν εἰκότως ὑπὸ πάντων ὑμῶν μισοῖτο; ἀλλὰ μὴν οὐδ'* 13
*ἀπεχθήσεσθέ γε τῶν πολιτῶν οὐδενὶ τοῦτον ἀποδοκι-
μάσαντες, ⟨ὃς⟩ οὔ τι τοὺς ἑτέρους ἀλλ' ἀμφοτέρους
φανερός ἐστι προδούς, ὥστε μήτε τοῖς ἐν τῷ ἄστει γενο-
μένοις φίλον προσήκειν εἶναι τοῦτον (οὐ γὰρ ἠξίωσεν
ὡς αὐτοὺς ἐλθεῖν κινδυνεύοντας), μήτε τοῖς τὸν Πει-
ραιᾶ καταλαβοῦσιν· οὐδὲ γὰρ τούτοις ἠθέλησε συγ-
κατελθεῖν, φυγὰς καὶ ταῦτα καὶ αὐτὸς γενόμενος. εἰ* 14
*μέντοι τι μέρος περίεστι τῶν πολιτῶν ὅ τι τῶν αὐτῶν
μετέσχε τούτῳ πραγμάτων, μετ' ἐκείνων, ἐάν ποτε (ὃ
μὴ γένοιτο) λάβωσι τὴν πόλιν, βουλεύειν ἀξιούτω.*

*Ὡς οὖν ᾤκει τε ἐν Ὠρωπῷ ἐπὶ προστάτου καὶ ἐκέκτητο
ἱκανὴν οὐσίαν καὶ οὔτ' ἐν τῷ Πειραιεῖ οὔτ' ἐν τῷ ἄστει
ἔθετο τὰ ὅπλα, ἵνα εἰδῆτε ὅτι ταῦτα πρῶτον ἀληθῆ λέγω,
ἀκούσατε τῶν μαρτύρων.*

ΜΑΡΤΥΡΕΣ.

Ὑπολείπεται τοίνυν αὐτῷ λέγειν ὡς τῷ μὲν σώματι 15
*δι' ἀσθένειάν τινα γενομένην ἀδύνατος κατέστη βοηθῆ-
σαι εἰς τὸν Πειραιᾶ, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἐπαγγει-
λάμενος αὐτὸς ἢ χρήματ' εἰσενεγκεῖν εἰς τὸ πλῆθος τὸ
ὑμέτερον ἢ ὁπλίσαι τινὰς τῶν ἑαυτοῦ δημοτῶν, ὥσπερ*

---

4 *ὅς οὔ τι* Sauppe (*ὅς* add. iam Markl): *οὔτ' εἰ* X, *ὧν οὐχὶ* vel *οὐχὶ γὰρ* Rs, *οὐ γὰρ δὴ* Wdn, *ὅτι οὐ* Anon. ap. Taylorum
9 *φυγὰς* West (*φ. κατὰ ταὐτὰ*): *φὴ δὲ* X, *καὶ ταῦτα ὥς φησι καὶ ἀστὸς γεν.* C, *φημὶ δὲ ταῦτα ἐκεῖ αὐτὸς γενόμενος* Unger, *φήσει δὲ καὶ αὐτὸς ταῦτα ἐλεγχόμενος* Kayser, *φαίνεται δὲ κατὰ πάντα κακὸς γενόμενος* Wdn, *ὡς δῆθεν δι' αὐτὰ ταῦτα ἄξιος γενόμενος* Büchle, *οὔκουν μετ' οὐδετέρων ἂν βουλεύσειεν ὁ τοιοῦτος γενόμενος* Rauch, *φὴ δὲ . . . γενόμενος* del. Sluiter
15 *ἵνα εἰδῆτε* cf. Rehdantz, Lykurg p. 132 19 *γενομένην*] *προσγεν.* malit Rs, *ἐπιγεν.* coll. Demosth. XXXVI 7 Herw
21 *αὐτὸς* transp. ante *ἀδυν.* vel *βοηθ.* Halb *εἰσενέγκειεν* Rs, *εἰσήνεγκεν* et 22 *ὥπλισεν* Bake

καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν αὐτοὶ οὐ δυνάμενοι λη-
16 τουργεῖν τοῖς σώμασιν. ἵνα οὖν μὴ ἐγγένηται αὐτῷ ψευσαμένῳ ἐξαπατῆσαι, καὶ περὶ τούτων ἤδη σαφῶς ὑμῖν ἀποδείξω, ἐπειδὴ ὕστερον οὐκ ἐξέσται μοι παρελθόντι ἐνθάδ' ἐλέγχειν αὐτόν. Καί μοι κάλει Διότιμον τὸν Ἀχαρνέα καὶ τοὺς αἱρεθέντας μετ' αὐτοῦ τοὺς δημότας ὁπλίσαι ἀπὸ τῶν εἰσενεχθέντων χρημάτων.

ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΙΡΕΘΕΝΤΩΝ ΜΕΤΑ ΔΙΟΤΙΜΟΥ.

17 Οὗτος τοίνυν οὐχ ὅπως ὠφελήσει τὴν πόλιν ἐν τοιούτῳ καιρῷ καὶ τοιαύτῃ καταστάσει διενοήθη, ἀλλ' ὅπως τι κερδανεῖ ἀπὸ τῶν ὑμετέρων συμφορῶν παρεσκευάσατο· ὁρμώμενος γὰρ ἐξ Ὠρωποῦ, τοτὲ μὲν αὐτὸς μόνος, τοτὲ δ' ἑτέροις ἡγούμενος οἷς τὰ ὑμέτερα δυστυχήματα εὐ-
18 τυχήματα ἐγεγόνει, περιιὼν κατὰ τοὺς ἀγροὺς καὶ ἐντυγχάνων τῶν πολιτῶν τοῖς πρεσβυτάτοις, οἳ κατέμειναν ἐν τοῖς δήμοις ὀλίγα μὲν τῶν ἐπιτηδείων ἔχοντες, ἀναγκαῖα δέ, εὖνοι μὲν ὄντες τῷ πλήθει, ἀδύνατοι δὲ ὑπὸ τῆς ἡλικίας βοηθεῖν, τούτους ἀφῃρεῖτο τὰ ὑπάρχοντα, περὶ πλείονος ποιούμενος αὐτὸς μικρὰ κερδαίνειν ἢ ἐκείνους μηδὲν ἀδικεῖν· οἳ νῦν αὐτὸν δι' αὐτὸ τοῦτο οὐχ οἷοί τέ εἰσιν ἐπεξελθεῖν ἅπαντες, δι' ὅπερ καὶ τότε
19 ἀδύνατοι τῇ πόλει βοηθεῖν ἦσαν. οὐ μέντοι τοῦτόν γε χρὴ διὰ τὴν ἐκείνων ἀδυναμίαν δὶς ὠφεληθῆναι, τότε τ' ἀφελόμενον ἃ εἶχον, νῦν τε δοκιμασθέντα ὑφ' ὑμῶν·

---

4 ἀποδείξω a pr. m. corr. ex ἐπιδείξω X 5 ἐνθάδ' Ald: ἔνθα X Διότιμον τὸν Frb: αὐτὸν Διότιμον X, αὐτόν ⟨τε⟩ Δ. Markl, Διότιμον Fuhr 8 titulum, qui est in margine, legit Sauppe ep. crit. 81 9 ὠφελήσει C: ὠφελήσοι X, ὠφελῆσαι Francken 11 κερδανεῖ C: κερδαίνοι X 12 δρώμενος X 15 πρεσβυτέροις Naber 16 τἀναγκαῖα Dobr 20 αὐτὸν cf. Ant. I 11, II α 2, IV γ 6] αὐτῷ Rs, αὐτοὶ Wdn 23 τότε τ' Rs: τό τε X

ἀλλὰ κἂν ὁστισοῦν παραγένηται τῶν ἀδικηθέντων, μέγα αὐτὸ ἡγήσασθε εἶναι, καὶ τοῦτον ὑπερμισήσατε, ὅστις ἐτόλμησεν, οἷς ἕτεροι διδόναι παρ' ἑαυτῶν τι προηροῦντο διὰ τὴν ἀπορίαν οἰκτίραντες αὐτούς, τούτων ἀφαιρεῖσθαι τὰ ὑπάρχοντα. Κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Οὐ τοίνυν ἔγωγε οἶδα ὅ τι ὑμᾶς διαφερόντως δεῖ **20**
γιγνώσκειν περὶ αὐτοῦ ἢ ⟨οἱ⟩ οἰκεῖοι γιγνώσκουσι· τοιαῦτα γάρ ἐστιν, ὥστ' εἰ καὶ μηδὲν αὐτῷ ἄλλο ἡμάρτητο, διὰ μόνα ταῦτα δίκαιον εἶναι ἀποδοκιμασθῆναι. οἷα μὲν οὖν ζῶσα ἡ μήτηρ αὐτοῦ κατηγόρει, παρήσω· ἐξ ὧν δὲ τελευτῶσα τὸν βίον διεπράξατο τεκμαιρομένοις ῥᾴδιόν ἐστιν ὑμῖν γνῶναι ὁποῖός τις ἦν περὶ αὐτήν.
ἐκείνη γὰρ τούτῳ μὲν ἠπίστησεν ἀποθανοῦσαν ἑαυτὴν **21**
ἐπιτρέψαι, Ἀντιφάνει δὲ οὐδὲν προσήκουσα πιστεύσασα ἔδωκεν εἰς τὴν ἑαυτῆς ταφὴν τρεῖς μνᾶς ἀργυρίου, παραλιποῦσα τοῦτον ὑὸν ὄντα ἑαυτῆς. ἆρα δῆλον ὅτι εὖ ᾔδει αὐτὸν οὐδὲ διὰ τὸ προσήκειν αὐτῇ τὰ δέοντα
[ἂν] ποιήσοντα; καίτοι εἰ μήτηρ, ἣ πέφυκε καὶ ἀδικου- **22**
μένη ὑπὸ τῶν ἑαυτῆς παίδων μάλιστα ἀνέχεσθαι καὶ μίκρ' ὠφελουμένη μεγάλα ἔχειν ἡγεῖσθαι διὰ τὸ εὐνοίᾳ μᾶλλον ἢ ἐλέγχῳ τὰ γιγνόμενα | δοκιμάζειν, ἐνόμιζε τοῦτον κἂν ἀπὸ τεθνεώσης φέρειν ἑαυτῆς, τί χρὴ ὑμᾶς

---

3 *ἑαυτῶν ⟨ἄν⟩ τι* malit Büchle 7 *οἶδα* marg. Ald: *ᾔδη* X *ὅ τι*] *διὰ τί* vel *δι' ὅ τι* Pluygers 8 *ἢ ⟨ἃ⟩* Markl *οἱ* add. C 9 *ἐστιν ⟨τὰ περὶ τούτους αὐτῷ ἡμαρτημένα* vel *ἠσεβημένα⟩* malit Frb, 10 *οἷα μὲν . . . παρήσω* Heldmann transponit ante *τοιαῦτα δέ ἐστιν* 10 *δίκαιον* Emperius: *ἱκανὸν* X 15 *προσήκοντι* Tayl 17 *παραλείπουσα* lib. Vindob. *ἄρα* X 19 *ἂν* del. Dobr (vel *ἂν ποιήσαντα*), *ἀποδώσοντα* malit Wdn 20 *μάλιστα*] *μέγιστα* Wakefield 21 *μίκρ'* Wakefield: *μηδ'* X *ἔχειν* del. Dobr, *ἐκεῖν'* Francken 23 *ἀπὸ τεθνεώσης φέρειν* cf. Ar. Rhet. II 6, 1383ᵇ, v. Leutsch, Paroemiogr. I 182. 187, II 73

23 περὶ αὐτοῦ διανοηθῆναι; ὅστις γὰρ περὶ τοὺς ἑαυτοῦ
ἀναγκαίους τοιαῦτα ἁμαρτάνει ἁμαρτήματα, τί ἂν περί
γε τοὺς ἀλλοτρίους ποιήσειεν; Ὡς οὖν καὶ ταῦτ' ἀληθῆ
ἐστιν, ἀκούσατε αὐτοῦ τοῦ λαβόντος τὸ ἀργύριον καὶ
θάψαντος αὐτήν.

ΜΑΡΤΥΡΙΑ.

24 Τί ⟨ἂν⟩ οὖν βουληθέντες ὑμεῖς τοῦτον δοκιμάσαιτε;
πότερον ὡς οὐχ ἡμαρτηκότα; ἀλλὰ τὰ μέγιστα περὶ τὴν
πατρίδα ἠδίκηκεν· ἀλλ' ὡς ἔσται βελτίων; τοιγάρτοι
πρότερον βελτίων γενόμενος περὶ τὴν πόλιν ὕστερον
βουλεύειν ἀξιούτω, φανερόν τι ἀγαθὸν ὥσπερ τότε κακὸν
ποιήσας. [σωφρονέστερον γάρ ἐστιν ὕστερον πᾶσι τῶν
ἔργων τὰς χάριτας ἀποδιδόναι·] δεινὸν γὰρ ἔμοιγε δοκεῖ
εἶναι, εἰ ἐξ ὧν μὲν ἤδη ἡμάρτηκε μηδέποτε τιμωρηθήσε-
25 ται, ἐξ ὧν δὲ μέλλει εὖ ποιήσειν ἤδη τετιμήσεται. ἀλλ'
ἄρα ἵνα βελτίους ὦσιν οἱ πολῖται δρῶντες ἅπαντας
ὁμοίως τιμωμένους, διὰ τοῦτο δοκιμαστέος ἐστίν; ἀλλὰ
κίνδυνος καὶ τοὺς χρηστούς, ἐὰν αἰσθάνωνται ὁμοίως
τοὺς πονηροὺς τιμωμένους, παύσεσθαι τῶν χρηστῶν
ἐπιτηδευμάτων, τῶν αὐτῶν ἡγουμένους εἶναι τούς τε
26 κακοὺς τιμᾶν καὶ τῶν ἀγαθῶν ἀμνημονεῖν· ἄξιον δὲ καὶ
τόδε ἐνθυμηθῆναι, ὅτι εἰ μέν τις φρούριόν τι προὔδω-

---

6 titulus deest spatio relicto X, μαρτυρία Frb, μάρτυς vulg 7 ἂν add. Bekker βουληθέντες] διανοηθέντες Cob, ὦ βουλή, διανοηθέντες Gebauer 8 περὶ pone μέγιστα deleverit Cob 11 κακὸν C: ἀγαθὸν X 12 σώφρον. . . . 13 ἀποδιδόναι del. Hundeck, φανερὸν . . . ἀποδ. del. Kocks, ⟨ἀλλὰ⟩ σωφρον. ἐστιν . . . ἀποδ. ante τοιγάρτοι transponere malit Gebauer πᾶσι del. Ambrosius, τοῖς πράξασι Francken, φασί pp. Herw, ἀεὶ Fuhr 14 ἤδη (priore loco) del. Scheibe, πάλαι Cob 15 ἤδη] νῦν δὴ West τιμήσεται Cob 16 ἄρα Birkler: ἆρα X 17 δοκιμαστέος Rs: δοκιμαστέον X 18 ὁμοίως . . . 19 τιμωμένους del Halb 19 τοὺς πονηροὺς Markl: τοῖς πονηροῖς X, τοῖς π. τιμώμενοι Rs

κεν ἢ ναῦς ἢ στρατόπεδόν τι, ἐν ᾧ μέρος τι ἐτύγχανε τῶν πολιτῶν ὄν, ταῖς ἐσχάταις ἂν ζημίαις ἐζημιοῦτο, οὗτος δὲ προδοὺς ὅλην τὴν πόλιν οὐχ ὅπως τιμωρηθήσεται ⟨ἀλλὰ καὶ βουλεύειν⟩ παρασκευάζεται. καίτοι δικαίως γ' ἄν, ὅστις φανερῶς ὥσπερ οὗτος προὔδωκε τὴν ἐλευθερίαν, οὐ περὶ τοῦ βουλεύειν ἀλλὰ περὶ τοῦ δουλεύειν καὶ τῆς μεγίστης ἀτιμίας ἠγωνίζετο.

Ἀκούω δ' αὐτὸν λέγειν ὡς, εἴ τι ἦν ἀδίκημα τὸ μὴ 27
παραγενέσθαι ἐν ἐκείνῳ τῷ καιρῷ, νόμος ἂν ἔκειτο περὶ αὐτοῦ διαρρήδην, ὥσπερ καὶ περὶ τῶν ἄλλων ἀδικημάτων. οὐ γὰρ οἴεται ὑμᾶς γνώσεσθαι ὅτι διὰ τὸ μέγεθος τοῦ ἀδικήματος οὐδεὶς περὶ αὐτοῦ ἐγράφη νόμος. τίς γὰρ ἄν ποτε ῥήτωρ ἐνεθυμήθη ἢ νομοθέτης ἤλπισεν ἁμαρτήσεσθαί τινα τῶν πολιτῶν τοσαύτην ἁμαρτίαν;
οὐ γὰρ ἂν δήπου, εἰ μέν τις λίποι τὴν τάξιν μὴ αὐτῆς 28
τῆς πόλεως ἐν κινδύνῳ οὔσης ἀλλ' ἑτέρους εἰς τοῦτο καθιστάσης, ἐτέθη νόμος ὡς μεγάλα ἀδικοῦντος, εἰ δέ τις αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης λίποι τὴν πόλιν αὐτήν — οὐκ ἂν ἄρα ἐτέθη; σφόδρα γ' ἄν, εἴ τις ᾠήθη τινὰ τῶν πολιτῶν ἁμαρτήσεσθαί τι τοιοῦτόν ποτε. τίς 29
δ' οὐκ ἂν εἰκότως ἐπιτιμήσειεν ὑμῖν, εἰ τοὺς μετοίκους

1 *ναῦς* Fuhr cf. Hyp. Eux. XXIII: *ναῦν* X 2 *ὂν* ex *ὢν* a pr. m. corr. X 4 *ἀλλὰ καὶ βουλεύειν* add. Sluiter, *ἀλλ' ὅπως τιμηθήσεται* add. Cont, *ἀλλὰ καὶ ὅπως τιμήσεται* add. Cob, *οὐχ ὅπ. ⟨μὴ⟩ τιμωρ. ἀλλὰ καὶ ὅπ. τιμηθ.* Rs *δικαίως τ' ἂν* X 7 *ἀτιμίας* Kayser: *ἀπορίας* X, *τιμωρίας* Dobr, *ταλαιπωρίας* Sauppe, *μεγίστης* (vel *αἰσχίστης*) *ἀπωλείας* Dryander, *καὶ τῆς μεγ. ἀπ.* del. Hundeck *ἠγωνίζετο* scripsi (*ἀγωνίσαιτο* Rs): *ἐκκλησιάζεται* X, *ἐκκλησιάζετο* Tayl, *ἐκκλησιάζοιτε* (addita voce *τοῦτον* pone *βουλεύειν*) Kayser, *ἀγωνίζοιτο* Rauch, *δίκαιός γ' ἂν ἦν . . . ἀγωνίζεσθαι* Cob 8 *εἰ ἦν* Cob, *εἴ γε ἦν* Frb, *εἰ δή τι ἦν* Rosenberg 15 *ἂν* del. Cob, *οὐ γὰρ ἂν δή, ὅπου* deletis vocibus *μὲν* et *δὲ* Liebhold 19 editores plerique pone *ἐτέθη* non interrogant ⟨*ἦ*⟩ *σφόδρα* Dobr 20 *ποτε* est in X

μέν, ὅτι οὐ κατὰ τὸ προσῆκον ἑαυτοῖς ἐβοήθησαν τῷ
δήμῳ, ἐτιμήσατε ἀξίως τῆς πόλεως, τοῦτον δέ, ὅτι παρὰ
τὸ προσῆκον ἑαυτῷ προὔδωκε τὴν πόλιν, μὴ κολάσετε,
30 *εἰ μή γε ἄλλῳ τινὶ μείζονι, τῇ γε παρούσῃ ἀτιμίᾳ; ἀνα-*
μνήσθητε δὲ δι' ὅ τι ποτὲ τοὺς ἀγαθοὺς ἄνδρας γενομέ-
νους περὶ τὴν πόλιν τιμᾶτε καὶ τοὺς κακοὺς ἀτιμάζετε.
ἐδείχθη γὰρ ἀμφότερα ταῦτα οὐ τῶν γεγενημένων μᾶλ-
λόν τι ἕνεκα ἢ τῶν γενησομένων, ἵν' ἀγαθοὶ προθυμῶν-
ται γίγνεσθαι ἐκ παρασκευῆς, κακοὶ δὲ μηδὲ ἐξ ἑνὸς
31 *τρόπου ἐπιχειρῶσιν. ἔτι δὲ ἐνθυμήθητε· ποίων ἂν ὑμῖν*
δοκεῖ οὗτος ὅρκων φροντίσαι, ὃς ἔργῳ τοὺς πατρίους
θεοὺς προὔδωκεν; ἢ πῶς ἂν χρηστόν τι βουλεῦσαι περὶ
τῆς πολιτείας, ὃς οὐδὲ ἐλευθερῶσαι τὴν πατρίδα ἐβου-
λήθη; ἢ ποῖα ἂν ἀπόρρητα τηρῆσαι, ὃς οὐδὲ τὰ προειρη-
μένα ποιῆσαι ἠξίωσε; πῶς δ' εἰκός ἐστι τοῦτον, ὃς οὐδὲ
τελευταῖος ἐπὶ τοὺς κινδύνους ἦλθε, πρότερον τῶν κα-
τεργασαμένων καὶ οὕτω νῦν τιμηθῆναι; σχέτλιον δ' ἂν
εἴη, εἰ οὗτος μὲν ἅπαντας τοὺς πολίτας περὶ οὐδενὸς
ἡγήσατο, ὑμεῖς δὲ τοῦτον ἕνα ὄντα μὴ ἀποδοκιμάσαιτε.
32 *ὁρῶ δέ τινας οἳ νῦν μὲν τούτῳ παρασκευάζονται βοη-*

---

1 *οὐ* del Rauch, *ὅτι πλέον ἢ κατὰ* Wdn 4 *μὴ ἄλλῳ* Cob, *μὴ καὶ ἄλλῳ* Bekker 5 *γενομένους* O, Rs: *γινομένους* X, *γεγενημένους* Gebauer 7 *ἐδείχθη*] *ἐνομίσθη* Dobr, *ἐτάχθη* Sauppe, *εἰσήχθη* Scheibe, *ἐπεδείχθη* Kayser, *κατεδείχθη* Frb, *παρεδείχθη* Rauch, *διωρίσθη* Wdn, *εἰθίσθη* Büchle 9 *κακοῖς δὲ* malit Dobr 11 *πατρίους* v. d. Es: *πατρῴους* X 17 *νῦν τιμηθῆναι* Gebauer, qui *καὶ* ante *τῶν* transponebat: *συντιμηθῆναι* X, *καὶ οὑτωσί γε* (vel *καλὰ τοσαῦτα* vel *καὶ τούτῳ τὴν καθόδον*) *τιμ.* Rs, *ἢ καὶ ὁπωσοῦν τ.* Dobr, *πάντα οὑτωσὶ τ.* Sauppe, *ἢ καὶ ὡσαύτως* Funkhänel, *τὴν κάθοδον ὑμῖν* Kayser, *καὶ οὕτω σπουδαίων* P. Müller, *διὰ τούτους ἂν* Scheibe, *καὶ* (*αὐτῶν* add. Rauch) *κινδυνευσάντων* Frb, *αὐτῷ σωτήρια* Wdn, *τὴν σωτηρίαν* Reuss, *καὶ σωσάντων* Fuhr, ⟨*ἢ*⟩ *καὶ οὕτω συντ.* Dryander, *τοιούτοις συντ.* Büchle *σχέτλιον γ' ἂν* Rs 19 *ἀποδοκιμάσετε* Bake

θεῖν καὶ δεῖσθαι ὑμῶν, ἐπειδὴ ἐμὲ οὐκ ἐδύναντο πεῖσαι·
τότε δέ, ὅτε οἱ κίνδυνοι μὲν ὑμῖν καὶ οἱ μέγιστοι ἀγῶ-
νες ἦσαν, τὰ δὲ ἆθλα αὐτὴ ἡ πολιτεία ἔκειτο, καὶ ἔδει
οὐ μόνον περὶ τοῦ βουλεύειν ἀλλὰ καὶ περὶ | τῆς ἐλευ-
θερίας ἀγωνίζεσθαι, τότε οὐκ ἐδέοντο αὐτοῦ βοηθῆσαι
καὶ ὑμῖν καὶ κοινῇ τῇ πόλει, καὶ μὴ προδοῦναι μήτε
τὴν πατρίδα μήτε τὴν βουλήν, ἧς νῦν ἀξιοῖ τυχεῖν οὐ
μετὸν αὐτῷ, ἄλλων γε κατεργασαμένων. μόνος δή, ὦ 33
βουλή, δικαίως οὐδ' ἂν ἀγανακτοίη μὴ τυχών· οὐ γὰρ
ὑμεῖς νῦν αὐτὸν ἀτιμάσετε, ἀλλ' αὐτὸς αὐτὸν τότε ἀπε-
στέρησεν, ὅτε οὐκ ἠξίωσεν, ὥσπερ νῦν προθύμως κλη-
ρωσόμενος ἦλθε, καὶ τότε διαμαχούμενος περὶ αὐτῆς
καταστῆναι μεθ' ὑμῶν.

Ἱκανά μοι νομίζω εἰρῆσθαι, καίτοι πολλά γε παρα- 34
λιπών· ἀλλὰ πιστεύω ὑμᾶς καὶ ἄνευ τούτων αὐτοὺς τὰ
συμφέροντα τῇ πόλει γνώσεσθαι. οὐ γὰρ ἄλλοις τισὶν
ὑμᾶς δεῖ περὶ τῶν ἀξίων ὄντων βουλεύειν τεκμηρίοις
χρῆσθαι ἢ ὑμῖν αὐτοῖς, ὁποῖοί τινες ὄντες αὐτοὶ περὶ
τὴν πόλιν ἐδοκιμάσθητε. ἔστι γὰρ τὰ τούτου ἐπιτηδεύ-
ματα καινὰ παραδείγματα καὶ πάσης δημοκρατίας ἀλ-
λότρια.

---

3 *αὐτὴ* ex *αὐτῇ* a pr. m. corr. X 5 *ἀγωνίζεσθαι* Frb: *βούλεσθαι* X, *βουλεύεσθαι* C, *μάχεσθαι* Pluygers, *διαμάχεσθαι* Wdn, *καὶ ἔδει . . . ἀγων.* del. Rosenberg cf. § 26 7 *τυχεῖν*] *μετέχειν* Gebauer 8 *ἄλλων τε κατ.* X, *ἄλλων τῶν κ.* Wdn 10 *ἀτιμάσετε* Frb: *ἀτιμάζετε* X, *ἀποδοκιμάσετε* Bake 11 *ἥσπερ νῦν* Rs 12 *διαμαχούμενος* Markl: *διαμαχόμενος* X *ὑπὲρ αὐτῆς* Hirschig 14 *μοι* Rs cf. XXIII 16: *μὲν* X, *μὲν οὖν* malit Fuhr *καίτοι*] *καίπερ* Frb, quod apud Lysiam non est *παραλείπω* Fuhr, sed cf. § 2 15 *ὑμᾶς*] *ὑμῖν* Cob *αὐτοὺς* Rs: *αὐτῶν* X 18 *αὐτοὶ* C: *αὐτῷ* X 20 *καινὰ* Anon. apud Taylorum: *κοινὰ* X, *κακονοίας* P. Müller, *δεινὰ* Huss, *καινὰ καὶ παραδείγματα πάσης* Frb, *κοινὰ ⟨ἀδικήματα⟩ καὶ παρ.* malit Fuhr

32.

ΚΑΤΑ ΔΙΟΓΕΙΤΟΝΟΣ.

ΥΠΟΘΕΣΙΣ ΣΥΡΙΑΝΟΥ.

Διόδοτος Διογείτονος τοῦ ἀδελφοῦ θυγατέρα γήμας καὶ σχὼν ἐξ αὐτῆς παῖδας ἐξιὼν ἐπὶ πόλεμον ἐν τοῖς Πελοποννησιακοῖς ἐπίτροπον καταλιμπάνει τῶν παίδων τὸν ἀδελφόν, καὶ μαχόμενος ἐν Ἐφέσῳ τελευτᾷ τὸν βίον· Ἀθηναῖος δέ τις γήμας τὴν Διοδότου μὲν θυγατέρα, Διογείτονος δὲ θυγατριδῆν, ἐγράψατο Διογείτονα κακῆς ἐπιτροπῆς ὑπὲρ τῶν παίδων· ᾧ γέγραφε τὸν κατὰ Διογείτονος λόγον ὁ Λυσίας.

ΥΠΟΘΕΣΙΣ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ.

Διόδοτος, εἷς τῶν μετὰ Θρασύλλου καταλεγέντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ Γλαυκίππου ἄρχοντος, ἔχων νήπια παιδία, διαθήκας ἐποιήσατο, καταλιπὼν αὐτοῖς ἐπίτροπον τὸν ἑαυτοῦ μὲν ἀδελφὸν Διογείτονα, τῶν δὲ παιδίων θεῖόν τε καὶ πάππον ἀπὸ μητρός. αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχόμενος ἀποθνήσκει· Διογείτων δὲ πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος, καὶ ἐκ πολλῶν πάνυ χρημάτων οὐδὲν ἀποδείξας αὐτοῖς ἔτι περιὸν κατηγορεῖται πρὸς ἑνὸς τῶν μειρακίων δοκιμασθέντος κακῆς ἐπιτροπῆς. λέγει δὲ κατ' αὐτοῦ τὴν δίκην ὁ τῆς ἐκείνου μὲν θυγατριδῆς τῶν δὲ μειρακίων ἀδελφῆς ἀνήρ.

---

3 XXXII. Syrianus in commentario *εἰς τὸ περὶ ἰδεῶν Ἑρμογένους β' ὑπόμνημα* (I 88 ed. Rabe) laudat huius orationis initium usque ad § 3 *χείρους εἶναι* et § 4 ad *θυγατέρα*. Unde hauserunt Anonymus VII 1084 W. et inde Maximus Planudes V 546 W. Syriani libri sunt V (Marc. 433) et S (Messanensis). *Ἀθηναίων δέ τις* S. 12 Dionysius de Lysia iudicium 21 p. 497 R 17 *παίδων* M 18 *ἐν* om. F 21 *αὐτοῖς* FM, *αὐτὸς* T *περιὸν* Weil: *περιὼν* libr. (*περὶ ὧν* M pr.: *περιῶν* F pr.) 22 *κατ'* G, Steph: *καὶ* F M T

Εἰ μὲν μὴ μεγάλα ἦν τὰ διαφέροντα, ὦ ἄνδρες δικα- 1
σταί, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα,
νομίζων αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρε-
σθαι, εἰδώς τε ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν
εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες ἂν ἔλαττον ὑπὸ τῶν
προσηκόντων ἔχοντες ἀνέχεσθαι μὴ δύνωνται· ἐπειδὴ
μέντοι, ὦ ἄνδρες δικασταί, πολλῶν χρημάτων ἀπεστέ-
ρηνται καὶ πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ' ὧν ἥκιστα
ἐχρῆν, ἐπ' ἐμὲ κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη μοι
γεγένηται εἰπεῖν ὑπὲρ αὐτῶν. ἔχω δὲ τούτων μὲν ἀδελ- 2
φήν, Διογείτονος δὲ θυγατριδῆν, καὶ πολλὰ δεηθεὶς
ἀμφοτέρων τὸ μὲν πρῶτον ἔπεισα τοῖς φίλοις ἐπιτρέψαι
δίαιταν, περὶ πολλοῦ ποιούμενος τὰ τούτων πράγματα
μηδένα τῶν ἄλλων εἰδέναι· ἐπειδὴ δὲ Διογείτων ἃ φα-
νερῶς ἔχων ἐξηλέγχετο, περὶ τούτων οὐδενὶ τῶν αὑτοῦ
φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἐβουλήθη καὶ φεύγειν δί-
κας καὶ μὴ οὔσας διώκειν καὶ ὑπομεῖναι τοὺς ἐσχάτους
κινδύνους μᾶλλον ἢ τὰ δίκαια ποιήσας ἀπηλλάχθαι τῶν
πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν ἀπο- 3
δείξω οὕτως αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους ὑπὸ τοῦ
πάππου ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν μηδὲν προσηκόντων
ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια, εἰ δὲ μή, τούτῳ
μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον

---

1 *ἦν, ὦ δικ., τὰ διαφ.* Syr 4 *εἰδώς τε* Syr: *εἰδὼς* FMT, *καὶ εἰδὼς* Wdn, *νομίζων τε . . . εἰδώς τε* Gebauer, *εὖ δ' εἰδὼς* Desr 7 *ἀπεστέρηται* Syr 8 *πεπονθότες* FT Syr: *παθόντες* M 10 ⟨*τὴν*⟩ *τούτων* Desr *δὲ ἀδελφιδῆν* T 12 *ἀμφοτέρων δεηθεὶς* T *τοῖς φίλοις* G: *τοὺς φίλους* FMT, *αὐτοὺς τοῖς φίλοις* Syr 13 *δίαιταν* Syr, *διαιτᾶν* FMT *τούτων* FT Syriani S, *τούτου* M 14 *ἐπειδὴ* Syr, *ἐπεὶ* FMT 15 *ἐξηλέγχετο* Syr, *ἐξήλεγκτο* FMT, *ἐξελήλεγκτο* Fuhr 17 *ὑπομεῖναι* M(T)F[1], qui *ει* et *αι* in rasura habet, *καθυπομένειν* Syr, *ὑπομένειν* Fuhr 18 *μᾶλλον* om. T 19 *πρὸς τούτοις* V Syriani, F 21 *μηδὲν* Syr, *οὐδὲν* FMT

ἡγεῖσθαι χείρους εἶναι. ἐξ ἀρχῆς δ' ὑμᾶς περὶ αὐτῶν δι-
δάξαι πειράσομαι.
4 *Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταί, Διόδοτος καὶ Διο-*
γείτων ὁμοπάτριοι καὶ ὁμομήτριοι, καὶ τὴν μὲν ἀφανῆ
οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς ἐκοινώνουν. ἐργασα-
μένου δὲ Διοδότου κατ' ἐμπορίαν πολλὰ χρήματα πείθει
αὐτὸν Διογείτων λαβεῖν τὴν ἑαυτοῦ θυγατέρα, ἥπερ ἦν
αὐτῷ μόνη· καὶ γίγνονται αὐτῷ ὑεῖ δύο καὶ θυγάτηρ.
5 *χρόνῳ δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλλου*
τῶν ὁπλιτῶν, καλέσας τὴν ἑαυτοῦ γυναῖκα, ἀδελφιδῆν
οὖσαν, καὶ τὸν ἐκείνης μὲν πατέρα, αὑτοῦ δὲ κηδεστὴν
καὶ ἀδελφὸν [ὁμοπάτριον], πάππον δὲ τῶν παιδίων καὶ
θεῖον, ἡγούμενος διὰ ταύτας τὰς ἀναγκαιότητας οὐδενὶ
μᾶλλον προσήκειν δικαίῳ περὶ τοὺς αὑτοῦ παῖδας γενέ-
σθαι, διαθήκην αὐτῷ δίδωσι καὶ πέντε τάλαντα ἀργυ-
6 *ρίου παρακαταθήκην· ναυτικὰ δὲ ἀπέδειξεν ἐκδεδομένα*
ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς . . . ., δισχιλίας δὲ
ὀφειλομένας ἐν Χερρονήσῳ. ἐπέσκηψε δέ, ἐάν τι πάθῃ,
τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικὶ καὶ τὰ ἐν τῷ δωμα-
τίῳ δοῦναι, τάλαντον δὲ τῇ θυγατρί. κατέλιπε ⟨δὲ⟩ καὶ
εἴκοσι μνᾶς τῇ γυναικὶ καὶ τριάκοντα στατῆρας Κυζικη-
7 *νούς. ταῦτα δὲ πράξας καὶ οἴκοι ἀντίγραφα καταλιπὼν*

---

7 *λαβεῖν Διογείτων* Syriani S 8 *ὑεῖ* Morgan: *υἱοὶ* F M, *δύο υἱοὶ* T 9 *Θρ. τοῦ ἐπὶ τῶν* T, *μετὰ Θρ.* del. de Wilamowitz, *τῶν ὁπλιτῶν* del. Kayser 11 *τὸν* om. T 12 *ὁμοπατρ.* del. Herw, *καὶ ὁμομήτριον* add. Hertlein 13 *ἀναγκαιότητας* F M, *ἀνάγκας* T, *οἰκειότητας* Wdn 14 *δικαίῳ περὶ τοὺς αὑτοῦ* Sauppe: *καὶ ὥσπερ τοῦ αὐτοῦ* F M, *ἑτέρῳ εἰς τὰς αὐτοῦ παῖδας ἐπιτρόπῳ* T 16 *ναυτικὰ* Markl: *αὐτίκα* F M, *ἀργυρίου . . . τάλαντα* om. T 17 lacunam indicavit Sauppe (cf. § 15) qui supplet: *ἐγγείους δὲ δισχιλίας δραχμὰς δεδανεισμένας*, Fuhr: *ἑκατὸν δ' ἐγγείῳ ἐπὶ τόκῳ δεδανεισμένας* 20 *δοῦναι* post Marklandum del. Pluygers, post *τάλαντον δὲ* transponit Rauch, sed cf. Isae. II 9 *δὲ* add. Rs

ᾤχετο στρατευσόμενος μετὰ Θρασύλλου. ἀποθανόντος δὲ
ἐκείνου ἐν Ἐφέσῳ Διογείτων τὴν μὲν θυγατέρα ἔκρυπτε
τὸν θάνατον τοῦ ἀνδρός, ... καὶ τὰ γράμματα λαμβάνει
ἃ κατέλιπε σεσημασμένα, φάσκων τὰ ναυτικὰ χρήματα
δεῖν ἐκ τούτων τῶν γραμματείων κομίσασθαι. ἐπειδὴ δὲ 8
χρόνῳ ἐδήλωσε τὸν θάνατον αὐτοῖς καὶ ἐποίησαν τὰ
νομιζόμενα, τὸν μὲν πρῶτον ἐνιαυτὸν ἐν Πειραιεῖ διη-
τῶντο· ἅπαντα γὰρ αὐτοῦ κατελέλειπτο τὰ ἐπιτήδεια·
ἐκείνων δὲ ἐπιλειπόντων τοὺς μὲν παῖδας εἰς ἄστυ ἀνα-
πέμπει, τὴν δὲ μητέρα αὐτῶν ἐκδίδωσιν ἐπιδοὺς πεντα-
κισχιλίας δραχμάς, χιλίαις ἔλαττον ὧν ὁ ἀνὴρ αὐτῆς
ἔδωκεν. ὀγδόῳ δ' ἔτει δοκιμασθέντος μετὰ ταῦτα τοῦ 9
πρεσβυτέρου τοῖν μειρακίοιν, καλέσας αὐτοὺς εἶπε Διο-
γείτων, ὅτι καταλίποι αὐτοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀρ-
γυρίου καὶ τριάκοντα στατῆρας. „ἐγὼ οὖν πολλὰ τῶν
ἐμαυτοῦ δεδαπάνηκα εἰς τὴν ὑμετέραν τροφήν. καὶ ἕως
μὲν εἶχον, οὐδέν μοι διέφερεν· νυνὶ δὲ καὶ αὐτὸς ἀπό-
ρως διάκειμαι. σὺ οὖν, ἐπειδὴ δεδοκίμασαι καὶ ἀνὴρ
γεγένησαι, σκόπει αὐτὸς ἤδη πόθεν ἕξεις τὰ ἐπιτήδεια.“
ταῦτ' ἀκούσαντες ἐκπεπληγμένοι καὶ δακρύοντες ᾤχοντο 10
πρὸς τὴν μητέρα, καὶ παραλαβόντες ἐκείνην ἧκον πρὸς
ἐμέ, οἰκτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι καὶ ἀθλίως
ἐκπεπτωκότες, κλάοντες καὶ παρακαλοῦντές με μὴ περι-
ιδεῖν αὐτοὺς ἀποστερηθέντας τῶν πατρῴων μηδ' εἰς

1 *στρατευσάμενος* T *μετὰ Θρασ.* del. Herw 2 ⟨*τέως*⟩ *μὲν τὴν θ.* de Wilamowitz 3 lacunam indicat Fuhr, supplenda fortasse *τὰ δ' ἀντίγραφα* 5 *τῶν γραμματείων* del. Herw *ἐπειδὴ* Fuhr, *ἐπεὶ* F M T 6 *χρόνῳ* F M cf. I 8, XIII 83: *τῷ χρόνῳ* T cf. I 20 7 [*ἐν*] *Πειραιοῖ* Herw 8 *κατα-λέλειπτο* F M 9 *ἐπιλειπόντων* Rs: *ὑπολειπόντων* F M T, *ἐπιλιπόντων* Sylburg 11 *αὐτῇ* Sylburg 14 *καταλίποι* Steph: *καταλείποι* F M T 17 *διέφερε* Ald: *διέφερον* F M T 22 *οἰκτρῶς* . . . 23 *ἐκπεπτωκότες* Dobr addit *τῶν ὄντων* et post *μητέρα* transponit, Wdn post *ἀκούσαντες*

πτωχείαν καταστάντας, ὑβρισμένους ὑφ' ὧν ἥκιστα ἐχρῆν,
ἀλλὰ βοηθῆσαι καὶ τῆς ἀδελφῆς ἕνεκα καὶ σφῶν αὐτῶν.
11 πολλὰ ἂν εἴη λέγειν, ὅσον πένθος ἐν τῇ ἐμῇ οἰκίᾳ ἦν ἐν
ἐκείνῳ τῷ χρόνῳ. τελευτῶσα δὲ ἡ μήτηρ αὐτῶν ἠντεβό-
λει με καὶ ἱκέτευε συναγαγεῖν αὐτῆς τὸν πατέρα καὶ
τοὺς φίλους, εἰποῦσα ὅτι, εἰ καὶ μὴ πρότερον εἴθισται
λέγειν ἐν ἀνδράσι, τὸ μέγεθος αὐτὴν ἀναγκάσει τῶν
συμφορῶν περὶ τῶν σφετέρων κακῶν δηλῶσαι πάντα
12 πρὸς ἡμᾶς. ἐλθὼν δ' ἐγὼ ἠγανάκτουν μὲν πρὸς Ἡγή-
μονα τὸν ἔχοντα τὴν τούτου θυγατέρα, λόγους δ' ἐποιού-
μην πρὸς τοὺς ἄλλους ἐπιτηδείους, ἠξίουν δὲ τοῦτον εἰς
ἔλεγχον ἰέναι περὶ τῶν χρημάτων. Διογείτων δὲ τὸ μὲν
πρῶτον οὐκ ἤθελε, τελευτῶν δὲ ὑπὸ τῶν φίλων ἠναγ-
κάσθη. ἐπειδὴ δὲ συνήλθομεν, ἤρετο αὐτὸν ἡ γυνή, τίνα
ποτὲ ψυχὴν ἔχων ἀξιοῖ περὶ τῶν παίδων τοιαύτῃ γνώμῃ
χρῆσθαι, „ἀδελφὸς μὲν ὢν τοῦ πατρὸς αὐτῶν, πατὴρ δ'
13 ἐμός, θεῖος δὲ αὐτοῖς καὶ πάππος. καὶ εἰ μηδένα ἀνθρώ-
πων ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε“ φησί „δεδιέναι· ὃς
ἔλαβες μέν, ὅτ' ἐκεῖνος ἐξέπλει, πέντε τάλαντα παρ' αὐτοῦ
παρακαταθήκην. καὶ περὶ τούτων ἐγὼ ἐθέλω τοὺς παῖ-
δας παραστησαμένη καὶ τούτους καὶ τοὺς ὕστερον ἐμαυτῇ
γενομένους ὀμόσαι ὅπου ἂν οὗτος λέγῃ. καίτοι οὐχ οὕτως
ἐγώ εἰμι ἀθλία, οὐδ' οὕτω περὶ πολλοῦ ποιοῦμαι χρή-
ματα, ὥστ' ἐπιορκήσασα κατὰ τῶν παίδων τῶν ἐμαυτῆς

2 ἀδελφῆς οὕνεκα FMT   3 πολὺ ἂν εἴη ἔργον λέγειν Cob   4 ἠντιβόλει libr.   5 ἱκέτευσε FM   6 καὶ μὴ πρότερον F, μὴ καὶ πρότερον M, καὶ πρότερον μὴ T   9 ἡγεμόνα FM   11 εἰ ἔλ. M   12 ἰέναι T: εἶναι FM   χρημάτων Halb: πραγμάτων FMT   13 ὑπὸ] ἀπὸ FM   17 δὲ αὐτοῖς] ὁ αὐτὸς Emperius   18 τούς γε θεοὺς Herw   19 ἐξέπλει Tayl: ἐξέλιπε FMT   20 καταθήκην T   θέλω FMT   21 τοὺς post καὶ om. T   22 οὗτος λέγῃ FM: αὐτὸς λέγῃς T, αὐτὸς κελεύῃς post Reiskium Halb

*τὸν βίον καταλύειν, ἀδίκως δὲ ἀφελέσθαι τὴν τοῦ πα-
τρὸς οὐσίαν·“ ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἑπτὰ τάλαντα* 14
*κεκομισμένον ναυτικὰ καὶ τετρακισχιλίας δραχμάς, καὶ
τούτων τὰ γράμματα ἀπέδειξεν· ἐν γὰρ τῇ διοικίσει, ὅτ'
ἐκ Κολλυτοῦ διῳκίζετο εἰς τὴν Φαίδρου οἰκίαν, τοὺς
παῖδας ἐπιτυχόντας ἐκβεβλημένῳ τῷ βιβλίῳ ἐνεγκεῖν
πρὸς αὐτήν. ἀπέφηνε δ' αὐτὸν ἑκατὸν μνᾶς κεκομισμέ-* 15
*νον ἐγγείῳ ἐπὶ τόκῳ δεδανεισμένας, καὶ ἑτέρας δισχιλίας
δραχμὰς καὶ ἔπιπλα πολλοῦ ἄξια· φοιτᾶν δὲ καὶ σῖτον
αὐτοῖς ἐκ Χερρονήσου καθ' ἕκαστον ἐνιαυτόν. „ἔπειτα
σὺ ἐτόλμησας“ ἔφη „εἰπεῖν, ἔχων τοσαῦτα χρήματα, ὡς
δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε καὶ τριά-
κοντα στατῆρας, ἅπερ ἐμοὶ καταλειφθέντα ἐκείνου τελευ-
τήσαντος ἐγώ σοι ἔδωκα; καὶ ἐκβάλλειν τούτους ἠξίωσας* 16
*θυγατριδοῦς ὄντας ἐκ τῆς οἰκίας τῆς αὑτῶν ἐν τριβω-
νίοις, ἀνυποδήτους, οὐ μετὰ ἀκολούθου, οὐ μετὰ στρω-
μάτων, οὐ μετὰ ἱματίων, οὐ μετὰ τῶν ἐπίπλων ἃ ⟨ὁ⟩
πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μετὰ τῶν παρακαταθηκῶν
ἃς ἐκεῖνος παρὰ σοὶ κατέθετο. καὶ νῦν τοὺς μὲν ἐκ τῆς* 17
*μητρυιᾶς τῆς ἐμῆς παιδεύεις ἐν πολλοῖς χρήμασιν εὐδαί-
μονας ὄντας· καὶ ταῦτα μὲν καλῶς ποιεῖς· τοὺς δ' ἐμοὺς*

---

1 *καταλύειν* scripsi: *καταλιπεῖν* F M T, *λιπεῖν* Dobr, *ἐκλιπεῖν* Scheibe, *ἀπολιπεῖν* West, *καταβιοῦν* Fuhr, *καταναλίσκειν* Rad *τὸν βίον . . . ἀδίκως δὲ* del. Pluygers 2 *αὐτὸν* T: *αὐτὴ* F² M, *αὐτῇ* F¹, *ἄρτι* prop. Rad 3 *κεκοσμισμένον αὐτίκα* M, *κεκοσμημένον αὐτίκα* F¹ T 4 *διοικίσει* Matthaei: *διοικήσει* F M T, *ἐξοικίσει* et *ἐξῳκίζετο* Cob 5 *κολυττοῦ* F M T 6 *περιτυχόντας* Herw *τῷ βιβλίῳ* G: *τω βιβλίῳ* T, *βιβλίῳ* F M 7 *αὐτὴν* Rs: *ταύτην* F M T, *ἑαυτὴν* Rs *κεκοσμημένον* F¹ T 8 *ἐγγείῳ* Naber: *ἐγγείους* F M, *ἐγγύους* T, *ἐγγείοις ἐπὶ τόκοις* prop. Rad (*τόκ[ῳ]* cum rasura F²) 13 *ἃ παρ' ἐμοὶ* G 14 *ἐκβάλλειν* F M¹ cf. I 44: *ἐκβαλεῖν* T *ἠξίωσας* Pluygers: *ἠξίωκας* F M T 16 *οὐ μετὰ ἀκολ.* om. T 17 *τῶν* in versus exitu om. F, om. T *ὁ* add. T, om. F M

ἀδικεῖς, οὓς ἀτίμους ἐκ τῆς οἰκίας ἐκβαλὼν ἀντὶ πλουσίων πτωχοὺς ἀποδεῖξαι προθυμεῖ. καὶ ἐπὶ τοιούτοις ἔργοις οὔτε τοὺς θεοὺς φοβεῖ, οὔτε ἐμὲ τὴν συνειδυῖαν αἰσχύνῃ, οὔτε τοῦ ἀδελφοῦ μέμνησαι, ἀλλὰ πάντας ἡμᾶς
18 *περὶ ἐλάττονος ποιεῖ χρημάτων.“ τότε μὲν οὖν, ὦ ἄνδρες δικασταί, πολλῶν καὶ δεινῶν ὑπὸ τῆς γυναικὸς ῥηθέντων οὕτω διετέθημεν πάντες οἱ παρόντες ὑπὸ τῶν τούτῳ πεπραγμένων καὶ τῶν λόγων τῶν ἐκείνης, ὁρῶντες μὲν τοὺς παῖδας, οἷα ἦσαν πεπονθότες, ἀναμιμνῃσκόμενοι δὲ τοῦ ἀποθανόντος, ὡς ἀνάξιον τῆς οὐσίας τὸν ἐπίτροπον κατέλιπεν, ἐνθυμούμενοι δὲ ὡς χαλεπὸν ἐξευρεῖν ὅτῳ χρὴ περὶ τῶν ἑαυτοῦ πιστεῦσαι, ὥστε, ὦ ἄνδρες δικασταί, μηδένα τῶν παρόντων δύνασθαι φθέγξασθαι, ἀλλὰ καὶ δακρύοντας μὴ ἧττον τῶν πεπονθότων ἀπιόντας οἴχεσθαι σιωπῇ.*

Πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες.

⟨ΜΑΡΤΥΡΕΣ.⟩

19 *Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταί, τῷ λογισμῷ προσέχειν τὸν νοῦν, ἵνα τοὺς μὲν νεανίσκους διὰ τὸ μέγεθος τῶν συμφορῶν ἐλεήσητε, τοῦτον δ' ἅπασι τοῖς πολίταις ἄξιον ὀργῆς ἡγήσησθε. εἰς τοσαύτην γὰρ ὑποψίαν Διογείτων πάντας ἀνθρώπους πρὸς ἀλλήλους καθίστησιν, ὥστε μήτε ζῶντας μήτε ἀποθνῄσκοντας μηδὲν μᾶλλον*
20 *τοῖς οἰκειοτάτοις ἢ τοῖς ἐχθίστοις πιστεύειν· ὃς ἐτόλμησε*

1 *ἀτίμους* F M: *ἀτίμως* T 3 *συνειδυῖαν* F M: *σὴν θυγατέρα* T 5 *ποιεῖ*] *ποιῇ* T, *ποιεῖς* F M 6 *δεινῶν*] *ἐλεινῶν* Bekker 7 *πάντες* om. T 8 *μὲν* . . . 9 *πεπονθότες* in marg. F² 12 *περὶ τὸν* T *πιστεῦσαι* F M: *πιστεῦσαί τινα* T 14 *μὴ ἧττον* F M: *μηδὲν ἧττον* T 18 *ἀξιῶ τοίνυν ὑμᾶς* Rauch, sed cf. XIV 20. 22, XVII 10 20 *ἐλεήσετε* M 21 *τοσαύτην δ'* T 22 *πρὸς ἀλλήλους* M: *εἰς ἀλλήλους* F, om. T 23 *μήτε* . . *μήτε* Bekker: *μηδὲ* . . *μηδὲ* F M T

τὰ μὲν ἔξαρνος γενέσθαι, τὰ δὲ τελευτῶν ὁμολογήσας ἔχειν, εἰς δύο παῖδας καὶ ἀδελφὴν λῆμμα καὶ ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν ἑπτὰ τάλαντα ἀργυρίου καὶ τετρακισχιλίας δραχμὰς ἀποδεῖξαι. καὶ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε οὐκ ἔχων ὅποι τρέψειε τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν παιδίοιν καὶ ἀδελφῇ πέντε ὀβολοὺς τῆς ἡμέρας ἐλογίζετο, εἰς ὑποδήματα δὲ καὶ εἰς γναφεῖον [ἱμάτια] καὶ εἰς κουρέως κατὰ μῆνα οὐκ ἦν αὐτῷ οὐδὲ κατ' ἐνιαυτὸν γεγραμμένα, συλλήβδην δὲ παντὸς τοῦ χρόνου πλεῖν ἢ τάλαντον ἀργυρίου. εἰς δὲ τὸ μνῆμα τοῦ πατρὸς 21
οὐκ ἀναλώσας πέντε καὶ εἴκοσι μνᾶς ἐκ πεντακισχιλίων δραχμῶν, τὸ μὲν ἥμισυ αὑτῷ τίθησι, ⟨τὸ δὲ⟩ τούτοις λελόγισται. εἰς Διονύσια τοίνυν, ὦ ἄνδρες δικασταί, (οὐκ ἄτοπον γάρ μοι δοκεῖ καὶ περὶ τούτου μνησθῆναι) ἑκκαίδεκα δραχμῶν ἀπέφηνεν ἐωνημένον ἀρνίον, καὶ τούτων τὰς ὀκτὼ δραχμὰς ἐλογίζετο τοῖς παισίν· ἐφ' ᾧ ἡμεῖς οὐχ ἥκιστα ὠργίσθημεν. οὕτως, ὦ ἄνδρες, ἐν ταῖς μεγάλαις ζημίαις ἐνίοτε οὐχ ἧττον τὰ μικρὰ λυπεῖ τοὺς ἀδικουμένους· λίαν γὰρ φανερὰν τὴν πονηρίαν τῶν ἀδικούντων ἐπιδείκνυσιν. εἰς τοίνυν τὰς ἄλλας ἑορτὰς καὶ 22
θυσίας ἐλογίσατο αὑτοῖς πλεῖν ἢ τετρακισχιλίας δραχ-

---

1 *τὰ μὲν* ex *τῶν μὲν* corr. F² 2 *ἔχειν* Rs: *ἑλεῖν* F M T 3 *τετρακισχιλίας* Herw. cf. § 28: *ἑπτακισχιλίας* F M T, quod defendit Fuhr, adsumpta ea pecunia, de qua est § 9 5 *ὅποι τρέψειε* Cont: *ὅπου στρέψειεν* F M T (*στράψειε* M) 7 *ἱμάτια* del. Rs, *γναφεῖον καὶ ἱμάτια* Fuhr, *καὶ εἰς ἱμάτια καὶ εἰς γναφεῖον* Frb (post Scaligerum, qui *καὶ εἰς γναφείαν καὶ εἰς ἱμ.*), *καὶ ἱμάτια καὶ εἰς γναφεῖον* Desr 8 *κουρέως* F M: *κουρέον* T, *κουρεῖον* Ald *οὐκ ἦν αὐτῷ κατὰ μῆνα* T 10 *πλεῖον* F M T 12 *αὑτῷ τίθησι τὸ δὲ τούτοις λελόγισται* Rs: *αὐτῶν τίθησι τούτοις λελογίσθαι* F M T (*λελόγισθαι* M) 15 *ἀπέφηνεν* F M, om. T, *ἀπέφαινεν* Ald 16 *ἐφ' ᾧ* Sylburg: *ἐφ' ὧν* F M T 17 *δικασταὶ* post *ἄνδρες* add. Herw secundum notam quandam libri M 21 *πλέον* F M T

μὰς ἀνηλωμένας, ἕτερά τε παμπληθῆ, ἃ πρὸς τὸ κεφάλαιον συνελογίζετο, ὥσπερ διὰ τοῦτο ἐπίτροπος τῶν παιδίων καταλειφθείς, ἵνα γράμματα αὐτοῖς ἀντὶ τῶν χρημάτων ἀποδείξειεν καὶ πενεστάτους ἀντὶ πλουσίων ἀποφήνειε, καὶ ἵνα, εἰ μέν τις αὐτοῖς πατρικὸς ἐχθρὸς ἦν, ἐκείνου μὲν ἐπιλάθωνται, τῷ δ' ἐπιτρόπῳ τῶν πα-
23 τρῴων ἀπεστερημένοι πολεμῶσι. καίτοι εἰ ἐβούλετο δίκαιος εἶναι περὶ τοὺς παῖδας, ἐξῆν αὐτῷ κατὰ τοὺς νόμους, οἳ κεῖνται περὶ τῶν ὀρφανῶν καὶ τοῖς ἀδυνάτοις τῶν ἐπιτρόπων καὶ τοῖς δυναμένοις, μισθῶσαι τὸν οἶκον ἀπηλλαγμένον πολλῶν πραγμάτων, ἢ γῆν πριάμενον ἐκ τῶν προσιόντων τοὺς παῖδας τρέφειν· καὶ ὁπότερα τούτων ἐποίησεν, οὐδενὸς ἂν ἧττον Ἀθηναίων πλούσιοι ἦσαν. νῦν δέ μοι δοκεῖ οὐδεπώποτε διανοηθῆναι ὡς φανερὰν καταστήσων τὴν οὐσίαν, ἀλλ' ὡς αὐτὸς ἕξων τὰ τούτων, ἡγούμενος δεῖν τὴν αὑτοῦ πονηρίαν κληρονό-
24 μον εἶναι τῶν τοῦ τεθνεῶτος χρημάτων. ὃ δὲ πάντων δεινότατον, ὦ ⟨ἄνδρες⟩ δικασταί· οὗτος γὰρ συντριηραρχῶν Ἀλέξιδι τῷ Ἀριστοδίκου, φάσκων δυοῖν δεούσας πεντήκοντα μνᾶς ἐκείνῳ συμβαλέσθαι, τὸ ἥμισυ τούτοις ὀρφανοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ μόνον παῖδας ὄντας ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ ἐπειδὰν δοκιμασθῶσιν ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λῃτουργιῶν. οὗτος δὲ πάπ-

3 παίδων T καταληφθεὶς F τῶν post ἀντὶ om. T 6 τῷ δ' ἐπιτρόπῳ Frb: τῷ δ' ἐπὶ FM, τὸν δ' ἐπὶ T, τῷ δ' ἐπεὶ Ald εἰσὶν addit post πατρῴων T 10 καὶ post ἐπιτρόπων om. T 11 ἀπηλλαγμένον . . . πριάμενον Dobr, ἀπηλλαγμένοις . . . πριάμενον FM, ἀπηλλαγμένος . . . πριάμενος T, μισθώσασιν ἀπηλλάχθαι . . . πριαμένοις Rs 12 ὁπότερα FM cf. Isae. I 22: ὁπότερον T 15 καταστήσονται FM 18 ἄνδρες add. Herw 19 δεούσας Ald: δέουσαν FMT 20 συμβαλέσθαι Ald: συμβάλλεσθαι FMT τούτοις Dobr: τούτων M, τούτων τοῖς FT, τούτων τούτοις vel τούτων τοῖς παισὶν Rs, τούτων αὐτοῖς Scheibe

πος ὢν παρὰ τοὺς νόμους τῆς ἑαυτοῦ τριηραρχίας παρὰ
τῶν θυγατριδῶν τὸ ἥμισυ πράττεται. καὶ ἀποπέμψας εἰς 25
τὸν Ἀδρίαν ὁλκάδα δυοῖν ταλάντοιν, ὅτε μὲν ἀπέστελλεν, ἔλεγε πρὸς τὴν μητέρα αὐτῶν ὅτι τῶν παίδων ὁ κίνδυνος εἴη, ἐπειδὴ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὐτοῦ τὴν ἐμπορίαν ἔφασκεν εἶναι. καίτοι εἰ μὲν τὰς ζημίας τούτων ἀποδείξει, τὰ δὲ σωθέντα τῶν χρημάτων αὐτὸς ἕξει, ὅποι μὲν ἀνήλωται τὰ χρήματα, οὐ χαλεπῶς εἰς τὸν λόγον ἐγγράψει, ῥᾳδίως δὲ ἐκ τῶν ἀλλοτρίων αὐτὸς
πλουτήσει. καθ' ἕκαστον μὲν οὖν, ὦ ⟨ἄνδρες⟩ δικασταί, 26
πολὺ ἂν ἔργον εἴη πρὸς ὑμᾶς λογίζεσθαι· ἐπειδὴ δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων ἠρώτων Ἀριστόδικον τὸν ἀδελφὸν τὸν Ἀλέξιδος (αὐτὸς γὰρ ἐτύγχανε τετελευτηκώς), εἰ ὁ λόγος αὐτῷ εἴη ⟨ὁ⟩ τῆς τριηραρχίας· ὁ δὲ ἔφασκεν εἶναι, καὶ ἐλθόντες οἴκαδε ηὕρομεν Διογείτονα τέτταρας καὶ εἴκοσι μνᾶς ἐκείνῳ
συμβεβλημένον εἰς τὴν τριηραρχίαν. οὗτος δὲ ἀπέδειξε 27
δυοῖν δεούσας πεντήκοντα μνᾶς ἀνηλωκέναι, ὥστε τούτοις λελογίσθαι ὅσον περ ὅλον τὸ ἀνάλωμα αὐτῷ γεγένηται. καίτοι τί αὐτὸν οἴεσθε πεποιηκέναι περὶ ὧν οὐδεὶς αὐτῷ σύνοιδεν ἀλλ' αὐτὸς μόνος διεχείριζεν, ὃς ἃ δι' ἑτέρων ἐπράχθη καὶ οὐ χαλεπὸν ἦν περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος τέτταρσι καὶ εἴκοσι

---

2 τῶν αὐτοῦ θυγ. T εἰς τὴν ἀνδρίαν F pr., M (ἀ.δρίαν F corr.) 3 ἐπέστελλεν F 5 ἐπειδὴ Rauch: ἐπεὶ F M T 6 ἔφασκεν T: φάσκων F M, unde Fuhr lacunam ante αὐτοῦ subesse: αὐτὸς τὴν ὠφέλειαν ἔλαβε suspicatur, φάσκει Rad εἰ om. M 8 ὅπη μὴ ἀν. T 10 ἄνδρες add. Herw 11 ἔργον εἴη M: εἴη ἔργον F T cf. Gebauer ad XIII 65 δὲ om. M 14 ὁ add. Herw 16 τέτταρας] τετταράκοντα T 17 ἀπέδειξε Pluygers: ἐπέδειξε F M T 18 δέουσαν T ἀνηλωμένας . . . 19 λελόγισται malit Fuhr ὥστε M: ὥσγε F T 19 ὅσον ὅπερ T 21 οὐδεὶς αὐτῷ M: αὐτῷ οὐδεὶς F, οὐδεὶς T 22 παρὰ τούτων Sylburg

μναῖς τοὺς αὑτοῦ θυγατριδοῦς ζημιῶσαι; Καί μοι ἀνάβητε τούτων μάρτυρες.

⟨ΜΑΡΤΥΡΕΣ.⟩

28 *Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ⟨ἄνδρες⟩ δικασταί· ἐγὼ δ' ὅσα τελευτῶν ὡμολόγησεν ἔχειν αὐτὸς χρήματα, ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, ἐκ τούτων αὐτῷ λογιοῦμαι, πρόσοδον μὲν οὐδεμίαν ἀποφαίνων, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἀναλίσκων, καὶ θήσω ὅσον οὐδεὶς πώποτ' ἐν τῇ πόλει, εἰς δύο παῖδας καὶ ἀδελφὴν καὶ παιδαγωγὸν καὶ θεράπαιναν χιλίας δραχμὰς ἑκάστου ἐνιαυ-*
29 *τοῦ, μικρῷ ἔλαττον ἢ τρεῖς δραχμὰς τῆς ἡμέρας· ἐν ὀκτὼ αὗται ἔτεσι γίγνονται ὀκτακισχίλιαι δραχμαί, ⟨καὶ ἀποδείκνυνται⟩ ἓξ τάλαντα περιόντα [τῶν ἑπτὰ ταλάντων] καὶ εἴκοσι μναῖ. οὐ γὰρ ἂν δύναιτο ἀποδεῖξαι οὔθ' ὑπὸ λῃστῶν ἀπολωλεκὼς οὔτε ζημίαν εἰληφὼς οὔτε χρήσταις ἀποδεδωκώς. . . . . . .*

33.

ΟΛΥΜΠΙΑΚΟΣ.

ΥΠΟΘΕΣΙΣ ΔΙΟΝΥΣΙΟΥ.

Ἔστι δή τις αὐτῷ πανηγυρικὸς λόγος, ἐν ᾧ πείθει τοὺς Ἕλληνας ἀγομένης Ὀλυμπίασι τῆς πανηγύρεως, ἐκβάλλειν Διονύσιον τὸν τύραννον ἐκ τῆς ἀρχῆς καὶ Σικελίαν ἐλευ-

1 *μνᾶς* T 3 Lemma om. F M, in margine add. T¹ 4 *ἄνδρες* add. Herw 5 *ἔχειν αὐτὸς* F M: *αὐτὸς ἔχειν* T 6 *αὐτῷ* F M: *αὐτῶν* T 10 *ἑκάστῳ* M 12 *αὗται ἔτεσι* F, *ἔτεσιν αὗται* M *καὶ ἀποδείκνυνται* add. G T, om. F M, om. Fuhr lacuna indicata coll. Dem. XXVII 37, Isae. VI 14 13 *τῶν ἑπτὰ ταλάντων* del. Markl. Idem proposuerat, ut post *μναῖ* adderentur *τῶν τετταράκοντα μνῶν* 14 *ὑπὸ* F M: *ὑπὸ τῶν* T 15 *ζημίαν ὠφληκὼς* Emperius 18 XXXIII. titulus apud Harp. s. *Ἰόνιος* (*Ὀλυμπικῷ* lib. A) 20 de Lysia iudicium 29 p. 520 R 21 *ἐκβαλεῖν* malit Rad 22 *ἐκ* om. T

θερῶσαι, ἄρξασθαί τε τῆς ἔχθρας αὐτίκα μάλα διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ τε καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην. ἔπεμψε γὰρ δὴ θεωροὺς εἰς τὴν πανήγυριν ὁ Διονύσιος ἄγοντας θυσίαν τῷ θεῷ, μεγαλοπρεπής τε καταγωγὴ τῶν θεωρῶν ἐγένετο ἐν τῷ τεμένει καὶ πολυτελής, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος. ταύτην λαβὼν τὴν ὑπόθεσιν τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου·

Ἄλλων τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, ὦ ἄνδρες, 1
ἄξιον Ἡρακλέους μεμνῆσθαι, καὶ ὅτι τόνδε τὸν ἀγῶνα
πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς Ἑλλάδος. ἐν μὲν γὰρ
τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας διέ-
κειντο· ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους ἔπαυσε καὶ 2
τοὺς ὑβρίζοντας ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε,
φιλοτιμίαν ⟨δὲ⟩ πλούτου, γνώμης δ' ἐπίδειξιν ἐν τῷ
καλλίστῳ τῆς Ἑλλάδος, ἵνα τούτων ἁπάντων ἕνεκα εἰς
τὸ αὐτὸ συνέλθωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δ' ἀκουσό-
μενοι· ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν γενή-
σεσθαι τοῖς Ἕλλησι τῆς πρὸς ἀλλήλους φιλίας. ἐκεῖνος 3
μὲν οὖν ταῦθ' ὑφηγήσατο, ἐγὼ δὲ ἥκω οὐ μικρολογη-
σόμενος οὐδὲ περὶ τῶν ὀνομάτων μαχούμενος. ἡγοῦμαι γὰρ
ταῦτα ἔργα μὲν εἶναι σοφιστῶν λίαν ἀχρήστων καὶ σφό-
δρα βίου δεομένων, ἀνδρὸς δὲ ἀγαθοῦ καὶ πολίτου πολ-
λοῦ ἀξίου περὶ τῶν μεγίστων συμβουλεύειν, ὁρῶν οὕτως
αἰσχρῶς διακειμένην τὴν Ἑλλάδα, καὶ πολλὰ μὲν αὐτῆς
ὄντα ὑπὸ τῷ βαρβάρῳ, πολλὰς δὲ πόλεις ὑπὸ τυράν-

---

3 δὴ om. FT 5 ἐγένετο M: ἐγίνετο FT 15 δὲ add. Ald πλούτου M, πλούτῳ FT, πλούτων Rs 16 ⟨τόπῳ⟩ τῆς Cont 18 γενήσεσθαι (vel ἂν γενέσθαι) Markl: γενέσθαι FMT, γίνεσθαι Dobr 22 ταῦτα μὲν ἔργα Cob σοφιστῶν Markl: σοφὰ τῶν MF[1] corr., σοφῶν τῶν TF pr. ἀχρήστων Markl (vel ἐριστικῶν): χρηστῶν FMT 23 πολλοῦ] πόλεως Usener 25 αὐτῆς] αὐτῶν T, ⟨μέρη⟩ αὐτῆς Hirschig

4 νων ἀναστάτους γεγενημένας. καὶ ταῦτα εἰ μὲν δι' ἀσθέ-
νειαν ἐπάσχομεν, στέργειν ἂν ἦν ἀνάγκη τὴν τύχην·
ἐπειδὴ δὲ διὰ στάσιν καὶ τὴν πρὸς ἀλλήλους φιλο-
νικίαν, πῶς οὐκ ἄξιον τῶν μὲν παύσασθαι τὰ δὲ κωλῦσαι,
εἰδότας ὅτι φιλονικεῖν μέν ἐστιν εὖ πραττόντων, γνῶ-
5 ναι δὲ τὰ βέλτιστα τῶν οἵων ἡμῶν; ὁρῶμεν γὰρ τοὺς
κινδύνους καὶ μεγάλους καὶ πανταχόθεν περιεστηκό-
τας· ἐπίστασθε δὲ ὅτι ἡ μὲν ἀρχὴ τῶν κρατούντων
τῆς θαλάττης, τῶν δὲ χρημάτων βασιλεὺς ταμίας, τὰ δὲ
τῶν Ἑλλήνων σώματα τῶν δαπανᾶσθαι δυναμένων, ναῦς
δὲ πολλὰς ⟨μὲν⟩ αὐτὸς κέκτηται, πολλὰς δ' ὁ τύραννος
6 τῆς Σικελίας. ὥστε ἄξιον τὸν μὲν πρὸς ἀλλήλους πόλε-
μον καταθέσθαι, τῇ δ' αὐτῇ γνώμῃ χρωμένους τῆς σω-
τηρίας ἀντέχεσθαι, καὶ περὶ μὲν τῶν παρεληλυθότων
αἰσχύνεσθαι, περὶ δὲ τῶν μελλόντων ἔσεσθαι δεδιέναι,
καὶ πρὸς τοὺς προγόνους ἁμιλλᾶσθαι, οἳ τοὺς μὲν βαρ-
βάρους ἐποίησαν τῆς ἀλλοτρίας ἐπιθυμοῦντας τῆς σφε-
τέρας αὐτῶν στερεῖσθαι, τοὺς δὲ τυράννους ἐξελάσαντες
7 κοινὴν ἅπασι τὴν ἐλευθερίαν κατέστησαν. θαυμάζω δὲ
Λακεδαιμονίους πάντων μάλιστα, τίνι ποτὲ γνώμῃ χρώ-
μενοι καομένην τὴν Ἑλλάδα περιορῶσιν, ἡγεμόνες ὄντες
τῶν Ἑλλήνων οὐκ ἀδίκως, καὶ διὰ τὴν ἔμφυτον ἀρετὴν

4 τῆς μὲν παύσ. τὴν δὲ κολοῦσαι Rs 6 δὲ καὶ τὰ F οἵων ἡμῶν scripsi cf. Xen. Hell. II 3, 25: αὐτῶν F M T, ἀτυχούντων Markl (sine articulo West), ἀτυχῶν Jebb, πονούντων (sine art.) Dobson, ἀγωνιώντων (sine art.) Rad, εὖ νοούντων Sauppe, τἀναντία Dobr, κακῶς Cob, φαύλως Richards 8 „debebat ἡ μὲν ἀρχὴ . . . τὰ δὲ τῶν Ἑ. . . . τῶν δὲ χρημάτων" Dobr 11 μὲν add. Rs αὐτὸς] οὗτος malit Sauppe 16 καὶ πρὸς τοὺς προγ. F M: πρὸς om. T, καὶ καιρὸς τοὺς πρ. Dragumis ἁμιλλᾶσθαι Rad (vel φιλοτιμεῖσθαι): μιμεῖσθαι F M T 17 ⟨οὐκέτι⟩ ἐπιθυμ. Hertlein, debebat certe ⟨μηκέτι⟩ sed cf. [II 6] 18 στερεῖσθαι F^2 M, στερῆσθαι F^1 T, ἐστερῆσθαι Ald 20 χρώμενοι Ald: χρωμένους F M T G, χρωμένους ⟨οἳ⟩ prop. Rad 21 κακουμένην Dobr 22 ἀδίκως ἀλλὰ διὰ Hirschig

*καὶ διὰ τὴν ⟨τῶν⟩ πρὸς τὸν πόλεμον ἐπιστήμην, μόνοι
δὲ οἰκοῦντες ἀπόρθητοι καὶ ἀτείχιστοι καὶ ἀστασίαστοι
καὶ ἀήττητοι καὶ τρόποις ἀεὶ τοῖς αὐτοῖς χρώμενοι· ὧν
ἕνεκα ἐλπὶς ἀθάνατον τὴν ἐλευθερίαν αὐτοὺς κεκτῆσθαι,
καὶ ἐν τοῖς παρεληλυθόσι κινδύνοις σωτῆρας γενομένους
τῆς Ἑλλάδος περὶ τῶν μελλόντων προορᾶσθαι. οὐ τοί-* 8
*νυν ὁ ἐπιὼν καιρὸς τοῦ παρόντος βελτίων· οὐ γὰρ ἀλ-
λοτρίας δεῖ τὰς τῶν ἀπολωλότων συμφορὰς νομίζειν
ἀλλ' οἰκείας, οὐδ' ἀναμεῖναι, ἕως ἂν ἐπ' αὐτοὺς ἡμᾶς αἱ
δυνάμεις ἀμφοτέρων ἔλθωσιν, ἀλλ' ἕως ἔτι ἔξεστι, τὴν
τούτων ὕβριν κωλῦσαι. τίς γὰρ οὐκ ἂν ⟨ἀγανακτήσει⟩εν* 9
*ὁρῶν ἐν τῷ πρὸς ἀλλήλους πολέμῳ μεγάλους αὐτοὺς
γεγενημένους; ὧν οὐ μόνον αἰσχρῶν ὄντων ἀλλὰ καὶ
δεινῶν, τοῖς μὲν μεγάλα ἡμαρτηκόσιν ἐξουσία γεγένηται
τῶν πεπραγμένων, τοῖς δὲ Ἕλλησιν οὐδεμία αὐτῶν τι-
μωρία . . . . .*

34.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΚΑΤΑΛΥΣΑΙ ΤΗΝ ΠΑΤΡΙΟΝ ΠΟΛΙΤΕΙΑΝ ΑΘΗΝΗΣΙ.

ΥΠΟΘΕΣΙΣ ΔΙΟΝΥΣΙΟΥ.

Τοῦ δήμου κατελθόντος ἐκ Πειραιῶς καὶ ψηφισαμένου διαλύσασθαι πρὸς τοὺς ἐν ἄστει καὶ μηδενὸς τῶν γενομένων μνησικακεῖν, δέους δὲ ὄντος μὴ πάλιν τὸ πλῆθος εἰς τοὺς εὐπόρους ὑβρίζῃ τὴν ἀρχαίαν ἐξουσίαν κεκομισμένον,

---

1 *τῶν* add. Rs, qui prop. *τὴν τῶν περὶ τὸν*, *τὴν περὶ τὸν* West 3 *τρόποις* Markl: *τόποις* F M T 4 *κεκτήσεσθαι* Rs 9 *ἂν* om. T 11 *κωλῦσαι*] *κολάσαι* Dobr *ἀγανακτήσειεν ὁρῶν* Baiter: *ἐνορῶν* F M T, *ἐντρέποιτο ὁρῶν* Rs, *ἀνιᾶται ὁρ.* Dobson, *ἀλγήσειεν ὁρ.* P. Müller 16 ex parte deperdita orationis Harp. s. v. vocem *Ἰόνιος* laudat 18 XXXIV. tit. apud Dionys. p. 525 fin. 21 hypoth. ibidem 22 *γεγενημένων* T 23 *τὸ* om. F *ἐς* F 24 *ἀπόρους* F

καὶ πολλῶν ὑπὲρ τούτου γινομένων λόγων, Φορμίσιός τις τῶν συγκατελθόντων μετὰ τοῦ δήμου γνώμην εἰσηγήσατο, τοὺς μὲν φεύγοντας κατιέναι, τὴν δὲ πολιτείαν μὴ πᾶσιν ἀλλὰ τοῖς γῆν ἔχουσι παραδοῦναι, βουλομένων ταῦτα γενέσθαι καὶ Λακεδαιμονίων. ἔμελλον δὲ τοῦ ψηφίσματος τούτου κυρωθέντος πεντακισχίλιοι σχεδὸν Ἀθηναίων ἀπελαθήσεσθαι τῶν κοινῶν. ἵνα δὴ μὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε ὁ Λυσίας τῶν ἐπισήμων τινὶ καὶ πολιτευομένων. Εἰ μὲν οὖν ἐρρήθη τότε, ἄδηλον· σύγκειται γοῦν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως.

1 Ὅτε ἐνομίζομεν, ὦ Ἀθηναῖοι, τὰς γεγενημένας συμ-
φορὰς ἱκανὰ μνημεῖα τῇ πόλει καταλελεῖφθαι, ὥστε μηδ'
ἂν τοὺς ἐπιγιγνομένους ἑτέρας πολιτείας ἐπιθυμεῖν, τότε
δὴ οὗτοι τοὺς κακῶς πεπονθότας καὶ ἀμφοτέρων πε-
πειραμένους ἐξαπατῆσαι ζητοῦσι τοῖς αὐτοῖς ψηφίσμα-
2 σιν, οἷσπερ καὶ πρότερον δὶς ἤδη. καὶ τούτων μὲν οὐ
θαυμάζω, ὑμῶν δὲ τῶν ἀκροωμένων, ὅτι πάντων ἐστὲ
ἐπιλησμονέστατοι ἢ πάσχειν ἑτοιμότατοι κακῶς ὑπὸ
τοιούτων ἀνδρῶν, οἳ τῇ μὲν τύχῃ τῶν Πειραιοῖ πραγ-
μάτων μετέσχον, τῇ δὲ γνώμῃ τῶν ἐξ ἄστεως. καίτοι τί
ἔδει φεύγοντας κατελθεῖν, εἰ χειροτονοῦντες ὑμᾶς αὐ-
3 τοὺς καταδουλώσεσθε; ἐγὼ μὲν οὖν, ὦ Ἀθηναῖοι, ⟨οὔτε
οὐσίᾳ⟩ οὔτε γένει ἀπελαυνόμενος, ἀλλ' ἀμφότερα τῶν
ἀντιλεγόντων πρότερος ὤν, ἡγοῦμαι ταύτην μόνην σω-
τηρίαν εἶναι τῇ πόλει, ἅπασιν Ἀθηναίοις τῆς πολιτείας
μετεῖναι, ἐπεὶ ὅτε καὶ τὰ τείχη καὶ τὰς ναῦς καὶ [τὰ]

---

4 *τὴν* ante *γῆν* habent F[1] M T, del. Baiter 11 *νομίζομεν* Steph *ὦ ἄνδρες Ἀθηναῖοι*, ut ubique, Usener ad sigla libri F 16 *δὶς ἤδη. καὶ* Dobr: *διὸ δὴ καὶ* F M T 17 *ὅτι* ⟨*ἢ*⟩ pp. Herw *ἐστὲ* Markl: *εἰσὶν* F M T 18 *ἢ*] *οἱ* Steph, *καὶ* Tayl 19 *οἳ* T: *ὅτι* F M *Πειραιοῖ* Usener: *πειραιεῖ* F M, *πειραιῶς* T, *ἐκ Πειραιῶς* Rs 22 *καταδουλώσασθε* ex *καταδουλῶσθαι* F, *καταδουλοῦσθε* T *οὔτε οὐσίᾳ* add. Sauppe cf. XVIII 6, *οὔτε ἡλικίᾳ* Steph, *οὔτε πλούτῳ* Markl, *οὔτε οὐσίᾳ τῶν κοινῶν* vel *τῆς πολιτείας* Usener 26 *ἐπεὶ καὶ ὅτε* Rs *τὰ* del. Usener

χρήματα καὶ συμμάχους ἐκτησάμεθα, οὐχ ὅπως Ἀθηναῖόν τινα ἀπώσομεν διενοούμεθα, ἀλλὰ καὶ Εὐβοεῦσιν ἐπιγαμίαν ἐποιούμεθα· ⟨νῦν δὲ⟩ καὶ τοὺς ὑπάρχοντας πολίτας ἀπελῶμεν; οὔκ, ἐὰν ἔμοιγε πείθησθε, **4**
οὐδὲ μετὰ τῶν τειχῶν καὶ ταῦτα ἡμῶν αὐτῶν περιαιρησόμεθα, ὁπλίτας πολλοὺς καὶ ἱππέας καὶ τοξότας, ὧν ὑμεῖς ἀντεχόμενοι βεβαίως δημοκρατήσεσθε, τῶν δὲ ἐχθρῶν πλέον ἐπικρατήσετε, ὠφελιμώτεροι δὲ τοῖς συμμάχοις ἔσεσθε· ἐπίστασθε γὰρ ⟨τὰ ἐν⟩ ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενημένα καὶ οὐ τοὺς γῆν κεκτημένους ἔχοντας τὴν πόλιν, ἀλλὰ πολλοὺς μὲν αὐτῶν ἀποθανόντας, πολλοὺς δ' ἐκ τῆς πόλεως ἐκπεσόντας, οὓς ὁ δῆμος καταγαγὼν **5**
ὑμῖν μὲν τὴν ὑμετέραν ἀπέδωκεν, αὐτὸς δὲ ταύτης οὐκ ἐτόλμησε μετασχεῖν. ὥστ', ἐὰν ἔμοιγε πείθησθε, οὐ τοὺς εὐεργέτας, καθὸ δύνασθε, τῆς πατρίδος ἀποστερήσετε, οὐδὲ τοὺς λόγους πιστοτέρους τῶν ἔργων οὐδὲ τὰ μέλλοντα τῶν γεγενημένων νομιεῖτε, ἄλλως τε καὶ μεμνημένοι τῶν περὶ τῆς ὀλιγαρχίας μαχομένων, οἳ τῷ μὲν λόγῳ τῷ δήμῳ πολεμοῦσι, τῷ δὲ ἔργῳ τῶν ὑμετέρων ἐπιθυμοῦσιν· ἅπερ κτήσονται, ὅταν ὑμᾶς ἐρήμους συμμάχων λάβωσιν.

---

1 *ἐκεκτήμεθα* Rs *ὅπως* Tur (*ὅπως ἵνα* Steph) cf. XXXI 17: *οὕτως ἵνα* F M T *Ἀθηναῖόν* F M, *Ἀθηναίων* T 2 *τινα* om. pr. F, T *ἀπώσομεν* Tur: *ποιήσωμεν* F M T, *ὅπως ἄτιμον Ἀθ. τινα ποιήσομεν* Jebb, *ὅπως τινὰ Ἀθ. ἀπώσομεν* Rad 3 *νῦν δὲ* om. F M 4 *ἀπελῶμεν* Rs: *ἀπολοῦμεν* F M T *πείθησθε* Sluiter: *πιθώμεθα* F, *πειθώμεθα* M T, *πίθησθε* Cob 7 *βεβαιότερον* Cob 9 *⟨τὰ ἐν⟩* ... 10 *γεγενημένα* Weil: *γεγενημέναις* F¹M T, *γεγενημένας* F pr., *ἐν* add. Rs, *καὶ* quod sequitur del. Tayl, *κἂν* add. Franz, *⟨πλείστας τῇ πόλει συμφορὰς ἐν⟩* vel *⟨πολλὰς συμφορὰς⟩ ταῖς ... γεγενημένας* Usener, *ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις ⟨ἐκείνους μάλιστα ἐχθροὺς⟩ γεγενημένους* Rad, pone *γεγενημέναις* lacunam ind. Desr 10 *σχόντας* Cob 11 *καὶ* post *ἀλλὰ* add. F pr., G (T) 13 *ἀπέδωκεν* om. T 14 *πίθησθε* Cob 15 *καθ' ὅσον* Herw 16 *οὐδὲ τοὺς* ... 17 *νομιεῖτε* in mg. add. F² 18 *οἳ τῷ*] malim *ὅτι τῷ* 20 *ἅπερ κτήσονται* Steph: *ἀποκτήσονται* F M, *ὅπερ κτήσονται* T *λάβωσιν* T: *λάβητε* F M

6 Εἶτα τοιούτων ἡμῖν ὑπαρχόντων ἐρωτῶσι τίς ἔσται
σωτηρία τῇ πόλει, εἰ μὴ ποιήσομεν ⟨ἃ⟩ Λακεδαιμόνιοι
κελεύουσιν; ἐγὼ δὲ τούτους εἰπεῖν ἀξιῶ, τίς τῷ πλήθει
περιγενήσεται, εἰ ποιήσομεν ἃ ἐκεῖνοι προστάττουσιν;
εἰ δὲ μή, πολὺ κάλλιον μαχομένοις ἀποθνῄσκειν ἢ φα-
7 νερῶς ἡμῶν αὐτῶν θάνατον καταψηφίσασθαι. ἡγοῦμαι
γάρ, ἐὰν μὲν πείσω, ἀμφοτέροις κοινὸν εἶναι ⟨τὸν⟩ κίν-
δυνον· ὁρῶ δὲ καὶ Ἀργείους καὶ Μαντινέας τὴν αὐτὴν
ἔχοντας γνώμην τὴν αὐτῶν οἰκοῦντας, τοὺς μὲν ὁμό-
ρους ὄντας Λακεδαιμονίοις, τοὺς δ' ἐγγὺς οἰκοῦντας,
καὶ τοὺς μὲν οὐδὲν ἡμῶν πλείους, τοὺς δὲ οὐδὲ τρι-
8 σχιλίους ὄντας. ἴσασι γὰρ ⟨ἐκεῖνοι⟩ ὅτι, κἂν πολλά-
κις εἰς τὴν τούτων ἐμβάλλωσι, πολλάκις αὐτοῖς ἀπαν-
τήσονται ὅπλα λαβόντες, ὥστε οὐ καλὸς αὐτοῖς ὁ κίν-
δυνος δοκεῖ εἶναι, ἐὰν μὲν νικήσωσι, τούτους ⟨μὴ⟩

---

1 τοιούτων Baiter cf. XVIII 22: τοῖς τῶν FMT, τούτων Sluiter ἡμῖν F: ὑμῖν MT ἐρωτῶσι Markl: ἐρῶσι FMT, ἐροῦσι Sluiter 2 ποιήσωμεν M ⟨ἃ⟩ Λακεδαιμόνιοι Steph: Λακεδαιμονίοις FMT 3 τούτους M: τούτοις FT τίς (sc. σωτηρία) FM, τὸ T 4 περιγενέσθαι FM, τίς ⟨ἡμῖν ἐλπὶς⟩ τῷ πλ. περιγενέσθαι Weil ποιήσωμεν F[1], ποιήσαιμεν T 5 μὴ ⟨ἕξουσιν⟩ Blass μαχομένοις Usener: μαχόμενοι FM, μαχομένους T ἢ T: εἰ FM 6 καταψηφίσασθαι Ald: καταψηφίσεσθε FM, καταψηφίσεσθαι T 7 γὰρ] δὲ Weil μὲν πείσω Usener: μὲν πείθω FMT, μὴ πείθω Steph, πεισθῶμεν Markl, πολεμῶμεν Pantazides, μὴ πειθώμεθα sc. Lacedaemoniis Scheibe ἀμφοτέροις sc. et plebi et optimatibus εἶναι κοινὸν F corr. τὸν add. Scheibe pone κίνδυνον lacunam indicavit Usener 8 δὲ καὶ FM, δὲ (T) τὴν αὐτὴν . . . 9 γνώμην om. pr. F, T 9 τὴν αὐτῶν οἰκοῦντας om. M, ἀδεῶς addere malit Desr, sed idem inest in verbis τὴν αὐτὴν . . . γνώμην τοὺς μὲν . . . 10 οἰκοῦντας om. T 11 ἡμῶν (T): ὑμῶν FM 12 ἐκεῖνοι add. Dobr, οἱ Λακεδαιμόνιοι add. Usener, et articulo omisso Desr 13 ἐμβάλλωσι T: ἐμβάλωσι FM 14 τὰ ὅπλα Halb καλὸς Ald: καλῶς FMT ὁ κίνδυνος αὐτοῖς T 15 εἶναι δοκεῖ M μὴ addidi, οὐ add. Rs, οὐδὲ Usener, quod pugnat cum voce γε

*καταδουλώσασθαί γε, ἐὰν δὲ ἡττηθῶσι, σφᾶς αὐτοὺς τῶν
ὑπαρχόντων ἀγαθῶν ἀποστερῆσαι. ὅσῳ δ' ἂν ἄμεινον
πράττωσι, τοσούτῳ ⟨ἧττον⟩ ἐπιθυμοῦσι κινδυνεύειν.
εἴχομεν δέ, ὦ Ἀθηναῖοι, καὶ ἡμεῖς ταύτην τὴν γνώμην,* 9
*ὅτε τῶν Ἑλλήνων ἤρχομεν, καὶ ἐδοκοῦμεν καλῶς βου-
λεύεσθαι περιορῶντες μὲν τὴν χώραν τεμνομένην, οὐ
νομίζοντες δὲ χρῆναι περὶ αὐτῆς διαμάχεσθαι· ἄξιον γὰρ
ἦν ὀλίγων ἀμελοῦντας πολλῶν ἀγαθῶν φείσασθαι. νῦν
δέ, ἐπεὶ ἐκείνων μὲν ἁπάντων μάχῃ ἐστερήμεθα, ἡ δὲ
πατρὶς ἡμῖν λέλειπται, ἴσμεν ὅτι ὁ κίνδυνος οὗτος μόνος
ἔχει τὰς ἐλπίδας τῆς σωτηρίας. ἀλλὰ γὰρ χρὴ ἀναμνη-* 10
*σθέντας ὅτι ἤδη καὶ ἑτέροις ἀδικουμένοις βοηθήσαντες
ἐν τῇ ἀλλοτρίᾳ πολλὰ τρόπαια τῶν πολεμίων ἐστήσαμεν,
ἄνδρας ἀγαθοὺς περὶ τῆς πατρίδος καὶ ἡμῶν αὐτῶν
γίγνεσθαι, πιστεύοντας μὲν τοῖς θεοῖς καὶ ἐλπίζοντας
κατὰ τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων ἔσεσθαι. δεινὸν* 11
*γὰρ ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ, ὅτε μὲν ἐφεύγομεν, ἐμαχό-
μεθα Λακεδαιμονίοις, ἵνα κατέλθωμεν, κατελθόντες δὲ
φευξόμεθα, ἵνα μὴ μαχώμεθα. οὐκ οὖν αἰσχρὸν εἰ εἰς
τοῦτο κακίας ἥξομεν, ὥστε οἱ μὲν πρόγονοι καὶ ὑπὲρ τῆς
τῶν ἄλλων ἐλευθερίας διεκινδύνευον, ὑμεῖς δὲ οὐδὲ
ὑπὲρ τῆς ὑμετέρας αὐτῶν τολμᾶτε πολεμεῖν; . . . . .*

---

1 *καταδουλώσασθαι* Sylburg: *καταδουλώσεσθαι* F M T
3 *ἧττον* add. Rs, in M spatium vacuum 4 *ὦ ἄνδρες* T
9 *⟨μιᾷ⟩ μάχῃ* Rs *ᾗ*] *μόνη* Jacobs 10 *ἡμῖν* M: *ἡμῶν* F T, *ἡμῖν ⟨μόνη⟩* Rs 14 *ἡμῶν* T: *ὑμῶν* F M 16 *κατὰ* scripsi coll. Ant. IV α 1: *ἐπὶ* F M T, *ἐπὶ* del. Tayl, *ἔτι* vel *ἀεὶ* Rs, *ἐλπίζοντας δὲ* Scheibe, *καὶ ἐλπ. ἔτι* Sluiter, *κατελπίζοντας δ' ἔτι* West, *καὶ ἐλπ. . . . ἐπεὶ τὸ . . . ἔσται* Usener, *μὲν τῷ δικαίῳ, ἐλπίζοντας δὲ καὶ τοὺς θεοὺς μετὰ* Blass 17 *εἰ φεύγοντες μὲν* Arist. rhet. II 23 p. 1399ᵇ 15 21 pone *ἐλευθερίας* add. *Ἑλλήνων* T

ΑΠΟΣΠΑΣΜΑΤΑ.

I. ΠΡΟΣ ΑΙΣΧΙΝΗΝ ΤΟΝ ΣΩΚΡΑΤΙΚΟΝ ΧΡΕΩΣ. (87 Bl.)

Τίς γὰρ ἤλπισεν ⟨ἂν⟩ Αἰσχίνην τὸν Σωκρατικὸν τοιοῦτον γεγενῆσθαι τοὺς τρόπους, ὁποῖόν φησι Λυσίας ὁ ῥήτωρ ἐν τοῖς τῶν συμβολαίων λόγοις; . . . ἀλλ' ὅ γε Λυσίας ἐν τῷ ἐπιγραφομένῳ λόγῳ οὑτωσί· πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν χρέως — ἀπομνημονεύσω δ' ἐγώ, εἰ καὶ πολλά ἐστι τὰ λεχθέντα, διὰ τὸν βρένθον ὑμῶν τὸν πολύν, ὦ φιλόσοφοι — ἄρχεται δ' οὕτως ὁ ῥήτωρ·

fr. 1. S.

1 1. *Οὐκ ἄν ποτ' ᾠήθην, ⟨ὦ⟩ ἄνδρες δικασταί, Αἰσχί-*
νην τολμῆσαι οὕτως αἰσχρὰν δίκην δικάσασθαι, νομίζω
δ' οὐκ ἂν ῥᾳδίως αὐτὸν ἑτέραν ταύτης συκοφαντωδε-
στέραν ἐξευρεῖν. Οὗτος γάρ, ὦ ἄνδρες δικασταί, ὀφεί-
λων ἀργύριον ἐπὶ τρισὶ δραχμαῖς Σωσινόμῳ τῷ τραπε-
ζίτῃ καὶ Ἀριστογείτονι προσελθὼν πρὸς ἐμὲ ἐδεῖτο μὴ
περιιδεῖν αὐτὸν διὰ τοὺς τόκους ἐκ τῶν ὄντων ἐκπε-
2 *σόντα. „κατασκευάζομαι δ'" ἔφη „τέχνην μυρεψικήν·*
ἀφορμῆς δὲ δέομαι, καὶ οἴσω δέ σοι ἐννέ' ὀβολοὺς τῆς
μνᾶς τόκους." πεισθεὶς δ' ὑπ' αὐτοῦ τοιαῦτα λέγοντος
καὶ ἅμα οἰόμενος τοῦτον [Αἰσχίνην] Σωκράτους γεγο-
νότα μαθητὴν καὶ περὶ δικαιοσύνης καὶ ἀρετῆς πολλοὺς

---

1 Tit. apud Athenaeum. Harp: *ἐν τῷ πρὸς Αἰσ. τὸν Σ.* Diog. Laert. II 63: *περὶ συκοφαντίας* falso. **2** *ἂν* add. Kaibel **9** *ὦ* add. Nowack **10** *νομίζω δ'* Sauppe: *νομίζων* Marcianus A **17** *καὶ* del. Scheibe, qui item prop. *καταθήσω δέ* coll. Plat. Leg. IX 921[d] **19** *Αἰσχίνην* del. Cob, *τουτονὶ Αἰ.* Scheibe *γεγονότα* Sauppe: *γεγονέναι* A, *γενόμενον* Cob

καὶ σεμνοὺς λέγοντα λόγους οὐκ ἄν ποτε ἐπιχειρῆσαι οὐδὲ τολμῆσαι ἅπερ οἱ πονηρότατοι καὶ ἀδικώτατοι ἄνθρωποι ἐπιχειροῦσι πράττειν.

Καὶ μετὰ ταῦτα πάλιν καταδρομὴν αὐτοῦ ποιησάμενος ὡς ἐδανείσατο, ὡς οὔτε τόκους οὔτε τἀρχαῖον ἀπεδίδου καὶ ὅτι ὑπερήμερος ἐγένετο γνώμῃ δικαστηρίου ἐρήμην καταδικασθείς, καὶ ὡς ἠνεχυράσθη οἰκέτης αὐτοῦ στιγματίας, καὶ πολλὰ ἄλλα κατειπὼν αὐτοῦ ἐπιλέγει ταῦτα·

*Ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οὐκ εἰς ἐμὲ μόνον τοι- 3
οῦτός ἐστιν, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας τοὺς
αὐτῷ κεχρημένους. οὐχ οἱ μὲν κάπηλοι οἱ ἐγγὺς οἰκοῦν-
τες, παρ' ὧν προδόσεις λαμβάνων οὐκ ἀποδίδωσι, δικά-
ζονται αὐτῷ συγκλήσαντες τὰ καπηλεῖα, οἱ δὲ γείτονες
οὕτως ὑπ' αὐτοῦ δεινὰ πάσχουσιν ὥστ' ἐκλιπόντες τὰς
αὑτῶν οἰκίας ἑτέρας πόρρω μισθοῦνται; ὅσους δ' ἐρά- 4
νους συνείλεκται, τὰς μὲν ὑπολοίπους φορὰς οὐ κατα-
τίθησιν, ἀλλὰ περὶ τοῦτον τὸν κάπηλον ὡς περὶ στή-
λην διαφθείρονται. τοσοῦτοι δὲ ἐπὶ τὴν οἰκίαν ἅμα τῇ
ἡμέρᾳ ἀπαιτήσοντες τὰ ὀφειλόμενα ἔρχονται, ὥστε οἴε-
σθαι τοὺς παριόντας ἐπ' ἐκφορὰν αὐτοὺς ἥκειν τούτου
τεθνεῶτος. οὕτω δ' οἱ ἐν τῷ Πειραιεῖ διάκεινται, ὥστε
πολὺ ἀσφαλέστερον εἶναι δοκεῖν εἰς τὸν Ἀδρίαν πλεῖν
ἢ τούτῳ συμβάλλειν· πολὺ γὰρ μᾶλλον ἃ ἂν δανείση- 5
ται αὑτοῦ νομίζει εἶναι ἢ ἃ ὁ πατὴρ αὐτῷ κατέλιπεν.
ἀλλὰ γὰρ οὐ τὴν οὐσίαν κέκτηται Ἑρμαίου τοῦ μυρο-
πώλου, τὴν γυναῖκα διαφθείρας ἑβδομήκοντα ἔτη γε-*

5 ὡς δανεισάμενος οὔτε Kaibel 15 πορρωτέρω malit Kaibel 16 post τὰς μὲν lacunam statuit Sauppe: symbolas ceterorum eranistarum surripit et perdit, suas ipse non pendit; post φορὰς lacunam Kaibel indicat, quam Lipsius Att. Recht 732 supplet: ⟨εἰσπράττεται, ἀλλ' οὐδεμίαν οὐδέποτε⟩ κατατ., sed cf. Hyper. in Athen. V 4 18 ⟨πᾶσαι⟩ διαφθείρονται malit Kaibel ἅμα ἡμέρᾳ Laur. E 20 τούτου] τοῦ E 23 συμβαλεῖν E

γοννῖαν; ἧς ἐρᾶν προσποιησάμενος οὕτω διέθηκεν, ὥστε τὸν μὲν ἄνδρα αὐτῆς καὶ τοὺς ὑεῖς πτωχοὺς ἐποίησεν, αὐτὸν δὲ ἀντὶ καπήλου μυροπώλην ἀπέδειξεν. οὕτως ἐρωτικῶς τὸ κόριον μετεχειρίζετο, τῆς ἡλικίας αὐτῆς ἀπολαύων, ἧς ῥᾷον τοὺς ὀδόντας ἀριθμῆσαι [ὅσῳ ἐλάττους ἦσαν] ἢ τῆς χειρὸς τοὺς δακτύλους. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

⟨ΜΑΡΤΥΡΕΣ.⟩

Ὁ μὲν οὖν βίος τοῦ σοφιστοῦ τοιοῦτος. Athen. XIII p. 611 D.

Laudatur apud Harp. s. v. *Ἀσπασία, ἄστικτον χωρίον, καταπλήξ.* Oratio habita post Socratis mortem. Contra Welckerum, qui a Lysia alienam putabat op. I 412, disputaverunt Sauppe or. II 170, Blass Att. Ber. I² 630.

II. ΚΑΤ᾽ ΑΙΣΧΙΝΟΥ ΠΕΡΙ ΤΗΣ ΔΗΜΕΥΣΕΩΣ ΤΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΧΡΗΜΑΤΩΝ. (17.)

5 2. *Ἐπειδὴ τοίνυν τοὺς Χύτρους ὁ Δημάρατος ἑάλω προδιδούς.* Harp. v. *Χύτροι* cf. or. XIX 8.

III. ΠΡΟΣ ΑΙΣΧΙΝΗΝ ΒΛΑΒΗΣ. (102.)

6 3. *Οὗτος ἐμοὶ βλάβης δεδίκασται.* Bekk. Anecd. p. 132, 23.

IV. ΠΡΟΣ ΑΛΕΞΙΔΗΜΟΝ,
εἰ γνήσιος. (101.)

Harp. *δατεῖσθαι.*

V. ΠΡΟΣ ΑΛΚΙΒΙΑΔΗΝ ΠΕΡΙ ΟΙΚΙΑΣ,
εἰ γνήσιος. (95.)

8 4. *Ἐκπλεύσαντες γὰρ κοινῇ Ἀξίοχος καὶ Ἀλκιβιάδης εἰς Ἑλλήσποντον ἔγημαν ἐν Ἀβύδῳ δύο ὄντε Μεδοντίδα*

---

5 *ὅσῳ* (*ὅσον* libr.) *ἐλ. ἦσ.* del. Casaub. cf. Demetr. *περὶ ἑρμην.* § 128 et 262, Phot. lex. 483, 21, Suid. s. *ῥᾷόν τις* 8 *ΜΑΡΤΥΡΕΣ* add. Sauppe 28 *Μεδοντιάδα* libr. corr. ex XIII 574 D

τὴν Ἀβυδηνὴν καὶ συνῳκείτην. ἔπειτα αὐτοῖν γίγνεται θυγάτηρ, ἣν οὐκ ἔφαντο δύνασθαι γνῶναι ὁποτέρου εἴη. ἐπεὶ δὲ ἦν ἀνδρὸς ὡραία, συνεκοιμῶντο καὶ ταύτῃ, καὶ εἰ μὲν χρῷτο καὶ ἔχοι Ἀλκιβιάδης, Ἀξιόχου ἔφασκεν εἶναι θυγατέρα, εἰ δὲ Ἀξίοχος, Ἀλκιβιάδου. Athen. XII p. 534 F, cf. XIII p. 574 D.

Harp. v. *Λευκὴ ἀκτή, ναυτοδίκαι, παρακαταβολή.*

5. *Οἶμαι τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι ὅτι Ἀρ-* 12
χεβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφεσβήτει. Suid. v. *αἰσθέσθαι*, quod fragmentum a Tayloro rectius ad orationem contra Archebiadem refertur, cf. n. 16 a. Atque quae Athen. IX 408 C affert, ad [And.] IV 29 pertinent.

V[a]. ΠΡΟΣ ΑΛΚΙΒΙΑΔΗΝ ΥΣΤΕΡΟΣ. (96.)

5a. *Ἔρρε εἰς ὄλεθρόν τε καὶ Ἄβυδον· ὡς ἀπειρηκὼς ἤδη σοι τυγχάνω λοιδορούμενος. Λέξεις Πατμ.* Bull. corr. hell. I 153.

VI. ΠΡΟΣ ΑΛΚΙΒΙΟΝ. (121.)

6. *Καίτοι εἰ ἀπεδεδώκει τῷ Κτησικλεῖ τὰς ν' παλαιάς,* 13
ὥσπερ οὗτός φησιν. Phot. lex. p. 370, 26. Suid. v. *παλαιόν.* Hoc fragmentum a Fabricio (bibl. ed. Harl. II 762) et Scheibio ad orationem contra Alcibiadem refertur.

VII. ΠΕΡΙ ΤΩΝ ΑΝΑΚΑΛΥΠΤΗΡΙΩΝ,
εἰ γνήσιος. (94.)

Ἤδη δέ τινα καὶ παρὰ ῥήτορσιν εἴρηται θετικὰ κεφάλαια· 14
καὶ δὴ καὶ ὅλοι λόγοι νομίζοιντ' ἂν σχεδὸν εἶναι θέσεως, ὡς 26
ὅ τε περὶ τῶν ἀνακαλυπτηρίων ἐπιγραφόμενος Λυσίου καὶ ὁ περὶ τῆς ἀμβλώσεως· ἐν μὲν γὰρ θατέρῳ ζητεῖται, εἰ τὰ δο-

---

2 *ἐφάτην* Cob 4 *ἔφασκον* Richards 18 *Ἀλκύβιον* Suidae lib. C, *Ἀλκιβίδιον* BE, *Ἀρχίβιον* Valesius ad Harp. p. 351
19 *ἀποδεδώκει* Phot. cf. Meisterhans Gramm.[2] 135 *τὰς* om. Suidae libri praeter C

θέντα ἀνακαλυπτήρια γυναικὶ γαμουμένῃ βεβαίως ἔχειν αὐτὴν δεῖ . . . . Λυσίου μὲν οὔ φασιν εἶναι τούτους τοὺς λόγους, ὅμως δὲ οὐκ ἀχάριστον τοῖς νέοις γυμνασίας ἕνεκα καὶ τούτοις ἐντυγχάνειν. Theon progymn. c. 2, I 165 W. cf. Harp. v. *ἀνακαλυπτήρια.*

VIII. ΠΡΟΣ ΑΝΔΟΚΙΔΗΝ ΑΠΟΣΤΑΣΙΟΥ, *εἰ γνήσιος.* (117.)

15 7. ***Οὔτε τιμῆς τεταγμένης πωλοῦσιν, ἀλλ' ὡς ἂν δύναιντο πλειστηριάσαντες πλείστου ἀπέδοντο.*** Pollux VII 14, qui Isaeum auctorem fuisse tradit, id quod correctum est ex Harp. v. *πλειστηριάσαντες* et *ἐπίγειον.*

IX. ΚΑΤ' ΑΝΔΡΟΤΙΩΝΟΣ. (127.)

Harp. v. *Σηράγγιον* et *Ἀρχιδάμιος πόλεμος.*

X. ΚΑΤΑ ΑΝΤΙΓΕΝΟΥΣ ΑΜΒΛΩΣΕΩΣ, *εἰ γνήσιος.* (31.)

19 8. ***Σκέψασθε δὲ καὶ ὡς Ἀντιγένης πεποίηκεν οὑτοσί. γραψάμενος τὴν μητέρα ἡμῶν ἀξιοῖ λαβεῖν τὴν ἀδελφὴν καὶ ἀγωνίσασθαι μέν, ἵνα μὴ ἀποτείσῃ τὰς χιλίας δραχμάς, ἃς δεῖ ἀποτίνειν ἐάν τις μὴ ἐπεξέλθῃ γραψάμενος.*** lex. rhet. Cantabr. p. 669, 20. Dobr. v. *ἐπιτίμιον.*

ἐν θατέρῳ δὲ (sc. *τῷ Λυσίου περὶ τῆς ἀμβλώσεως λόγῳ ζητεῖται*) *εἰ τὸ ἔτι ἐγκυούμενον ἄνθρωπός ἐστι καὶ εἰ ἀνεύθυνα τὰ τῶν ἀμβλώσεων ταῖς γυναιξί.* Theon progymn. c. 2, I 166 W. *ἐνταῦθα μέντοι δεῖ τὸν μελετῶντα τοῖς ἐπισταμένοις ἀνατιθέναι τὰς αἰτίας, ὡς καὶ ὁ Λυσίας ἐν τῷ περὶ ἀμβλώσεως, κρίνων φόνου τὸν αἴτιον, βιάζεται ζῷον τὸ βρέφος ἀποδεικνύναι καὶ πανταχοῦ φησιν,*

---

1 *βεβαίως* cum marg. Victorii Walz: *βιαίως* ceteri. 8 *δύναιντο* Scheibe: *δύνανται* libr. *δύνωνται* Bekk. 14 rectius *πρὸς Ἀντιγένη* Lipsius, Att. Recht 609 16 *οὑτοσί* Scheibe: *οὗτος.* post *οὗτος* distinxit Sauppe, erat *πεποίηκεν· οὗτος γραψ.*

8a. *ὥσπερ οἱ ἰατροὶ καὶ αἱ μαῖαι ἀπεφήναντο.* proleg. **20**
τῶν στάσεων VII 1, 16 W.

καὶ ἰατρικοῦ μὲν ζητήματος παράδειγμα, ὃ καὶ μεμελέτηται τῷ Λυσίᾳ· εἰ ὁ ποιήσας ἐξαμβλῶσαι γυναῖκα φόνον ἐποίησεν· δεῖ γὰρ γνῶναι πρῶτον, εἰ ἔζη πρὶν ἐτέχθη· ὅπερ φυσικῶν καὶ ἰατρικῶν ἐστι. Sopater ad Hermog. V 3 W. cf. Sopater *ἐκ διαφόρων τινα χρήσιμα* (H. Rabe, Rh. Mus. LXIV 576): *Λυσίᾳ . . . ⟨ἐν τῷ⟩ περὶ τοῦ ἀμβλωθριδίου, ἐν ᾧ Ἀντιγένης κατηγορεῖ τῆς ἑαυτοῦ γυναικὸς φόνον ἀμβλωσάσης ἑκουσίως φάσκων, ὡς ἐξήμβλωκε καὶ κεκώλυκεν αὐτὸν πατέρα κληθῆναι παιδός.*

Laudatur apud Harp. v. *ὑπόλογον, ἀμφιδρόμια, θεμιστεύειν* cf. Poll. II 7. Harp. v. *ἀμβλωθρίδιον.* Declamationem fuisse Theon dicit, iniuria cf. fr. 8 (Lipsius).

[X^a. ΠΕΡΙ ΤΗΣ ΑΝΤΙΔΟΣΕΩΣ.]

Laudatur apud Harp. v. *Ἐννεάκρουνον*, quem locum ad Isocr. XV 287 spectare Orelli vidit.

XI. ΠΕΡΙ ΤΗΣ ΑΝΤΙΦΩΝΤΟΣ ΘΥΓΑΤΡΟΣ. (75.)

Οἱ δ' ὑπὸ τῶν λ' ἀνῃρῆσθαι αὐτὸν (sc. *Ἀντιφῶντα* ora- **25**
torem) *ἱστοροῦσιν, ὥσπερ Λυσίας ἐν τῷ ὑπὲρ τῆς Ἀντιφῶντος θυγατρὸς λόγῳ· ἐγένετο γὰρ αὐτῷ θυγάτριον, οὗ Κάλλαισχρος ἐπεδικάσατο. ὅτι δ' ὑπὸ τῶν λ' ἀπέθανεν ἱστορεῖ καὶ Θεόπομπος ἐν τῇ ιε' τῶν Φιλιππικῶν. ἀλλ' οὗτός γ' ἂν εἴη ἕτερος, Λυσωνίδου πατρός, ⟨οὗ⟩ καὶ Κρατῖνος ἐν Πυτίνῃ ⟨ὡς⟩ οὐ πονηροῦ μνημονεύει.* Vitae X orat. p. 833 A. Antiphontem illum a triginta viris interfectum de patria bene meritum esse, Xenophon ostendit Hell. II 3, 40. (fort.=LXVI.)

---

3 *μεμελέτηται* Hoelscher: *μεμέληται* liber 4 *ἐξαμβλῶσαι* Walz: *ἐξαμβλῶναι* liber. 8 *ἐν τῷ* add. Rabe 9 *φόνον* Lipsius: *φόνου* lib. Matrit. 23 *γ' ἂν εἴη ἕτερος* Taylor: *τε ἂν ἡμέτερος* libr. 24 *Λυσωνίδου* E H: *Λυσωδωνίδου* libri cet. *Λυσιδωνίδου* vulg., *Μειδωνίδου* Keil *οὗ* add. Sauppe, post Taylorum, qui *οὗ Κρ.* prop. 25 *ὡς οὐ* Meier, (*ὡς* Tayl): *οὐ* libr.

XII. ΚΑΤΑ ΑΠΟΛΛΟΔΩΡΟΥ. (128.)

Harp. v. *πρόπεμπτα.*

XIII. ΠΡΟΣ ΑΡΕΣΑΝΔΡΟΝ. (129.)

27 9. *Νῦν δὲ πρὸς τοὺς ἐκλογέας τοῦ φόρου ἅπαντα ἀπογραφόμεθα.* Harp. v. *ἐκλογεῖς*, quod fragmentum Blass, Att. Ber. I² 372 ad Antiphontis Samothracicam pertinere arbitratur. Laudatur apud Harp. v, *ἀπαρτιλογία.*

XIV. ΚΑΤ' ΑΡΙΣΤΑΓΟΡΟΥ ΕΝΔΕΙΞΕΩΣ, *εἰ γνήσιος.* (52.)

Harp. v. *ἀμωσγέπως.*

XV. ΠΡΟΣ ΤΗΝ ΑΡΙΣΤΟΔΗΜΟΥ ΓΡΑΦΗΝ ΔΙΑΜΑΡΤΥΡΙΑ, *εἰ γνήσιος.* (114.)

Harp. v. *ἀνάκρισις, Ἀνθήνη, ἀποστασίου, διαμαρτυρία.*

XVI. ΠΡΟΣ ΑΡΙΣΤΟΚΡΑΤΗΝ ΠΕΡΙ ΕΓΓΥΗΣ ΕΡΑΝΟΥ, *εἰ γνήσιος.* (88.)

Harp. v. *ἐρανίζοντες.*

XVII. ΚΑΤΑ ΑΡΙΣΤΩΝΟΣ ΑΡΓΙΑΣ. (47.)

35 10. *Λυσίας ἐν τῷ κατὰ Ἀρίστωνός φησιν, ὅτι Δράκων ἦν ὁ θεὶς τὸν νόμον, αὖθις δὲ καὶ Σόλων ἐχρήσατο, θάνατον οὐχ ὁρίσας ὥσπερ ἐκεῖνος, ἀλλ' ἀτιμίαν, ἐάν τις ἁλῷ τρίς, ἐὰν δ' ἅπαξ, ζημιοῦσθαι δραχμὰς ἑκατόν.* lex. rhet. Cantabr. p. 665, 19. v. *ἀργίας δίκη·*

---

20 *τρίς, ἐὰν* Dobr: *τίσαι· ἂν* liber, *τρὶς ἁλῷ τις* Houtsma
21 *δραχμαῖς* Houtsma, sed cf. 671, 11 v. *κατηγορίας δίκη*

XVIII. ΠΡΟΣ ΑΡΜΟΔΙΟΝ ΠΕΡΙ ΙΦΙΚΡΑΤΟΥΣ ΔΩΡΕΩΝ, *εἰ γνήσιος.*

11. *Εἰ, πρὶν ποιῆσαι, ἠξίουν τῆς εἰκόνος τυχεῖν ἐὰν* 36 *ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ' ἆρ' οὐ δώσετε; μὴ τοίνυν μέλλοντες μὲν ὑπισχνεῖσθε, παθόντες δ' ἀφαιρεῖσθε.* Arist. rhetor. II 23 p. 1397[b] 28. Dionys. Hal. VI p. 739 R.

12. *Καὶ γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι οὐδὲν πρό-* 37 *τερον ὑπῆρχε γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι. . . . τὰ γοῦν ἔργα συγγενέστερά ἐστι τὰ ἐμὰ τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἢ τὰ σά.* Aristot. ibid. p. 1398 a 15, cf. I 7 p. 1364 a 28 et 9 p. 1367 b 17.

13. *Εἰ ἑπτὰ ὑμῖν ἦσαν τοιοῦτοι στρατηγοὶ οἷος ἐγώ,* 39 *ἀοίκητος ἂν ἦν ἡ Λακεδαίμων.* Aristid. or. XLIX p. 518 Dind.

13a. *Καὶ μνησθεὶς Ἁρμοδίου καὶ Ἀριστογείτονος, οὓς* 40 *Ἀθηναῖοι πρώτους ἁπάντων τῶν εὐεργετῶν ἦγον, ἢ παραλαβεῖν ἂν αὐτούς φησιν ἢ ὑπ' ἐκείνων παρακληθῆναι, εἰ κατ' ἐκείνους ἐγένετο.* Aristid. ib

14. *Ὑμεῖς μὲν οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, ⟨τὰ⟩ παρ'* 41 *ὑμῶν ταῦτά μοι γράμματα καὶ τὴν στήλην εἶναί τι σεμνόν, ἐμοὶ δὲ στήλη οὐρανομήκης ἕστηκεν ἐν τῇ Πελοποννήσῳ μαρτυροῦσα τὴν ἀρετήν.* Aristid. ib.

15. *Τὸ μὲν ἐμὸν ἀπ' ἐμοῦ γένος ἄρχεται, τὸ δὲ σὸν* 43 *ἐν σοὶ παύεται.* Plut. apophthegm. p. 187 B (cf. Arsenius viol. p. 308 Io. Stobaeus floril. 86, 15. Ulpianus ad Demosth. Mid. § 62 p. 79 sq. ed. Meier. sic habet idem fragm.: *τὸ μὲν ἐμὸν γένος ἀπ' ἐμοῦ τὴν ἀρχὴν τοῦ γνωρίζεσθαι λαμβάνει, τὸ δὲ σὸν μέχρι σοῦ τὴν δόξαν ἔστησεν.*)

---

1 Titulum Ulpianus servavit l. l. (*ὥστε καί τινα τῶν ἀφ' Ἁρμοδίου δικάσασθαι τῷ Ἰφικράτει περὶ τῶν δωρεῶν*). 3 *ποιήσῃ* et 5 *ὑπισχνεῖσθαι* et *ἀφαιρεῖσθαι* A[c] pr., corr. man. rec. 19 *τὰ* add. Scheibe 22 *τὴν ⟨ἐμὴν⟩ ἀρετὴν* malit Scheibe 24 *παύσεται* Richards

Orationem habitam anno 371 Dionysius Hal. V 477 falso Lysiae tribui existimat, Aristides in medio relinquit l. l. (*τίθει μὲν εἰ βούλει Λυσίου τὸν λόγον εἶναι, τίθει δ' Ἰφικράτους*), Paulus Germenus Lysiae nomen defendit Suidas s. v. *Π. Γ.* cf. vitae X orat. p. 836 D.

XIX. ΠΡΟΣ ΑΡΧΕΒΙΑΔΗΝ. (89.)

44
1 16. *Ἐπειδὴ τάχιστα ἔλαχέ μοι ταύτην τὴν δίκην Ἀρχεβιάδης, ὦ ἄνδρες δικασταί, προσῆλθον αὐτῷ λέγων ὅτι νέος καὶ ἄπειρος εἴην πραγμάτων καὶ οὐδὲν δεόμενος εἰσιέναι εἰς δικαστήριον· „ἐγὼ οὖν σε ἀξιῶ μὴ εὕρημα ἡγεῖσθαι τὴν ἡλικίαν τὴν ἐμήν, ἀλλὰ παραλαβόντα τοὺς ἐμοὺς φίλους καὶ τοὺς σαυτοῦ διηγήσασθαι περὶ τοῦ χρέως ὅθεν γεγένηται. κἂν δόξῃς ἀληθῆ λέγειν ἐκείνοις, οὐδέν σοι δεήσει πραγμάτων, ἀλλὰ λαβὼν ἄπει τὰ*
2 *σαυτοῦ. δίκαιος δὲ εἶ μηδὲν παραλιπεῖν, ἀλλ' εἰπεῖν ἅπαντα, ἐπειδὴ νεώτερός εἰμι τοῦ συμβολαίου, ἵνα ἀκούσαντες περὶ ὧν οὐκ ἴσμεν βουλευσώμεθα περὶ ὧν σὺ λέγεις, ἐάν πως φανερὸν γένηται, πότερον ἀδίκως τῶν ἐμῶν ἐφίεσαι ἢ δικαίως τὰ σαυτοῦ ζητεῖς κομίσασθαι.“ ταῦτ' ἐμοῦ προκαλουμένου οὐδεπώποτ' ἠθέλησε συνελθεῖν οὐδὲ λόγον περὶ ὧν ἐνεκάλει ποιήσασθαι, οὐδὲ δίαιταν ἐπιτρέψαι, ἕως ὑμεῖς τὸν νόμον τὸν περὶ τῶν διαιτητῶν ἔθεσθε.* Dionys. Hal. de Isaeo V p. 601 coll. p. 604 R.

45 16a. *οἶμαι τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀρχεβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἠμφεσβήτει.* Suid. v. *αἰσθέσθαι* cf. n. 5.

---

9 *εἴην* Franz: *ἦν* libr. 10 *εὔρεμα* libr. 13 *χρέους* libr. *δόξῃς* Sauppe: *δοκῇς* hic libri, p. 605, 2 *δόξῃς* 14 *ἄπει* Rs: *ἐπὶ* libr., *ἀλλ' ἄπει λαβὼν ἐπὶ* Sauppe 15 *εἶ* Rs: *εἰμι* libr. 16 *συμβολαίου* Emperius: *συμβουλεύειν* libr. 20 *παρακαλουμένου* F 21 *ἐνεκάλει* Bekker: *ἐνεκαλεῖτο* libr. 26 *Ἀρχεβιάδης* Taylor: *Ἀρχιβιάδης* libr.

XX. ΠΡΟΣ ΑΡΧΙΝΟΝ (fort. = XLVII). (14.)

Ἔστι δ' αὐτοῦ καὶ ὁ ὑπὲρ τοῦ ψηφίσματος ⟨ὃ⟩ ἐγράψατο **46** *Ἀρχῖνος τὴν πολιτείαν αὐτοῦ περιελών.* Vitae X orat. p. 836 a. Arist. resp. Ath. 40 cf. fr. 109 b.

XXI. ΠΡΟΣ ΑΣΙΩΝΑ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΒΙΒΛΙΩΝ ΚΛΟΠΗΣ, *εἰ γνήσιος.* (105.)

Harp. v. *ἀμφιγνοεῖν.*

XXII. ΥΠΕΡ ΤΟΥ ΑΣΠΙΔΟΠΟΙΟΥ. (122.)

Poll. VII 15 et 155 (*τῆς ἰσωνίας*).

XXIII. ΠΡΟΣ ΑΣΩΠΟΔΩΡΟΝ ΠΕΡΙ ΟΙΚΙΑΣ. (97.)

Harp. v. *παρακαταβολή.*

XXIV. ΚΑΤ' ΑΥΤΟΚΛΕΟΥΣ, *εἰ γνήσιος.* (130.)

17. *Ψηφοπαικτοῦσι τὸ δίκαιον.* Pollux VII 200. **50**

XXV. ΚΑΤ' ΑΥΤΟΚΡΑΤΟΥΣ ΜΟΙΧΕΙΑΣ. (46.)

18. *Τοῖς ὀψιζομένοις ἐν ταῖς ὁδοῖς ἐπιτιθέμενοι τὰ* **54** *ἱμάτια ἀποδύονται.* Bekk. Anecd. p. 110, 29.

19. *Τετύχηκε δέ μοι καὶ εἰκοσίμνως ἔρανος.* Pollux **52** IX 56.

20. *Τὸν παῖδα τὸν ἀκολουθοῦντα μετ' αὐτοῦ.* Phry- **53**
nichi epitome p. 353 Lob. Bekk. Anecd. p. 82, 21. 21

21. *Μεταλλαξαμένη χιτῶνα.* Pollux VII 44. **51**

XXVI. ΥΠΕΡ ΑΧΙΛΛΕΙΔΟΥ ΦΟΝΟΥ. (32.)

22. *Κινήσει δὲ ἔλεον κἂν ὑποδεικνύωμεν τὸ πάθος τὸ συμβεβηκὸς περί τινας τῶν οἰκείων τοῦ κρινομένου ἢ τοῦ*

---

2 ὁ Taylor: ὃν libr. ὃ add. Tayl. 3 *αὐτοῦ περιελὼν* Tayl: *αὐτῷ περιέχων* libr. 16 *ἐπιθέμενοι* Herw, *καὶ* ante *τὰ* add. Photiades 17 *ἀποδύοντες* idem

τεθνεῶτος . . . καὶ ὁ Λυσίας ἐν τῷ ὑπὲρ Ἀχιλλείδου (sc. *διέξεισι*) *τὸ πάθος τὸ τῇ ἀδελφῇ συμβὰν αὐτοῦ· λέγει γὰρ ὡς*
55 *ἀκρατὴς λύπης γενηθεῖσα αὐτὴν ἀπέκτεινε.* Apsines *περὶ εὑρ.* IX 591 W.

Laudatur apud Poll. IX 50 (*ἱπποστάσιον*) et 154 (*ἐκποιεῖ*).

XXVII. ΥΠΕΡ ΒΑΚΧΙΟΥ ΚΑΙ ΠΥΘΑΓΟΡΟΥ, *εἰ γνήσιος.* (123.)

Harp. v. *κύπασσις, Πύγελα, Σκυθικαί.*

XXVIII. ΥΠΕΡ ΤΟΥ ΒΑΤΡΑΧΟΥ ΦΟΝΟΥ. (33.)

Harp. v. *Φηγούσιον.* Batrachum Hoelscher suspicatur delatorem illum perditum fuisse, qui Lys. XII 48 [VI 45] commemoratur.

XXIX. ΠΡΟΣ ΒΟΙΩΝΑ, *εἰ γνήσιος.* (131.)

Harp. v. *ἀνάγειν.*

XXX. ΠΡΟΣ ΤΟΥΣ ΕΠΙΤΡΟΠΟΥΣ ΤΩΝ ΒΟΩΝΟΣ ΠΑΙΔΩΝ. (78.)

22a. *Ἐπέτρεψεν ἀνδράσιν ἀντὶ τοῦ ἐπιτρόπους κατέστησεν.* Harp. v. *ἐπιτροπήν.*

XXXI. ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΠΕΡΙ ΤΟΥ ΔΙΚΑΙΟΓΕΝΟΥΣ ΚΛΗΡΟΥ. (66.)

64 23. *Καὶ μὲν δὴ οὐδὲ τοῦτο ἂν ἔχοι Γλαύκων εἰπεῖν ἢ ἄλλος τις τῶν Δικαιογένους συγγενῶν, ὡς, ὅτε μὲν προὔκειτο, ὤκνουν καὶ ᾐσχύνοντο λόγους περὶ αὐτοῦ ποιεῖσθαι, ἐξενεχθέντος δὲ ἢ περὶ τῶν χρημάτων τινὰ*

---

2 *τῇ ἀδελφῇ* Scheibe: erat *τῆς ἀδελφῆς* 3 *γενηθεῖσα* Finckh: erat *γεννηθεῖσα*, expectaveris *γενομένη* vel *γεγονυῖα* 13 *ΒΟΩΝΑ* Kirchner, prosop. I 192 22 *ἂν ἔχοι*] *ἔχει* E 23 *διογένους* E

μνείαν εἴχετε ἢ τὰς θυγατέρας ἠξιοῦτε διαιτᾶσθαι. Suid. v. προὔκειτο.

24. *Δικαιογένης δὲ τέως μὲν ᾤκει παρ' ἡμῖν, δοκι-* 65
μασθεὶς δὲ ἔγημε. Suid. v. τέως.

24a. *Ἀντιδικοῦμεν, Θουγένιδες, δικασταῖς.*

24b. *Τί, ὠγαθέ, ἀντιδικοῦμεν ⟨πρὸς⟩ ἀλλήλους ἔτι;* Phot. lex. in ed. Reitzenstein p. 147, 27.

Harp. v. ἡλιαία.

XXXII. ΥΠΕΡ ΔΕΞΙΟΥ ΑΠΟΣΤΑΣΙΟΥ. (118.)

25. *Καθίστησιν αὐτὸν ἐπὶ τὰς αἶγας, καὶ ᾐπόλει αὐ-* 68
ταῖς. Bekk. Anecd. p. 129, 15.

26. *Ἐχρῆν τὸν Κλειτοφῶντα καὶ τοὺς ἀντιδικοῦντας* 69
αὐτῷ. Ibid. p. 129, 18.

Harp. v. Στρομβιχίδης.

XXXIII. ΚΑΤΑ ΔΕΞΙΠΠΟΥ, εἰ γνήσιος. (132.)

26a. *Καὶ ποῦ ἑτέρωθι ἀνδρεῖός ἐστιν οὗτος; πρὸς* 70
τοῖς θεσμοθέταις γραφὰς γραφόμενος, πρὸς τοῖς συνδίκοις ἀπογραφὰς ἀπογράφων.

Harp. v. σύνδικοι, quod fragmentum propter syndicorum mentionem Lysiae Sauppe vindicavit, sub Lycurgi nomine traditum.

XXXIV. ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΠΙΤΡΟΠΗΣ, εἰ γνήσιος. (79.)

27. *Εἰ γάρ τι ἐγκαλεῖς τῷδε τῷ μειρακίῳ καὶ τῶν σῶν* 72
τι ἔχει, δίκασαι αὐτῷ κατὰ τοὺς νόμους, εἰ μὲν χωρίου

---

1 εἴχετε et ἠξιοῦτε Sauppe: ἔχετε et ἀξιοῦτε libr. 6 πρὸς add. Reitzenstein, ft. ἀλλήλοις. 17 distinxit Bekker: erat καί που ἑτέρωθι ἀνδρεῖός 24 εἰ γνήσιος om. A B C

ἀμφισβητεῖς, καρποῦ, εἰ δὲ οἰκίας, ἐνοικίου, ὥσπερ οὗτος σοὶ νῦν ἐπιτροπῆς δικάζεται. Harp. v. *καρποῦ δίκη.*

71 28. *Πέντε μησὶ μετὰ τῶν ἐλεοκόπων διαιτώμενος.* Harp. v. *ἐλεοκόπων.*

Harp. v. *ἀδοκίμαστος, αἰδέσασθαι, ἐπισίτια, μειαγωγῆσαι.*

XXXV. ΠΕΡΙ ΤΟΥ ΔΙΟΓΕΝΟΥΣ ΚΛΗΡΟΥ. (67.)

78 29. *Διογένει δὲ οἰκειότατα πάντων ἀνθρώπων ἐχρώμεθα, καὶ ἕως γε ὑγίαινεν, ἐξ ἀγροῦ ὁπότε ἔλθοι παρ' ἡμῖν διητᾶτο.* Priscian. XVIII 252 p. 230 Kr.

79 30. *Ἦν γὰρ αὐτῇ ὑὸς ἐκ τοῦ προτέρου ἀνδρὸς ἐτῶν γεγονὼς ἑκκαίδεκα.* Priscian. ib. p. 210 Kr.

80 31. *Μόλπις ὁ τῶν ⟨ι′ τῶν⟩ ἐν Πειραιεῖ.* Harp. v. *Μόλπις.* Laudatur apud Harp. v. *δέκα καὶ δεκαδοῦχος.*

XXXVI. ΠΡΟΣ ΔΙΟΓΕΝΗΝ ΠΕΡΙ ΧΩΡΙΟΥ. (82.)

81 32. *Ἆρα οὖν ἀπράγμων εἶναι δοκεῖ ὑμῖν Διογένης, ὃς ἐπιδικάζεται μὲν τῶν κλήρων, ἀμφισβητεῖ δὲ τοῖς ὀρφανοῖς ὧν αὐτοῖς οἱ πατέρες κατέλιπον;* Bekk. Anecd. p. 145, 8 et 120, 14.

Laudatur apud Harp. v. *ἐπιτιμητάς, Σθένελος.*

XXXVII. ΠΡΟΣ ΔΙΟΓΕΝΗΝ ΠΕΡΙ ΜΙΣΘΩΣΕΩΣ ΟΙΚΟΥ, *εἰ γνήσιος.* (81.)

Harp. v. *ἀποτιμηταί.*

XXXVIII. ΚΑΤΑ ΔΙΟΔΟΤΟΥ. (133.)

Harp. v. *αὔλια.*

---

1 de re cf. Lipsius, Att. Proz. 967 f. Hermann-Thalheim Rechtsalt.[4] 130. 6 titulum priore Prisciani loco e libris restituit Spengel et extat apud Harp. v. *δέκα καὶ δεκαδοῦχος* 10 *ἔτη* Cob. 12 *ι′ τῶν* add. Sauppe 15 *οὖν* Hoelscher: *οὐκ* liber *ὅς* Bekker: *ὃ* liber 16 *ἀμφισβητεῖ* Bekker, qui fragmenta duo coniunxit: *ἀμφισβητεῖν* liber.

[XXXVIIIª. ΚΑΤΑ ΔΙΟΚΛΕΟΥΣ ΥΒΡΕΩΣ.

33. *Ὁ ἀδελφὸς ὁ ἐμὸς καὶ Κτήσων, οἰκεῖος ὢν ἡμῖν, συντυγχάνουσι τῷ Ἕρμωνι ἐς Βόθυνον ἀπιόντι.* Bekk. Anecd. p. 173, 26.]

Ad Isaeum hoc fragmentum pertinere Meierus vidit Att. Proz. 320.

XXXIX. ΠΡΟΣ ΔΙΟΚΛΕΑ ΥΠΕΡ ΤΟΥ ΚΑΤΑ ΤΩΝ ΡΗΤΟΡΩΝ ΝΟΜΟΥ. (15.)

Theon. progym. 2 I 166 W. Harp. v. *ἐάν τις*.

XXXIXª. ΥΠΕΡ ΔΙΟΦΑΝΤΟΥ ΠΕΡΙ ΧΩΡΙΟΥ.

Poll. VII 17 (*ἀλείπτρια*).

XL. ΠΡΟΣ ΔΙΟΧΑΡΗ,
εἰ γνήσιος. (134.)

Harp. v. *μεταλλεῖς*.

XLI. ΠΡΟΣ ΔΙΩΝΑ. (135.)

Harp. v. *φάσκωλον*.

XLII. ΠΕΡΙ ΤΗΣ ΕΓΓΥΘΗΚΗΣ,
εἰ γνήσιος. (106.)

34. *Εἰ μὲν δίκαιον ἔλεγεν ἢ μέτριον, ⟨ὦ⟩ ἄνδρες δι-* 91
κασταί, Λυσιμένης. . . . Οὐκ ἂν ἐσπούδαζον περὶ αὐτῆς τῆς ἐγγυθήκης δικαιολογεῖσθαι, ἣ οὐκ ἔστιν ἀξία τριάκοντα δραχμῶν. Πέρυσιν δὲ ἐπισκευάσαι αὐτὴν βουλόμενος ἐξέδωκα εἴς τι χαλκεῖον· ἔστι γὰρ συνθετὴ καὶ Σατύρων ἔχει πρόσωπα καὶ βουκεφάλια . . . . ἄλλο ἔτι

---

3 *ἐς Βόθυνον* Sauppe: *ἐν βοθύνοις* liber 19 *ἔλεγέ τι* Cob *ὦ* add. Herw 23 *εἰς τὸ χαλκ.* Bekker 24 ante *ἄλλο* lacunam indicavit Dalec, Sauppe supplet: *εἶχε δὲ Λυσιμένης σκεῦος*

μέγεθος τὸ αὐτό. ὁ γὰρ αὐτὸς τεχνίτης πολλὰ σκεύη ταὐτὰ καὶ ὅμοια ἐργάζεται. Athen. V p. 209 F.

Laudatur apud Harp. v. *ἐγγυθήκη.*

XLIII. ΠΕΡΙ ΤΗΣ ΕΙΣΦΟΡΑΣ. (50.)

Harp. v. *ἐπιγραφέας.*

XLIV. ΠΕΡΙ ΤΗΣ ΕΠΙΓΕΝΟΥΣ ΔΙΑΘΗΚΗΣ. (68.)

93 35. *Ἐπειδὴ τοίνυν Ἐπιγένης ἀσθενὴς τριηραρχεῖν ἠναγκάζετο, ἀνάργυρος ὢν καὶ τῆς γῆς τῶν πολεμίων κρατούντων.* Suid. v. *ἀνάργυρος* et *Ἐπιγένης* cf. Bekk. Anecd. 216, 9.

XLV. ΚΑΤΑ ΕΠΙΚΡΑΤΟΥΣ. (fort. = or. XXVII.) (135[a].)

Bekk. Anecd. 103, 11. Vox *καταδιῶξαι* potest esse deprompta ex initio deperdito orationis XXVII.

XLVI. ΠΡΟΣ ΕΤΕΟΚΛΕΑ ΠΕΡΙ ΧΡΗΜΑΤΩΝ, *εἰ γνήσιος.* (90.)

Harp. v. *ἑβδομενομένου.*

XLVII. ΠΕΡΙ ΤΩΝ ΙΔΙΩΝ ΕΥΕΡΓΕΣΙΩΝ. (fort. = XX.) (14.)

96 36. *Οἱ Κεῖοι μὲν πόλις τοσαύτη.* Harp. v. *Κεῖοι* cf. *μεταπύργιον, Φηγαιεῦσι.*

XLVIII. ΠΡΟΣ ΕΥΘΙΑΝ ΥΠΕΡ ΤΩΝ ΔΗΜΙΟΠΡΑΤΩΝ. (98.)

Poll. X 96.

XLVIII[a]. ΠΡΟΣ ΕΥΘΥΔΗΜΟΝ ΥΠΕΡ ΤΟΥ ΠΑΙΔΟΣ ΤΟΥ ΔΙΑΦΘΑΡΕΝΤΟΣ ΤΟΝ ΟΦΘΑΛΜΟΝ. (103.)

36a. *Καὶ ἐξ αὐτῶν τῶν μαρτυριῶν, ὦ ἄνδρες δικασταί, ἃς οὗτοι παρέσχοντο, πειράσομαι ὑμῖν ἀποδεῖξαι.*

2 *ταὐτὰ*] *τοιαῦτα* Bekker 7 *ἀσθενήσας* Bekker

Bull. corr. hell. I 150 (initium orationis erat). cf. Georg. apud Schilling. quaest. rhet. Jb. f. Phil. suppl. XXVIII 689, Ioann. apud Rabeum Rh. Mus. LXIII 143.

XLIX. ΚΑΤ᾽ ΕΥΘΥΔΙΚΟΥ. (55.)

37. *Οὐ δυνάμενος δ᾽ ἐκβαλεῖν διὰ τὸ ἀμφιδέαις δε-* **100**
δέσθαι τὰς θύρας. Harp. v. *ἀμφιδέαι.*

L. ΥΠΕΡ ΕΥΘΥΝΟΥ. (fort. = XCVIII.) (136.)

38. *Καὶ τοῦτο ἐποιήσαμεν οὐκ αὐτοτελῶς, ἀλλ᾽ ἀκρι-* **101**
βῶς. Bekk. Anecd. p. 467, 32.

LI. ΚΑΤ᾽ ΕΥΚΛΕΟΥΣ ΧΩΡΙΟΥ ΕΞΟΥΛΗΣ. (109.)

Harp. v. *αὐτομαχεῖν.*

LII. ΥΠΕΡ ΕΥΚΡΙΤΟΥ ΔΙΑΜΑΡΤΥΡΙΑ, *εἰ γνήσιος.* (115.)

39. *Ἀδηφάγους τριήρεις.* Harp. s. v. **103**

LIII. ΠΡΟΣ ΕΥΠΕΙΘΗ. (137.)

Harp. v. *δερμηστής.*

LIV. ΚΑΤ᾽ ΕΥΦΗΜΟΥ. (138.)

Harp. v. *λαμπάς, πυελίδα.*

LV. ΠΕΡΙ ΤΟΥ ΗΓΗΣΑΝΔΡΟΥ ΚΛΗΡΟΥ. (69.)

40. *Ὡς ἔμελλεν ἐπί τε τοὺς βωμοὺς ἰέναι καὶ ⟨τὰ⟩* **109**
νομιζόμενά γε ποιήσειν. Priscian. XVIII 238 p. 221 Kr.
41. *Τοῖς ἐγγύτατα γένους συνῴκουν.* Idem XVIII 179 **108**
p. 187 Kr. cf. Harp. v. *κακώσεως.*

---

7 *ΥΠΕΡ ΕΥΘΥΝΟΥ* Bekker: *ὑπευθύνου* liber 14 *ἀδ-δηφάγους* B C 20 *ἰέναι* Bekker: *εἶναι* liber *τὰ* add. Sauppe 21 *γε*] *ἱερὰ* Halb

LVI. ΠΡΟΣ ΘΕΟΠΕΙΘΗ ΕΠΙΤΡΟΠΗΣ ΕΠΙΛΟΓΟΣ. (83.)

Harp. v. *ἐπιδιατίθεσθαι.*

LVII. ΚΑΤΑ ΘΕΟΠΟΜΠΟΥ ΑΙΚΙΑΣ. (56.)

111 42. *Ἐγὼ δ' ὀξύμελι πίνω.* Athen. II p. 67 E.

LVIII. ΠΕΡΙ ΤΟΥ ΘΕΟΠΟΜΠΟΥ ΚΛΗΡΟΥ. (70.)

Harp. v. *ὀργέων.*

LIX. ΚΑΤΑ ΘΕΟΖΟΤΙΔΟΥ ⟨ΠΑΡΑΝΟΜΩΝ⟩. (54.)

42a. *τοὺς μάλιστα δ̣ε̣|[5]⟨ομένους ἀποστερεῖς σ⟩ὺ̣ τῆς μισ|⟨θοφορᾶς⟩ τ̣ο̣ὺ̣ς̣ νόθους τ̣ε̣ καὶ τοὺς | ⟨ποιη⟩τοὺς οὔτε νομίμως οὔ|⟨τε καλῶ⟩ς· ἐμ̣ο̣ὶ γὰρ δοκεῖ τῶν ὀρ|⟨φανῶν τρέφειν τού⟩τ̣ω̣ν̣ τοὺς νόθους |[10]⟨μᾶλλον χρῆναι τ⟩ὴμ πόλιν ἢ τ̣ο̣ὺ̣ς | ⟨γνησίους· τοὺς μὲν⟩ γὰρ γνησίους| ⟨κληρονόμους τῆς οὐσίας κ⟩αταλεί|⟨πουσιν οἱ πατέρες· τοὺς δὲ⟩ νόθους . . .*

42b. *⟨πατ⟩ρώιων . . . . | . . τ⟩ῆς μισθοφο⟨ρίας . [. . .] ο . [. . |[25]ἐκ⟩ε⟨ῖν⟩ος κατέλιπεν α̣ὐτοῖ̣ς̣ . | ὃ δὲ⟩ π̣ά̣ν̣των δεινότατον εἰ | τὸ κάλ⟩λιστον τῶν ἐν τοῖς | νόμο⟩ι̣ς̣ κήρυγμα Θεοζο|τίδ⟩ης διαβαλεῖ καὶ ψεῦδος |[30]κα⟩ταστή-*

---

7 *Θεοζοτίδου* Kirchner: *θεοσδοτίδου* libr. *παρανόμων* addidi 8 fragmenta quae sequuntur Lysiae esse agnovit Blass, ed. Grenfell et Hunt, Hibeh Pap. I 50 cf. Fuhr, Berl. Ph. W. 1906, 1413, antecedunt . . . *τ̣ο̣υ̣ . . . . ι̣ν̣ο̣μ̣.* *δεομένους* Fuhr *ἀποστερεῖς σὺ* temptavi et 9 *μισθοφορᾶς* item, utrumque nimis longum videtur 10 *οὔτε καλῶς* scripsi, *οὔτ' ὀρθῶς* Zaka, *οὔθ' ὑγιῶς* G H 11 *τρέφειν* Fuhr *τούτων* temptavi *μᾶλλον* addidi *χρῆναι* Fuhr 12 *γνησίους* Fuhr, *ποιητοὺς* G H *τοὺς μὲν* Fuhr 13 *κληρονόμους τῆς οὐσίας* et *πουσιν οἱ πατέρες* addidi, *ὁ πατὴρ . . . καταλείπει κληρονόμους* Fuhr 14 Col. II initia servata sunt haec: *νομο . .* | [15]*βοσκη̣ . . | τ̣ο[.]ολ̣ . . | κωι το . . | ρησεν̣ . . | κ εστ . . |* [20]*πατ . . | σιον τ . . | ν̣ . τω . .*, in quibus *ἐπεχείρησεν* suppl. Fuhr 16 *ὃ δὲ* Fuhr, *ἔτι δὲ* ci G H 18 *κήρυγμα* cf. Aesch. III 154. Isocr. VIII 82, Arist. Pol. II 1268ᵃ 8 *διαβαλεῖ* G H: *διαβάλλει* Pap.

σει· Διονυσίοις γὰρ | ὅτα⟩ν̣ ὁ κήρυξ ἀναγορεύηι τοὺς | ὀρ⟩φανοὺς πατρόθεν ὑπειπὼν | ὅτι⟩ τῶνδε τῶν νεανίσκων οἱ | πατέρες ἀπέθανον ἐν τῶι πο|[35]λέμωι μαχόμενοι ὑπὲρ τῆς | πατρίδος ἄνδρες ὄντες ἀγαθοὶ | καὶ⟩ τούτους ἡ πόλις ἔτρεφε μέ|χρι⟩ ἥβης, ἐνταῦθα πότερα χωρὶς | περὶ τῶν ποιητῶν καὶ τῶν νό|[40]θ⟩ων ἀνε̣ρ̣ε̣ῖ λέγων ὅτι τούςδε | διὰ Θεοζοτίδην οὐκ ἔτρεφεν | ἢ̣ πάντας ἀ⟨ναγορε⟩ύων ὁμοίως | τοὺς ὀρφανοὺς τῶν⟩ ποιητῶν | καὶ τῶ̣ν̣ ⟨νό⟩θ̣ω̣ν̣ ⟨καταψεύσε|[45]ται̣ περὶ τῆς τροφῆς ὑ̣π̣ο̣σ̣ι̣⟨ωπῶν; | ταῦτα οὐχ ὕβρις καὶ ⟨μ⟩εγάλη διαβο|λ⟩ὴ ⟨ἔσται τῆς πόλεως; ἐ⟩πειδὴ δὲ Κλε|ομένης . . . ., ὦ ἄν⟩δρες δικασταί, | τὴν ὑμετέραν ἀκρόπ⟩ο̣λιν κατέλαβε . . .

42c. | [70]. [11 litt.] . ουτος ει π̣ρ̣ε̣σ | . [11 litt.] π̣ε̣ρὶ φυλακῆς | [12 litt.] . . σ̣αμ περὶ πο|λ⟩ε̣μ̣⟨ου Θεοζο⟩τίδης οὗτοσ|ὶ̣ τ̣ὴ̣⟨γ γν⟩ώμην ἀγορεύει |[75]τοὺς μὲν ἱππέας ἀντὶ δρα|χμῆς τέσσαρα⟨ς ὀβ⟩ολοὺς μισ|θοφορεῖν, τ̣ο̣⟨ὺς δ' ἱπ⟩ποτοξό|τας ὀκτὼ ὀβολοὺς ἀντὶ δ̣υ̣ο̣ῖ̣ν̣ | ⟨ὀ⟩β̣⟨ο⟩λ⟨ο⟩ῖ̣ν̣ καὶ τ̣⟨αύ⟩τ̣ην τὴγ | [80]γνώμην ε̣. . . . . .υ̣α̣κ̣υ̣μ̣ . | ἐνίκησ̣ε̣⟨ν ἐν τῶι δ⟩ήμωι δ̣⟨ι' | οὗ καὶ μ̣ . . . . . .⟨γν⟩ώμην . . . . ἅπασαν τοὺς ἱππ⟨έας ἢ ὑπὲρ | τοῦ παρόντος καὶ τοῦ μέ⟨λλον|[85]τος συντέμνειν τὴμ μισθ⟨οφο|ρίαν. ἐγὼ

---

6 ἀνερεῖ G H: ἀνερεῖς Pap. 7 ἔτρεφεν G H: ἔτρεφον Pap. 8 τοὺς ὀρφανοὺς add. Fuhr 9 ψεύσεται G H κατα et 11 ἔσται τῆς πόλεως Fuhr, κατὰ τῆς πόλεως Blass 12 τὴν ὑμετέραν ἀκρ. Blass, coll. Arist. resp. Ath. 20, 3. Her. V 72 13 Col. II pauca servata | [50]του̣ λ̣ . . | [54]. . . . των δ̣ι̣α̣ . . | [57]. . . ω̣ν . . | [58]γαρ τα ελε̣υ̣ . . | [59]λ⟩αβοιεν ε . . | [60]. . . . αλ̣λ̣ηι δ̣ . . 14 fr. 42c est in Col. II et III, ex Col. I versuum exitus quidam extant: | [62]. . υ̣τω | . . ἀπο | . . ν υστε | [65]. . . τωι κ . | . . αι και | . . απο | . . τ⟩ημ μισ | [69]θοφοριαν⟩ . . . υ̣ρηθη | 17 δραχμῆς cf. Dem. IV 28 21 haec sunt in eiusdem folii Col. III 22 συντέμνειν G H coll. Thuc. VIII 45: συντείνειν Pap.

δὲ τὸ πορίζειν οὐ<κ ἀποστερεῖν ᾤμην εἶναι τῶν | ὑπαρχόντων ἀλλὰ προφ<υλάτ|τειν, ὅπως πλείω τῶν ὄν<των ἢ μηδὲν ἐλάττω τῶν ὑ<παρ|χόντων ἔσται. τοιοῦτο. . . .| τ>οῦτον οὐκ ὀκνεῖν χρὴ. . . .|. . ν ἀλλὰ. . . . .

42 d. . . . *επεισεν ὑμᾶς π. . . |. . . κη ἐξεῖναι μ. . . . . ης διωβελίας. . . | . . . α <χ>ρήματα. . .*

42 e. . . . *οφειλο. . . | . . . καίτοι υ. . .*

42 f. Col. I. . . . *ιστε | . . . τα τε | . . . εσθαι | . . . ωσεσ | . . . ειτε οι υ | . . . ἄν>δρες | . . . ι φυ | . . . χι.* Col. II. nonnullae litterae ex versuum initiis servatae sunt.

42 g. | . . *νιν . . . | η. . ων. αναισ. . . | λων συγκα. . .*

42 h. . . . *υσαν. . . | . . . ι>ππευς. . . | . . ο>ρφαν. . . . . αη. . | . . . πολ . . . ερ . . . | . . . ν συντι. . . | . . . ποι. . . ἀποτ . . . | . . . ου τημ μισθ<οφορίαν | . . . ασαν εντελη. . . | . . . ις το περιτ. . . | . . . μισθοφορία. . . | . . . . τ. λ. . . . . | . . . . ων π. . . | . . . . αν. . . ναπ. . . | . . . ρου. . .*

42 i. . . . *δημη | . . . τα το δεινον | . . . . ημηδη | . . . . βουλευ | . . . . βουλεύσηι | . . . ευσει | . . . αλεγων | . . . . . κο . . . π>αρανομα | . . . . . . οι*

42 k. . . . . . *ρ. χ. . . | . . . ασατο τ. . . | . . . . ρειτ. . | . . . εων. ιναν. . | . . . . ιαι η. . . | . . . . . | . . . . ισ. . . | . . . . . | . . . . ομ. . .*

42 l. . . . *ντιτωι. . . | . . . πατω. . . | . . . . . ε |*

42 m. . . . . *μ. . . | και τους . . . | ἠγωνιστα<ι . . . | μὲν ἡ δικ<η. . . | ο>υδεν απ. . .*

---

4 *οὐκ* GH: *οὐχ* Pap *χρὴ κωλύειν* Fuhr. 11 *ἀναισ<χυντί* Fuhr Fragmenta abc, quia columnarum exitus praebent, inter se non cohaerent

fr. e, h, m, p propter ea quae in latere verso scripta sunt, ad b et c, fr. f, g, n fortasse ad a pertinent, in fr. d, i, k, l, o, q—x versis nihil inscriptum.

42 n. | . . . . . | . . . . ạṭ . . . | . . . ευπ . . . . υκε . . . | . . . ξ̣ην ειναι της ε . . . | . . . υγκαταθει . .

42 o. Col. II. . . . . . | . . . ṿ ἐπηρεạ . . . | μ̣εγ γαρ κλẹ . . . | ξηι . . . . | τα . . . . | τ̣ọ . . . .

42 p. . . . ọντ . ἐ . . . | . . . . ωματι . . . | . . . λ̣ουσιν . . . | τῆ>ς μισθοφορία<ς . . .

42 q. . . . φορ . . . | . . . . . λο . . | . . . ṿịṭ . . . | . . . π̣ọ . . . | . . . . . ạ . . .

42 r. . . . ηṿαι τρẹ . . . | . . . . . ουστọ |

42 s. . . . λ̣αβειν . . . | . . . . . π̣ρ . . . | . . . ρηịṿ . . . | . . . . . λ̣ẹ . . .

42 t. . . . ọωι κ . . . | . . . ọυς δ . . .

42 u. . . . ευσ . . . | . . . . ọλ̣ . . .

42 w. . . . πισ . . . | . . . μ̣ιν . . .

42 x. . . . π̣ο . . . | . . . . π̣ . . .

Poll. VIII 46 (προβολαί). Theozotides, fortasse ποριστοῦ munere functus (v. 42), populiscita duo fecerat (v. 40), ut ex numero adolescentium eorum, qui, quia patres fortiter pugnantes in proelio ceciderant, sumptu publico alebantur, eximerentur, qui aut spurii aut adoptati essent, ut equitum stipendia diminuerentur, hippotoxotarum augerentur. Qua de causa cum παρανόμων accusatus esset, accusator hac utitur oratione.

LX. ΚΑΤΑ ΘΡΑΣΥΒΟΥΛΟΥ, εἰ γνήσιος. (7.)

Harp. v. Ἀναξίβιος, Δικαιόπολις, ἐπιθέτους ἑορτάς, Ἰσμηνίας, Πολύστρατος, Πύρρα, Σεύθης, Στρούθης.

LXI. ΠΡΟΣ ΙΠΠΟΘΕΡΣΗΝ. (139.)

Harp. v. ἀφανὴς οὐσία καὶ φανερά, Ἱερώνυμος.

7 μισθο>φορ<ι Fuhr   9 χρ>ῆναι τρέ<φειν Fuhr

LXII. ΠΡΟΣ ΤΟΥΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΑΙΔΑΣ. (84.)

124 43. *Οὐχ ἱκανόν, ὦ ἄνδρες δικασταί, τοῖς ἐπιτρόποις ὅσα πράγματα διὰ τὴν ἐπιτροπείαν ἔχουσιν, ἀλλὰ καὶ διασῴζοντες τὰς τῶν φίλων οὐσίας συκοφαντοῦνται ὑπὸ τῶν ὀρφανῶν πολλοί· ὅπερ κἀμοὶ νῦν συμβέβηκεν. ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, καταλειφθεὶς ἐπίτροπος τῶν Ἱπποκράτους χρημάτων καὶ διαχειρίσας ὀρθῶς καὶ δικαίως τὴν οὐσίαν καὶ παραδοὺς τοῖς υἱέσι δοκιμασθεῖσι τὰ χρήματα ὧν ἐπίτροπος κατελείφθην, συκοφαντοῦμαι νῦν ὑπ' αὐτῶν ἀδίκως.* Dionys. Hal. de Isaeo V p. 599 R. coll. p. 600.

LXIII. ΠΡΟΣ ΙΣΟΔΗΜΟΝ. (140.)

Harp. v. *αὐθέντης*.

LXIV. ΠΡΟΣ ΙΣΟΚΡΑΤΗΝ ΑΙΚΙΑΣ. (57.)

126 44. *Καίτοι τίς οὐκ οἶδεν ὑμῶν ὅτι τὴν μὲν αἰκίαν χρημάτων ἔστι μόνον τιμῆσαι, τοὺς δὲ ὑβρίζειν δόξαντας ἔξεστιν ὑμῖν θανάτῳ ζημιοῦν;* Phot. p. 614, 10. Suid. et Etym. M. v. *ὕβρις*. Poll. VIII 46 eandem orationem laudat: *ἐν τῷ πρὸς Ἱπποκράτην αἰκίας* (*προβολαί*).

[LXV. ΥΠΕΡ ΙΦΙΚΡΑΤΟΥΣ ΠΡΟΔΟΣΙΑΣ ΑΠΟΛΟΓΙΑ, *εἰ γνήσιος*. (8.)

128 45. *Εἶτα σὺ μὲν ὢν Ἀριστοφῶν οὐκ ἂν προδοίης, ἐγὼ δ' ὢν Ἰφικράτης;* Aristot. rhetor. II 23 p. 1398ª. (*Σὺ δ' αὐτὸς εἰ κύριος ἦσθα τῶν νεῶν, πότερον προὔδωκας ἂν ἢ οὔ; — εἶτα σὺ μὲν οὐκ ἂν προὔδωκας ὢν Ἀριστοφῶν, Ἰφικράτης δὲ προὔδωκεν;* Aristid. or. XLIX vol. 2 p. 519 Dind.)

129 46. *Ἡ γὰρ ὁδός μοι τῶν λόγων διὰ μέσων τῶν Χάρητι πεπραγμένων ἐστίν.* Aristot. rhet. III 10 p. 1411ᵇ.

---

3 *ἐπιτροπίαν* p. 599 F[1], *ἐπιτροπὴν* p. 600 F

47. *Τραύματα ἔχων οὐχ ἑτέρων ἐπ' ἐμὲ ἐρχομένων,* 130 *ἀλλ' αὐτὸς ἐπιών.* Schol. Hom. Il. p. 364 B, 22 Bk.

48. *Οἷα ποιεῖς, ὦ ἄνθρωπε, πολέμου περιεστῶτος τὴν* 131 *πόλιν περὶ ἐμοῦ πείθων βουλεύεσθαι καὶ μὴ μετ' ἐμοῦ.* Plut. moral. p. 187 B.

49. *Βελτίων μὲν ὁ τῶν ἀντιδίκων ὑποκριτής, δρᾶμα* 132 *δὲ τοὐμὸν ἄμεινον.* Plut. moral. p. 801 F.] cf. Bekk. Anecd. 467, 28. Iphicratis, non Lysiae esse suspicatur Dionysius vol. V p. 481 et Aristoteles l. l. testatur.

LXVI. ΥΠΕΡ ΚΑΛΛΑΙΣΧΡΟΥ. (141.)

50. *Μετ' ἀβακίου δὲ καὶ τραπεζίου πωλῶν ἑαυτόν.* 134 Pollux X 105, cf. fr. XI.

LXVII. ΚΑΤΑ ΚΑΛΛΙΟΥ ΕΝΔΕΙΞΕΩΣ. (53.)

Bekk. Anecd. 95, 25 (*ἐωνηκώς*).

LXVIII. ΚΑΤΑ ΚΑΛΛΙΟΥ ΥΒΡΕΩΣ. (58.)

51. *Ἐξελθοῦσα αὐτοῦ ἡ παιδίσκη τὴν θύραν ἀνοί-* 136 *γνυσι.* Pollux III 76, lex Vind. 142.

LXVIII[a]. ΥΠΕΡ ΚΑΛΛΙΟΥ. (142.)

52. *Οὗτοι δὲ φάσκοντες πλείονος μισθώσασθαι καὶ* 137 *τίμημα καταστήσασθαι.* Harp. et Suid. v. *τίμημα.*

Hanc orationem a quinta, cuius pars posterior deperdita est, non diversam esse Sauppe putat, sed Blassio haec verba ab illius orationis argumento aliena videntur.

LXIX. ΠΡΟΣ ΚΑΛΛΙΚΛΕΑ. (143.)

Suid. v. *ἀπόμισθος.*

---

1 *ἐρχομένων* corruptum esse monet Herw 16 *καὶ ἐξελθοῦσα ἡ* Sauppe sine adn. 19 *πλείονος* Dobr: *πλείονα* libr. idem vult *μισθώσεσθαι* et *καταστήσεσθαι*

LXX. ΠΡΟΣ ΚΑΛΛΙΠΠΙΔΗΝ. (144.)

Harp. v. λάκρος.

LXXI. ΠΡΟΣ ΚΑΛΛΙΦΑΝΗ ΞΕΝΙΑΣ, εἰ γνήσιος. (29.)

Harp. v. νοθεῖα.

LXXII. ΚΑΤΑ ΚΑΛΛΙΦΩΝΤΟΣ. (144a.)

52a. *ὅτι γὰρ ἔσθ' ὅτε μάρτυρας συγγενεῖς προκριτέον, δηλοῖ Λυσίας ἐν τῷ κατὰ Καλλιφῶντος· περὶ παρακαταθήκης γὰρ ἡ κρίσις, τοῦ μὲν λέγοντος μηδὲν ὧν δέδωκεν ἀπειληφέναι, τοῦ δὲ φάσκοντος πάντα ἀποδεδωκέναι· τοῦ δὲ ἀπαιτοῦντος μάρτυρας παραφέροντος ξένους, ὁ ἕτερος φησίν, ὡς, εἰ τὸ δέον ἐποίει, μάρτυρας ἐχρῆν οἰκείους παρέχεσθαι· τὰ γὰρ τοιαῦτα οὐκ ἐπὶ τῶν ξένων εἴωθε γίνεσθαι, ἀλλ' ἐπὶ τῶν οἰκείων. οὕτω γοῦν ἔφη ἐπὶ λέξεως· εἰ μὲν περὶ ὕβρεως ἢ αἰκίας ἤ τινος ἄλλου τῶν τοιούτων τὴν δίκην συνέβαινεν εἶναι, εἰκότως τοὺς ἔξωθεν εἴχετ' ἂν μαρτυροῦντας· ἐπειδὴ δὲ περὶ ⟨παρα⟩καταθήκης ἀποδόσεως, οὐχ ἑτέρους ἐχρῆν ⟨παρέχεσθαι⟩, ἀλλὰ τοὺς οἰκείους, οὓς ἀνάγκη τὰ πραχθέντα εἰδέναι.*

A. Mai scriptorum vet. nov. coll. II, p. 584, legit et edidit H. Rabe Rh. Mus. LXIII 519.

LXXIII. ΠΡΟΣ ΚΙΝΗΣΙΑΝ ΥΠΕΡ ΦΑΝΙΟΥ ΠΑΡΑΝΟΜΩΝ. (16.)

143 1 53. *Θαυμάζω δὲ εἰ μὴ βαρέως φέρετε ὅτι Κινησίας ἐστὶν ὁ τοῖς νόμοις βοηθός, ὃν ὑμεῖς πάντες ἐπίστασθε ἀσεβέστατον ἁπάντων καὶ παρανομώτατον ἀνθρώπων γεγονέναι. Οὐχ οὗτός ἐστιν ὁ τοιαῦτα περὶ θεοὺς ἐξ-*

---

9 *δέδωκεν ἀπειληφέναι* Vat α ut vid: *δεδωκέναι εἰληφέναι* Vat. γ   16 *εἴχετ' ἂν* Rabe: *ἔχετε* libr.   17 *παρα* add. Rabe   18 *παρέχεσθαι* addidi, *παραφέρειν* add. Rabe

αμαρτάνων, ἃ τοῖς μὲν ἄλλοις αἰσχρόν ἐστι καὶ λέγειν,
τῶν κωμῳδοδιδασκάλων ⟨δ'⟩ ἀκούετε καθ' ἕκαστον ἐνι- 2
αυτόν; οὐ μετὰ τούτου ποτὲ Ἀπολλοφάνης καὶ Μυστα-
λίδης καὶ Λυσίθεος συνειστιῶντο, μίαν ἡμέραν ταξάμε-
νοι τῶν ἀποφράδων, ἀντὶ δὲ νουμηνιαστῶν κακοδαιμο-
νιστὰς σφίσιν αὑτοῖς τοὔνομα θέμενοι, πρέπον μὲν ταῖς
αὑτῶν τύχαις, οὐ μὴν ὡς τοῦτο διαπραττόμενοι τὴν διά-
νοιαν ἔσχον, ἀλλ' ὡς καταγελῶντες τῶν θεῶν καὶ τῶν
νόμων τῶν ἡμετέρων. ἐκείνων μὲν οὖν ἕκαστος ἀπώλετο, 3
ὥσπερ εἰκὸς τοὺς τοιούτους· τοῦτον δὲ τὸν ὑπὸ πλεί-
στων γιγνωσκόμενον οἱ θεοὶ οὕτως διέθεσαν, ὥστε τοὺς
ἐχθροὺς βούλεσθαι αὐτὸν ζῆν μᾶλλον ἢ τεθνάναι, παρά-
δειγμα τοῖς ἄλλοις, ἵν' εἰδῶσιν ὅτι τοῖς λίαν ὑβριστι-
κῶς τὰ θεῖα διακειμένοις οὐκ εἰς τοὺς παῖδας ἀποτίθεν-
ται τὰς τιμωρίας, ἀλλ' αὐτοὺς κακῶς ἀπολλύουσι, μεί-
ζους καὶ χαλεπωτέρας καὶ τὰς συμφορὰς καὶ τὰς νόσους
ἢ τοῖς ἄλλοις ἀνθρώποις προσβάλλοντες. τὸ μὲν γὰρ 4
ἀποθανεῖν ἢ καμεῖν νομίμως κοινὸν ἡμῖν ἅπασιν ἐστί,
τὸ δ' οὕτως ἔχοντα τοσοῦτον χρόνον διατελεῖν καὶ καθ'
ἑκάστην ἡμέραν ἀποθνήσκοντα μὴ δύνασθαι τελευτῆσαι
τὸν βίον τούτοις μόνοις προσήκει τοῖς τὰ τοιαῦτα ἅπερ
οὗτος ἐξημαρτηκόσιν. Athen. XII p. 551 D. cf. Harp. v.
Κινησίας.

LXXIV. ΠΡΟΣ ΚΙΝΗΣΙΑΝ Β'. (145.)

Harp. v. *Κινησίας.*

---

2 *κωμωιδιδασκάλων* A: corr. Musur, idem *δ'* addit 3 *Μυρταλίδης* de Wilamowitz 4 *συνεστιῶντο* A *ἡμέραν ⟨μὲν⟩ ταξάμενοι μίαν τῶν ἀποφράδων* proponit Kaibel 5 *δὲ* a vulgatis aberat 7 *διαπραξόμενοι* Kaibel 12 *αὐτὸν βούλεσθαι* vulg. 13 *εἰδῶσιν* Musur: *ἴδωσιν* A E 17 *⟨αὐτοῖς⟩ ἢ τοῖς* Kaibel 18 *ἅπασιν ἡμῖν* vulg.

LXXV. ΠΡΟΣ ΚΛΕΙΝΙΑΝ ΔΙΑΜΑΡΤΥΡΙΑ. (116.)

144 54. *Ἐπειδὴ πάντες κατέδαρθον, ἐσκευασμένος τῶν χαλκωμάτων ὅσα οἷός τ' ἦν πλεῖστα, ὑπὸ μάλης λαβὼν ἐξήγαγε ξίφος ἔχων.* Suid. v. ὑπὸ μάλης. cf. Bekk. Anecd. 84, 7 βαλάντιον, Harp. v. χίλιοι διακόσιοι.

LXXVI. ΠΡΟΣ ΚΛΕΟΣΤΡΑΤΟΝ. (124.)

147 55. *Οὐδὲ εἴ τις εἰσποίητος πάθοι, οὐκ ἀποστερεῖ τὴν μητέρα τούτων τῶν χρημάτων.* Priscian. XVIII 257 p. 235 Kr.

LXXVII. ΠΡΟΣ ΚΛΕΩΝΑ ΠΕΡΙ ΧΡΥΣΟΥ ΤΡΙΠΟΔΟΣ, *εἰ γνήσιος.* (107.)

148 56. *Ἀργυρώματά τε ἢ χρυσώματα ἔτι ἦν διδόναι.* Athen. VI p. 231 B (cf. Poll. X 174, VII 103 et 104). cf. Poll. VII 170.

LXXVIII. ΠΡΟΣ ΚΡΙΤΟΔΗΜΟΝ. (146.)

Harp. v. ἐπίπεμπτον.

LXXIX. ΥΠΕΡ ΚΤΗΣΙΑΡΧΟΥ. (147.)

Harp. v. ἐπεσκήψατο.

LXXX. ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ. (64.)

152 57. *Καὶ τοὺς μὲν τῶν ἄλλων Ἀθηναίων παῖδας, ὧν οἱ πατέρες βοηθήσαντες ὑμῖν ἔτι ζῶσιν, ἀπειπεῖν ἐν τοῖς νόμοις μήτε ἄδικον μήτε δίκαιον λέγειν.* Suid. v. ἀπειπεῖν.

---

2 *συσκευασάμενος* Rs 3 *ὑπὸ μάλης* pone *ἔχων* transpon. Scheibe 7 *τις*] *τι ὁ* Cob *πάθοι* Krehl: *ΠΑΕΟΙ* vel *ΠΑΣΟΙ* M, *παῖς εἴη* Sauppe, *νόθος* Rs, *ἢ νόθος* Scheibe 8 *τούτων* Sauppe: *αὐτοῦ* VR, *αὐτοῦ τοῦ* M, *αὐτοῦ τούτων* Spengel 12 *τε καὶ χρ.* malebat Scheibe

LXXXI. ΠΕΡΙ ΤΟΥ ΚΥΝΟΣ ΑΠΟΛΟΔΙΑ. (104.)

58. *Ἐλυμαίνοντο γάρ μου τὸν καρκίνον εἰσφοιτῶσαι* 154
αἱ κύνες. Harp. v. *καρκίνος*. cf. Anon. Seguerii p. 56 (Notices des Manuscr. de la la bibl. du Roi XIV 2, p. 206).

LXXXII. ΠΡΟΣ ΛΑΙΔΑ, *εἰ γνήσιος*. (148.)

59. ***Φιλύρα γέ τοι ἐπαύσατο πορνευομένη ἔτι νέα οὖσα*** 155
καὶ Σκιώνη καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ Ψαμάθη καὶ Λαγίσκα καὶ Ἄνθεια (*καὶ Ἀριστόκλεια*. Athen. XIII p. 592 E). Athen. XIII p. 586 E. cf. Harp. v. *Λαγίσκα*, *Ἄνθεια*.

LXXXIII. ΠΡΟΣ ΛΑΚΡΑΤΗΝ. (91.)

60. *Οὐδ' ἂν εἰ πολὺ ἐλάττω τόκον λογίσαιτό τις ἢ* 156
ὅσον οὗτοι οἱ ὀβολοστατοῦντες τοὺς ἄλλους πράττονται. Harp. v. *ὀβολοστατεῖ*.

LXXXIV. ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ. (149.)

Harp. v. *Ἀρδηττός*.

LXXXV. ΚΑΤΑ ΛΥΣΙΘΕΟΥ ΤΡΑΥΜΑΤΟΣ ΕΚ ΠΡΟΝΟΙΑΣ, *εἰ γνήσιος*. (41.)

61. *Κάμψαντι τοῦ τείχους, ὦ βουλή, ἐστὶ γωνιασμὸς* 158
ἐν ἀριστερᾷ καὶ εὐρυχωρία πάνυ πολλή. Harp. v. *γωνιασμός*. Suid. v. *γωνία*.

62. *Ἐβιάζετό τε γὰρ καὶ οἷος ἦν ἐξευρεῖν τὴν θύραν*. Phot. lex. p. 323, 5. cf. Harp. v. *οἷος εἶ*.

62 a. *Καὶ κατέλαβον αὐτὸν γῆν ἐν θυείᾳ τρίβοντα δοίδυκι λιθίνῳ*. *Λέξεις Πατμ.* Bull. corr. hell. I 153, ubi

---

5 Hunc titulum habet et Harp. et altero loco Ath., qui loco priore dat *κατὰ Λαΐδος* 20 sic habent Suidas et Harp. epit.; libri Harp. dant *Ἔστι δὲ κάμψαντι*, omissa deinde voce *ἐστι* 21 *πολλή* Bekker: libri *πολὺς* vel *πολλοῖς* vel *πολλῇ* 23 *ἐξαιρεῖν* Nab

titulus orationis servatur. cf. Harp. v. *πλινθεῖον*, *στύραξ*, *Φάληρον*, Bekk. Anecd. 95, 1.

LXXXVI. ΠΕΡΙ ΗΜΙΚΛΗΡΙΟΥ ΤΩΝ ΜΑΚΑΡΤΑΤΟΥ ΧΡΗΜΑΤΩΝ. (71.)

Harp. v. *Προσπάλτιοι*, *σιπύα*. cf. Isae. XI 48.

LXXXVII. ΚΑΤΑ ΜΑΝΤΙΟΥ. (150.)

Harp. v. *Νότιον*.

LXXXVIII. ΠΡΟΣ ΜΕΔΟΝΤΑ ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ. (113.)

Harp. v. *Ἀντίκυρα* (cf. Athen. XIII 586 F.), *ἀπήχεια*.

XCI. ΠΡΟΣ ΤΗΝ ΜΕΙΞΙΔΗΜΟΥ ΓΡΑΦΗΝ, *εἰ γνήσιος*. (51.)

176 67. *Καὶ δύο παῖδας αὐτῷ ἀκολούθους εἶναι, ὧν οὗτος τὸν μὲν Μουσαῖον καλεῖ τὸν δὲ Ἡσίοδον.* Harp. v. *Μουσαῖος*. cf. Harp. v. *διῆρξα*, *ἐπιθέτους ἑορτάς*, *Λέχαιον*, *πρόπεμπτα*, *προχειροτονία*, cf. Arist. rhet. II 23.

LXXXIX. ΠΡΟΣ ΜΕΝΕΣΤΡΑΤΟΝ, *εἰ γνήσιος*. (151.)

Harp. v. *προθεσμίας νόμος*.

XC. ΚΑΤΑ ΜΙΚΙΝΟΥ ΦΟΝΟΥ, *εἰ γνήσιος*. (36.)

171 63. *Τὴν νύκτα ἐκάθητο ἐν τῷ ἱερῷ τὴν ὄψιν κατακαλυψάμενος.* Anonym. in Rhet. Gr. VII p. 286 Walz.

172 64. *Οἱ μὲν ἄλλοι συγγενεῖς παρεγένοντο, μόνος δ' ἀπελείφθη.* Idem eod. loco.

173 65. *⟨Τὰ⟩ πρὸς ἑτέρας αἰτίας ἀνήκειν δοκοῦντα παραλελείψεται.* Priscian. XVIII 191 p. 194 Kr.

---

24 *τὰ* add. Sauppe, *καὶ* Hertz, quoniam in libris pro *φονου* quod praecedit *φονουκ* legitur; *οὐ* Emperius

66. *Ἐκεῖνον ἐπὶ τὸ σύνδειπνον κεκλημένον.* Athen. VIII p. 365 B. cf. Phot. lex. 551, 21, Arg. Antiph. II α, Sopater IV 405 Walz, Georg. apud Schilling. quaest. rhet. Jb. f. Phil. suppl. XXVIII 689. 174

XCII. ΠΡΟΣ ΜΝΗΣΙΜΑΧΟΝ. (152.)

68. *Συντίθεται δὲ τούτοις καὶ Καρκίνος ὁ ποιητὴς* 182
εἰπών·

οὐκ οἶνος ἐξέστησε· τὰς γὰρ ἐμφύτους
ὀρθῶς παγείσας . . . . . φρένας
οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν. Harp. v. *Καρκίνος.*

XCIII. ΚΑΤΑ ΜΝΗΣΙΠΤΟΛΕΜΟΥ. (153.)

cf. Phot. bibl. 262 p. 489[b], 265 p. 491[b].

XCIV. ΚΑΤΑ ΜΟΣΧΟΥ. (154.)

Harp. v. *δήμαρχος.*

XCV. ΠΡΟΣ ΝΑΥΣΙΑΝ ΠΕΡΙ ΤΟΥ ΤΥΠΟΥ. (108.)

69. *Ἀλλὰ διὰ τὸ τρεῖς τέχνας ἐργάζεσθαι, τήν τε λιθουργικὴν καὶ λιθοτριβικὴν καὶ πρὸς τούτοις τὸ τετρυφηκέναι.* Suid. v. *λιθουργική.* cf. Bekk. Anecd. 277, 33. 186

69a. *Τοῦ γείσου συντετελεσμένου καὶ τοῦ κρηπιδαίου.* Poll. VII 120. 185

XCVI. ΥΠΕΡ ΝΗΣΟΚΛΕΟΥΣ. (155.)

Harp. v. *ἐπιδιατίθεσθαι.*

---

1 *ἐκεῖνον* Lysiae tribuit Kaibel. Est enim: *φησὶ γὰρ ἐκεῖνον ἐπὶ κτλ.* 8 *οὐκ οἶνος* Lusac: *οὐ κεῖνος* libr., *νοῦ κεῖνος* Vales. 9 quod post *παγείσας* additur *μὲν*, Maussaci interpolationi debetur. Sauppe addere malit *καὶ πεπλασμένας.*

XCVII. ΠΡΟΣ ΝΙΚΑΡΧΟΝ ΤΟΝ ΑΥΛΗΤΗΝ, εἰ γνήσιος. (156.)

Harp. v. *ἀκμάζεις*, *Ἀντιγενίδας*.

XCVIII. ΠΡΟΣ ΝΙΚΙΑΝ ΠΕΡΙ ΠΑΡΑΚΑΤΑΘΗΚΗΣ. (92.)

70. *Τὴν μὲν παρασκευὴν καὶ τὴν προθυμίαν τῶν ἀντιδίκων ὁρᾶτε, ὦ ἄνδρες δικασταί.* Clem. Alex. strom. VI p. 626 Sylb. cf. Lys. XIX 2. Isocr. XXI. An = L? cf. Isocr. XXI.

[XCIX. ΥΠΕΡ ΝΙΚΙΟΥ. (4.)

191/93 71. *Ἑλλήνων κλάω ⟨τὸν⟩ ἀμάχητον καὶ ἀναυμάχητον ὄλεθρον. — ἱκέται μὲν αὐτοὶ τῶν θεῶν καθίζοντες, προδότας δὲ τῶν ὅρκων ὑμᾶς ἀποφαίνοντες. — ἀνακαλοῦντές τε συγγένειαν εὐμένειαν.* Theophrastus apud Dionys. Hal. V p. 484 R.]

XCIX[a]. ΚΑΤΑ ΝΙΚΙΟΥ ΦΟΝΟΥ, εἰ γνήσιος. (37.)

Harp. v. *ἐπιβλῆτας* ubi Sauppe cum edd. antiquis *Μικίνου* legit cf. XC.

C. ΚΑΤΑ ΝΙΚΙΔΟΥ ΑΡΓΙΑΣ, εἰ γνήσιος. (48.)

Haec oratio olim in Palatino X post or. XXV extabat cf. Sauppe, epist. crit. p. 8. Harp. v. *διαγράψασθαι*, *δωροξενία*, *εὔθυνοι*, *Θετταλός*, *Ἰτεαῖος*, *Κηττοί*, *ὀβολοστατεῖ*, *Ποταμός*, *πτώματα ἐλαιῶν*, Diog. Laert. I 55.

---

4 *περὶ* Sauppe: *ὑπὲρ* libri *παρακαταθήκης* Sylburg: *καταθήκης* libri 10 *Ἑλλήνων* om. G, habent (M B P), *ελλῆν* E[1] supra lineam *τὸν* add. G 12 *ὑμᾶς* Tournier: *ἡμᾶς* libri 13 *τε* om. M *καὶ* ante *εὐμέν.* add. Sauppe, *τὴν τῆς συγγενείας εὐμένειαν* malit Scheibe. Orationem Lysiacam existimat Norden, Kunstprosa I 120

CI. ΠΡΟΣ ΝΙΚΟΔΗΜΟΝ ΚΑΙ ΚΡΙΤΟΒΟΥΛΟΝ. (125.)

Harp. v. *ξυστίς*.

CII. ΥΠΕΡ ΝΙΚΟΜΑΧΗΣ. (126.)

Marcellinus in Hermog. IV 324 Walz: *ὁ Λυσίας ἐν τῷ ὑπὲρ Νικομάχης διώκων Ἐκφαντίδην καὶ Διοφάνην οὐκ ἦλθεν ἐπὶ τὸ κεφάλαιον τοῦτο, διὰ τὸ μίαν εἶναι ἀμφοτέρων τὴν ποιότητα.*

CIII. ΠΡΟΣ ΞΕΝΟΦΩΝΤΑ (vel ΞΕΝΟΚΡΑΤΗΝ). (157.)

72. *Συγκομίσας δ' ὀπώραν καὶ ἀποδόμενος τὸν ἀγρόν.* **206**
Phot. lex. p. 546 et 767. Suid. v. *συγκομιδή*. Et. M. 733, 23.

CIV. ΠΕΡΙ ΤΗΣ ΟΝΟΜΑΚΛΕΟΥΣ ΘΥΓΑΤΡΟΣ. (76.)

Harp. v. *πεντακοσιομέδιμνον*, *Ὑβάδαι*.

CV. ΠΡΟΣ ΤΗΝ ΦΑΣΙΝ ΤΟΥ ΟΡΦΑΝΙΚΟΥ ΟΙΚΟΥ. (85.)

Harp. v. *φάσις*.

CVI. ΚΑΤΑ ΠΑΝΤΑΛΕΟΝΤΟΣ. (158.)

Poll. IV 23 (*ἱκανότης*) cf. Bekker An. I 100, Schol. Lucian. p. 256 ed. Jacobitz (*ζηλοτυπεῖν*).

CVII. ΠΕΡΙ ΤΟΥ ΠΟΛΥΑΙΝΟΥ ΚΛΗΡΟΥ. (72.)

72a. Quaeres a me, quo iure obtinere possim. Quo iure? **213**
Mihi Polyaenus reliquit, praetor dedit possessionem, leges me defendunt, ad te non pertinent, hi veritatem sequuntur. Rutil. Lup. de fig. sent. II 8. cf. Meier-Lipsius, Att. Proz. 570.

---

8 *Ξενοφῶντα* Phot. et Suidas, *Ξενοκράτην* Et. M 9 *δ' ὀπώραν* Scheibe: *δὲ δῶρα* libr., *δὲ τὰ ὡραῖα* Dindorf *ἀποδοὺς* Et. M *τὸν ἀγρὸν* Et. M, *τὸ ἀργύριον* Phot. Suid. 19 possim, quo iure mihi: distinxit Sauppe 21 pertinet mal. Haase sequuntur Gesner: sequantur libr., sequentur Jacob

CVIII. ΚΑΤΑ ΠΟΣΕΙΔΙΠΠΟΥ. (159.)

Harp. v. *ἀπολαχεῖν*.

CIX. ΠΡΟΣ ΠΥΘΟΔΗΜΟΝ ΑΠΟΣΤΑΣΙΟΥ, *εἰ γνήσιος*. (119.)

Poll. VII 17 (*θρεπτή*). Harp. v. *τῆτες*, cf. fr. 100.

CX. ΠΡΟΣ ΣΟΦΟΚΛΕΑ. (160.)

Bekk. Anecd. 109, 3 (*μυκείαν*).

CXI. ΚΑΤΑ ΣΤΡΑΤΟΚΛΕΟΥΣ ΕΞΟΥΛΗΣ. (110.)

Harp. *ἐξούλης*. Qui locus cum fortasse corruptus sit, ad Isaeum potius haec oratio referenda videtur. Sauppe or. II 241.

CXII. ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑ. (44[a])

Cic. de or. I 54, 231; Val. Max. V 4 ext. 2; Diog. Laert. II 40; Stob. Flor. VII 56. Vit. X or. 836[b], quam orationem extitisse editam iure Sauppe negat et, quae Schol. Plat. p. 330 Bk. et Bekk. Anecd. 115, 8 afferunt, ad orationem insequentem refert.

CXIII. ΥΠΕΡ ΣΩΚΡΑΤΟΥΣ ΠΡΟΣ ΠΟΛΥΚΡΑΤΗΝ. (3.)

Schol. Aristid. III 319 et 480 Dd. Schol. Plat. 330 Bk. (*Ἄνυτος, Μέλητος*); Bekk. Anecd. 115, 8 (*ὑπουργία*).

CXIV. ΠΡΟΣ ΣΩΣΤΡΑΤΟΝ ΥΒΡΕΩΣ, *εἰ γνήσιος*. (59.)

Harp. v. *ἰσοτέλης*.

CXV. ΚΑΤΑ ΤΕΛΑΜΩΝΟΣ, *εἰ γνήσιος*. (45.)

Harp. v. *Εὐνεῖδαι, κάθετος*.

[CXVI. ΚΑΤΑ ΤΙΜΟΘΕΟΥ ΠΡΟΔΟΣΙΑΣ. (8ᵃ.)]

Iphicrati scriptam dicunt Vit. X or. 836ᵈ hanc orationem. Sed auctorem errasse, orationem LXV in animo habuisse Blass non iniuria suspicatur (Att. Ber. I² 358).

CXIX. ΚΑΤΑ ΤΕΙΣΙΔΟΣ. (60.)

232
75. Ἄρχιππος γὰρ οὑτοσί, ὦ Ἀθηναῖοι, ἀπεδύσατο 1
μὲν εἰς τὴν αὐτὴν παλαίστραν, οὗπερ καὶ Τεῖσις ὁ φεύ-
γων τὴν δίκην· ὀργῆς δὲ γενομένης εἰς σκώμματά τε αὐ-
τοῖς καὶ ἀντιλογίαν καὶ ἔχθραν καὶ λοιδορίαν κατέστη-
σαν. Ἔστιν οὖν Πυθέας ἐραστὴς μὲν τοῦ μειρακίου
— πάντα γὰρ εἰρήσεται τἀληθῆ πρὸς ὑμᾶς — ἐπίτρο- 2
πος δὲ ὑπὸ τοῦ πατρὸς καταλελειμμένος. οὗτος, ἐπειδὴ
Τεῖσις πρὸς αὐτὸν ⟨τὴν⟩ ἐν τῇ παλαίστρᾳ λοιδορίαν
διηγήσατο, βουλόμενος χαρίζεσθαι καὶ δοκεῖν δεινὸς καὶ
ἐπίβουλος εἶναι, ἐκέλευσεν αὐτόν, ὡς ἡμεῖς ἔκ τε τῶν
πεπραγμένων ᾐσθήμεθα καὶ τῶν εὖ εἰδότων ἐπυθόμεθα,
ἐν μὲν τῷ παρόντι διαλλαγῆναι, σκοπεῖν δὲ ὅπως αὐτὸν
μόνον που λήψεται. πεισθεὶς δὲ ταῦτα καὶ διαλλαγεὶς 3
καὶ χρώμενος καὶ προσποιούμενος ἐπιτήδειος εἶναι εἰς
τοῦτο μανίας τηλικοῦτος ὢν καθίστατο, ⟨ὥσ⟩τ' ἐτύγχανε
μὲν οὖσα ἱπποδρομία Ἀνακείων, ⟨ἰδὼν⟩ δ' αὐτὸν μετ'
ἐμοῦ παρὰ τὴν θύραν παριόντα — ⟨γείτονες γὰρ⟩ ἀλ-
λήλοις τυγχάνουσιν ὄντες — τὸ μὲν πρῶτον ⟨συνδει-
πνεῖν⟩ ἐκέλευεν, ἐπειδὴ δ' οὐκ ἠθέλησεν, ⟨ἐδεήθη ἥκειν
αὐτὸν ἐ⟩πὶ κῶμον, λέγων ὅτι μεθ' αὐτοῦ ⟨καὶ τῶν οἰ-

6 ὦ ⟨ἄνδρες⟩ Rad ἀπεδύετο Cob 18 διαλλαγεὶς (seu καταλλαγεὶς) Scheibe: ἀπαλλαγεὶς M 20 καθίστατο Scheibe: ἀφίστατο M Quae inclusa sunt, absunt a libro M, suppeditavit Ioannes Sicel. ⟨ὥσθ' ὁπότ'⟩ prop. Rad 21 pro ἰδὼν Rad prop. ⟨κατέλαβε⟩ 22 παριόντα Scheibe: παριόντων M, ἀπιόντα Ioannes ἀλλήλοις Ioannes: ἀλλήλων M, ἀλλήλοιν prop. Rad 25 τῶν οἰκείων Cob

4 κετῶν πιέτω⟩. δειπνήσαντες οὖν ἤδη συσκοτάζοντος ἐλ-
θόντες κόπτομεν τὴν θύραν, οἱ δ' ἡμᾶς ἐκέλευον εἰσιέ-
ναι. ἐπειδὴ δὲ ἔνδον ἐγενόμεθα, ἐμὲ μὲν ἐκβάλλουσιν ἐκ
τῆς οἰκίας, τουτονὶ δὲ συναρπάσαντες ἔδησαν πρὸς τὸν
κίονα, καὶ λαβὼν μάστιγα Τεῖσις ἐντείνας πολλὰς πλη-
γὰς εἰς οἴκημα αὐτὸν καθεῖρξε. καὶ οὐκ ἐξήρκεσεν αὐτῷ
ταῦτα μόνον ἐξαμαρτεῖν, ἀλλ' ἐζηλωκὼς μὲν τῶν νέων
τοὺς πονηροτάτους ἐν τῇ πόλει, νεωστὶ δὲ τὰ πατρῷα
παρειληφὼς καὶ προσποιούμενος νέος καὶ πλούσιος εἶ-
ναι, πάλιν τοὺς οἰκέτας ἐκέλευσεν ἡμέρας ἤδη γενομέ-
5 νης πρὸς τὸν κίονα αὐτὸν δήσαντας μαστιγοῦν. οὕτω
δὲ τοῦ σώματος ἤδη πονήρως διακειμένου Ἀντίμαχον
μεταπεμψάμενος τῶν μὲν γεγενημένων οὐδὲν εἶπεν,
ἔλεγε δ' ὡς αὐτὸς μὲν δειπνῶν τύχοι, οὗτος δὲ μεθύων
ἔλθοι, ἐκκόψας δὲ τὴν θύραν καὶ εἰσελθὼν κακῶς λέγοι
αὐτὸν καὶ τὸν Ἀντίμαχον καὶ τὰς γυναῖκας αὐτῶν. Ἀντί-
μαχος δὲ ὠργίζετο μὲν αὐτοῖς ὡς μεγάλα ἡμαρτηκόσιν,
ὅμως δὲ μάρτυρας παρακαλέσας ἠρώτα αὐτὸν πῶς εἰσ-
έλθοι· ὁ δὲ κελεύσαντος Τείσιδος καὶ τῶν οἰκείων
6 ἔφασκε. συμβουλευόντων δὲ τῶν εἰσελθόντων ὡς τά-
χιστα λῦσαι καὶ τὰ γεγενημένα δεινὰ νομιζόντων εἶναι
ἀπέδοσαν αὐτὸν τοῖς ἀδελφοῖς. οὐ δυναμένου δὲ βαδί-
ζειν ἐκόμισαν αὐτὸν εἰς τὸ Δεῖγμα ἐν κλίνῃ, καὶ ἐπέ-
δειξαν πολλοῖς μὲν Ἀθηναίων, πολλοῖς δὲ καὶ τῶν ἄλ-
λων ξένων οὕτως διακείμενον ὥστε τοὺς ἰδόντας μὴ
μόνον τοῖς ποιήσασιν ὀργίζεσθαι, ἀλλὰ καὶ τῆς πόλεως

---

1 πίεται Cob 5 Τεῖσις Rad: τις M 7 νεωτέρων Ioannes, sed cf. XXIV 16 sq. 8 τοὺς ante ἐν τῇ add. Scheibe 11 μαστιγοῦν δήσαντας Ioannes 12 πονήρως ἤδη Ioannes 19 οἰκείων Usener: οἰκετῶν M 22 ἀπέδωσαν M 23 Δεῖγμα scholion: ὁ τόπος ἐν τῷ Πειραιεῖ, ἔνθα ἐδείκνυτο σῖτος καὶ ἄλλα ὄσπρια ὑποδείγματα M cf. Harp. s. v. 25 οὕτω Ioannes

κατηγορεῖν ὅτι οὐ δημοσίᾳ οὐδὲ παραχρῆμα τοὺς τὰ τοιαῦτα ἐξαμαρτάνοντας τιμωρεῖται. Dionys. Hal. de Demosth. 11. VI p. 983 R et Ioann. Sicel. cod. barocc. 175 fol. 83.

76. *Ἐπιτήδειός μοί ἐστιν Ἄρχιππος οὑτοσί, ὦ δικα-* 231
σταί. Anonymus Seguerii (not. des manuscr. de la bibl. XIV 2 p. 34).

CXVII. ΠΡΟΣ ΤΙΜΩΝΑ. (161.)

73. *Οἱ δ' ἀλαζονεύονται μὲν Τίμωνι παραπλησίως* 229
καὶ ἐσχηματισμένοι περιέρχονται ὥσπερ οὗτος. Suid. v. *ἐσχηματισμένος.*

CXVIII. ΠΡΟΣ ΤΙΜΩΝΙΔΗΝ. (73.)

74. *Πῶς δ' ἂν τῆς διαθέσεως τοῦ τετελευτηκότος ἀμε-* 230
λήσαιμεν, ἣν ἐκεῖνος διέθετο οὐ παρανοῶν οὐδὲ γυναικὶ πεισθείς; Suid. v. *διάθεσις.*

CXIXª. ΠΡΟΣ ΤΛΗΠΟΛΕΜΟΝ. (162.)

77. *Οὑτοσὶ δὲ πυροὺς ἐπὶ καλάμῃ ἀροῖ.* Suid. v. *ἐπὶ* 212
καλάμῃ ἀροῦν. cf. Arsen. p. 239 W.

CXX. ΥΠΕΡ ΦΕΡΕΝΙΚΟΥ ΠΕΡΙ ΤΟΥ ΑΝΔΡΟΚΛΕΙΔΟΥ ΚΛΗΡΟΥ. (74.)

233
78. *Ἀναγκαῖόν μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δικασταί,* 1
περὶ τῆς φιλίας τῆς ἐμῆς καὶ τῆς Φερενίκου πρῶτον εἰπεῖν πρὸς ὑμᾶς, ἵνα μηδεὶς ὑμῶν θαυμάσῃ, ὅτι ὑπὲρ οὐδενὸς ὑμῶν πώποτε εἰρηκὼς πρότερον ὑπὲρ τούτου νυνὶ λέγω. ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, ξένος ἦν Κηφισό- 2
δοτος ὁ τούτου πατήρ, καὶ ὅτε ἐφεύγομεν, ἐν Θήβαις

---

16 *Τληπόλεμον* Sauppe: *τακπόλεμον* A B V et pr. E 22 *τῆς* post *καὶ* del. Cob 23 *θαυμάσῃ* Sauppe e p. 596: *θαυμάζῃ* F M

παρ' ἐκείνῳ κατηγόμην καὶ ἐγὼ καὶ ἄλλος Ἀθηναίων ὁ
βουλόμενος, καὶ πολλὰ καὶ ἀγαθὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ
παθόντες ὑπ' αὐτοῦ εἰς τὴν ἡμετέραν αὐτῶν κατήλθο-
3 *μεν. ἐπειδὴ οὖν οὗτοι ταῖς αὐταῖς τύχαις ἐχρήσαντο καὶ*
φυγάδες Ἀθήναζε ἀφίκοντο, ἡγούμενος τὴν μεγίστην
αὐτοῖς ὀφείλειν χάριν, οὕτως οἰκείως αὐτοὺς ὑπεδεξά-
μην, ὥστε μηδένα γνῶναι τῶν εἰσιόντων, εἰ μή τις πρό-
4 *τερον ἠπίστατο, ὁπότερος ἡμῶν ἐκέκτητο τὴν οἰκίαν. οἶδε*
μὲν οὖν καὶ Φερένικος, ὦ ἄνδρες δικασταί, ὅτι πολλοὶ
λέγειν εἰσὶν ἐμοῦ δεινότεροι καὶ μᾶλλον τοιούτων πρα-
γμάτων ἔμπειροι· ἀλλ' ὅμως ἡγεῖται τὴν ἐμὴν οἰκειό-
τητα πιστοτάτην εἶναι. αἰσχρὸν οὖν μοι δοκεῖ εἶναι κε-
λεύοντος τούτου καὶ δεομένου τὰ δίκαια αὐτῷ βοηθῆσαι
περιιδεῖν αὐτόν, καθ' ὅσον οἷός τ' εἰμὶ ἐγώ, τῶν ὑπ'
Ἀνδροκλείδου δεδομένων στερηθῆναι. Dionys. Hal. de
Isaeo 6 V p. 594 coll. p. 596 sq. R.

234 79. *Εἰ μὲν γὰρ ἀγροὺς κατέλιπεν Ἀνδροκλείδης ἢ ἄλλην φανερὰν οὐσίαν, ἐξῆν ἂν εἰπεῖν τῷ βουλομένῳ ὅτι οὗτος μὲν ψεύδεται, αὐτῷ δὲ δέδοται. περὶ ⟨δὲ⟩ ἀργυρίου καὶ χρυσίου καὶ ἀφανοῦς οὐσίας δῆλον ὅτι, ὅστις ἔχων αὐτὰ φαίνεται, τούτῳ δέδωκεν.* Suid. v. *οὐσία φανερά.*

de Androclida et Pherenico cf. Plut. Pel. 5 sq. Causa acta est anno fere 380. Blass Att. Ber. I² 625.

CXXI. ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΕΠΙΤΡΟΠΗΣ, *εἰ γνήσιος.* (86.)

240 80. *Φιλίππῳ δὲ μὴ οἴεσθε ταῦτ' ἀποχρᾶν.* Zonar. lex. v. *ἀποχρῆν καὶ ἀποχρᾶν.* cf. Harp. v. *Ἀρκτοῦρος, ζειρά, ὁδός, Πεδιακά,* Poll. X 23 (*τὰς κλεῖδας*).

4 *ἐπειδὴ* scripsi monente Fuhrio: *ἐπεὶ δ'* FM 7 *μηδέν' ἂν* Halb 8 *οἰκίαν*] *οὐσίαν* Bekker 12 *οὖν μοι* M, *μοι οὖν* F *ἱκετεύοντος* Hirschig, sed cf. V 1 19 *οὗτος* Scheibe: *οὐδὲν* libr. *δὲ* add. Scheibe 26 *οἴεσθε* Scheibe: erat *οἴεσθαι*

CXXII. ΠΡΟΣ ΦΙΛΟΚΡΑΤΗΝ ΣΥΜΒΟΛΑΙΟΥ ΑΠΟΛΟΓΙΑ. (93.)

Harp. v. *Βησαιῆς*, *Εὐωνυμεῖς*, Bekk. Anecd. 115, 27 (*φιλόγυνος*).

CXXIII. ΠΡΟΣ ΦΙΛΩΝΑ ΥΠΕΡ ΘΕΟΚΛΕΙΔΟΥ ΦΟΝΟΥ. (38.)

81. *Ἀλλ' εἰς τὸ οἰκάριον τὸ ὄπισθε τῆς γυναικωνίτι-* 244
δος. Poll. IX 39.

CXXIV. ΚΑΤΑ ΦΙΛΩΝΙΔΟΥ ΒΙΑΙΩΝ, *εἰ γνήσιος*. (65.)

82. ***Ἔστιν οὖν γυνὴ ἑταίρα, Ναῒς ὄνομα, ἧς Ἀρχίας*** 245
κύριός ἐστιν, ὁ δ' Ὑμέναιος ἐπιτήδειος, ὁ Φιλωνίδης δ' ἐρᾶν φησίν. Athen. XIII p. 592 C. cf. Harp. v. *ἡλιαία*, *κακώσεως*, *βιαίων*.

CXXV. ΠΕΡΙ ΤΗΣ ΦΡΥΝΙΧΟΥ ΘΥΓΑΤΡΟΣ, *εἰ γνήσιος* (77.)

Harp. v. *ἀρκτεῦσαι*, *δεκατεύειν*.

CXXV[a]. ΥΠΕΡ ΧΑΙΡΕΜΕΝΟΥΣ. (61.)

82a. Constat igitur, iudices, Simonem domo sua, ab 288
suis diis penatibus vi cum summa iniuria esse exturbatum. Nam Chaeremenes cum hominibus armatis ad eum venit: cum venisset, sine ulla religione domum eius expugnavit: expugnata vi domo familiam abstraxit: abstractam tormentis omnibus excruciavit: cruciatam vinxit: vinctam in publicum proiecit, credo, ne suum maleficium tacitum lateret, sed cum praetereuntes prostratam fami-

---

11 *ὁ* ante *Φιλ.* del. Scheibe 20 Chaeremenes Caussin: cheremenes libr. 22 abstraxit R. Steph: abstrahit libr. 24 credo Stanger: praedo libr.

liam viderent et ab his rem gestam audirent, simul et oculis et auribus scelus illius usurparent. Rut. Lup. de fig. I 13.

CXXVI. ΠΡΟΣ ΧΑΙΡΕΣΤΡΑΤΟΝ. (163.)

Harp. v. *ἐπακτὸς ὅρκος*.

CXXVII. ΠΡΟΣ ΧΥΤΡΙΝΟΝ. (164.)

252 83. *Ἐξαίφνης τοῦ συνακολουθοῦντος οἰκέτου λίθον τις λαβὼν ἔκρουσε τὸν λυχνοῦχον.* Poll. X 116.

ΑΠΑΡΑΣΗΜΑ.

264 84. *Λυσίας ἐν τοῖς ὀρφανικοῖς λέγει· Καὶ φανερὸς γέγονεν οὐ τῶν σωμάτων συγγενὴς ὢν ἀλλὰ τῶν χρημάτων.* Clem. Alex. strom. VI p. 626. Sylb.

84b. *αὕτη δὲ ἡ ἄγνοια τοῦ συμφέροντος λογισμοῦ κατασκευάζεται πολλαχῶς, ἐξ ὀργῆς, ἐκ μέθης, ἐξ ἐπιθυμίας, ἐκ θεοβλαβίας· ἐκ μὲν ὀργῆς, ὥσπερ ἐστὶ παρὰ τῷ Λυσίᾳ· κρίνεταί τις παρ' αὐτῷ φόνου ἀφ' ὧν προηπείλησεν εἰς φιλονικίαν καταστάς· σημεῖον, φησίν, ὅτι σὺ αὐτὸν ἀπέκτεινας, ἐπειδὴ προηπείλησας ἀποκτεῖναι. καὶ μήν, φησίν, εἴ γε ἤθελον ἀποκτεῖναι, οὐκ ἂν προηπείλησα, ἵνα μὴ καταφανὴς γένωμαι. τοῦτο οὖν ἐπιλυόμενος ὁ κατήγορος φήσει· ὅτι ὀργή σου ἐπεκράτησεν καὶ ἠγνόεις τὸ συμφέρον, καὶ ὡς ὀργισθεὶς προεῖπες.* Georg. apud Schilling. quaest. rhet. Jb. f. Phil. suppl. XXVIII 689.

266 85. *Ὅστις τοῦ μὲν μὴ ἀδικεῖν οὐ προνοεῖται, τοῦ δὲ μὴ δοῦναι δίκην ἐπιμελεῖται, κακουργεῖ.* Stob. floril. II 24 = III 2, 22 H.

267 86. *Ψεύδεσθαι προχειρότατον τοῖς πολλάκις ἁμαρτάνουσιν.* Id. XII 21 = III 12, 20 H.

268 87. *Τὴν αὐτὴν γνώμην ἔχειν δικάζοντας ἄξιον ἥνπερ νομοθετοῦντας.* Id. XLVI 17 = IV 5, 17 H.

---

8 *τὸν λυχνοῦχον* Seber: *τῶν λυχνούχων* libr.

88. *Εἰ μὲν οἷόν τ' ἦν ἐκ τῶν προτέρων λόγων τὰ δίκαια γιγνώσκειν, οὐδὲν ἂν ἔδει τοὺς φεύγοντας ἀπολογεῖσθαι, ἀλλ' ἀκριτὶ ἀποθνήσκειν· ἐπεὶ δὲ τὰ ψευδῆ λέγειν δυνατόν ἐστι τοῖς κατηγοροῦσι, δίκαιον ἀμφοτέρων τῶν ἀντιδίκων ἀκούσαντας τηνικαῦτα τὴν περὶ τοῦ δικαίου ψῆφον φέρειν.* Id. XLVI 110 = IV 5, 110 H. 269

89. *Προσήκει δ' ὑμῖν περὶ ψυχῆς δικάζουσι μὴ παρανομεῖν ἀλλ' εὐσεβεῖν, μηδὲ θορύβῳ τὰ πράγματα κρίνειν ἀλλὰ σιωπῇ τὰ δίκαια γιγνώσκειν.* Id. XLVI 111 = IV 5, 111 H. 270

90. *Ἧι γὰρ ἂν ἡμέρᾳ γυνὴ προδῷ τὸ σῶμα καὶ τὴν τάξιν λίπῃ τῆς αἰδοῦς, εὐθέως παραλλάττει τῶν φρενῶν, ὥστε νομίζειν τοὺς μὲν οἰκείους ἐχθρούς, τοὺς δὲ ἀλλοτρίους πιστούς, περὶ δὲ τῶν καλῶν καὶ αἰσχρῶν ἐναντίαν ἔχειν τὴν γνώμην.* Id. LXVIII 32 = IV 22, 61 H. 271

91. *Τοῦ νόμου κελεύοντος τοὺς ἐπιτρόπους τοῖς ὀρφανοῖς ἔγγειον τὴν οὐσίαν καθιστάναι, οὗτος δὲ ναυτικοὺς ἡμᾶς ἀποφαίνει.* Suid. v. *ἔγγειον.* 265

92. *Ἡ γὰρ γλῶττα νοῦν οὔτε πολὺν οὔτε μικρὸν ἔχει, ὁ δὲ νοῦς, ᾧ μὲν πολύ, πολύς, ᾧ δὲ μικρόν, μικρός.* Gregor. Cor. de dial. p. 4 Schaef. 280

93. *Ὅσας ἄξιος ἦν λαβεῖν πληγάς, τοσαύτας εἴληφε δραχμάς.* Demetr. in Rhetor. Gr. IX p. 58 W. 275

94. *Εἰσιόντων πρὸς τῇ Νεμέᾳ ἕστηκεν ἐπιδέξια.* Poll. II 159. 272

---

3 *ἀκριτί*] *ἀκρατί* A, *ἀκρίτους* Cob 7 *ὑμῖν* S M: *ἡμῖν* A Tr. *ψυχῆς* Bekker: *φυγῆς* libr. 17 *ναυτικὰ τὰ ἡμῶν* Sauppe, sed non opus 20 Boissonad. ad Choricium Gaz. p. 325 proponit: *ᾧ μὲν πολύς, ᾧ δὲ μικρός*, sed Sauppe hunc in modum interpretatur: neque linguae volubilitate neque mentis acumine gloriari quemquam iure posse: linguam enim nihil acuminis per se habere, acuminis vero tantum quemvis habere, quantum natura impertiverit

273 95. *Ἁρπάσας τὴν κνημίαν τῆς ἁμάξης.* Poll. VII 116.

274 96. *Ἀδελφιδοῦς μοί ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι.* Maxim. Plan. in Rhetor. Gr. V p. 382 W.

276 97. *Πολλαχῇ οἰκειότατον ἐμαυτῷ νομίζω βοηθεῖν.* Apsines in Rhetor. Gr. IX p. 482 W.

277 98. *Εἴ τις ἄλλος βούλεται, αἰτείσθω ὑμῶν.* Bekk. Anecd. p. 122, 7.

278 99. *Ὃς λητουργῆσαι μὲν οὐδὲν πώποτε ἐτόλμησε τῇ πόλει.* Ibid. p. 155, 26.

279 100. *Ὅτι προδικῶ τοῦ ἀλλοτρίου ἀπελευθέρου.* Ibid. p. 169, 27, quod fragmentum ad or. CIX Sauppe refert.

287 101. *Ἦν γὰρ προϊδόντα τινὰ ⟨καὶ⟩ τὸ πῦρ τῆς Χιμαίρας φυλάξασθαι.* Tzetz. ad. Lycophr. v. 17.

102. *πάλαι μέν ἐστι πονηρὸς . . . . ἀλλὰ νῦν, Λυσίας ἂν εἶπεν, ἐξείργασται καὶ τέλος ἔχει καὶ πέρας ἀηδίας ἐστίν.* Synes. ep. 32.

283 102b. *Ἐξῆν ἄν μοι χρῆσθαι ὅτι ἐβουλόμην.* Tzetz. exeg. ad Il. 85 Herm.

289 103. Omnibus in rebus suam confidentiam ostentabat. Debitum petebamus: non dissolvebat. Minabamur: contemnebat. Lex nihil valebat, magistratus neglegebat. Venit hoc tandem nobis novissime tempus ulciscendi. Rutil. Lup. de fig. I 15.

290 104. Rure rediens, iudices, homo maior natu, magno calore, vix sufferens viae molestum, tamen his verbis egomet me consolor: Fer fortiter demum laborem: iam brevi domum venies exspectatus, excipiet te defatigatum

---

1 *κνημίαν* V Sauppe cf. Poll. X 157: erat *κνημίδα* 4 *πολλαχῇ* Sauppe: erat *πολλαχοῦ* 12 *καὶ* add. Sauppe 15 cf. Theophyl. Bulg. vol. III p. 650[d]: *ταῦτά γε ἤδη ἀπέγνωστο καί, Λυσίας ἂν εἶπεν, ἐξείργαστο ἡγεμόνων κακότης* 22 tandem Halm: tamen libr. 25 calore Rhenan: clamore libri molestum Med. A.: molestiam vulg 26 fer R. Steph: ferri libr. 27 venies R. Steph: veniens libr.

diligens atque amans uxor; ea sedulo ac blande praeministrando detrahet languorem et simul seniles nutriendo recuperabit vires. Haec me in itinere recogitatio prope confectum confirmabat. Postea vero cum domum veni, nihil earum rerum inveni, sed potius bellum intestinum ab uxore contra me comparatum. Rutil. Lup. de fig. I 21.

105. Nam ego huic, iudices, quidquid ad superius tempus attinet, nihil succenseo: nihil enim deliquisse 291 cognovi. Sed in hoc novissimo facto cum plenum malitiae perfidiaeque invenirem, merito reprehendere atque odisse coepi. Quaeritis fortasse, quid acciderit causae, quamobrem eundem et laudem et vituperem? Quod idem commutata voluntate non est qui fuerat, neque idem nunc de se audire debet, quod prius consuerat, cum sine noxa se gerebat. Non arbitratus es igitur, rursus eum reversurum officio atque amicum tibi futurum? Quo modo? quem sciam tantum facinus in me admisisse, ut ⟨in⟩ reliquum tempus neque beneficio locum neque benevolentiae spem relinqueret? Rutil. Lup. de fig. II 3.

106. Hac oratione saepius apud me utebatur et orabat, 292 ut suarum aerumnarum misererer, inopiae subvenirem. Quid multa? commotus humanitus precibus deprecanti quod petebat dedi, solus soli, quo minus nota calamitas hominis esset. Sed ut paratus venisse videtur, iam se negabit accepisse et flens vobis supplicabit ut se a calumniatoribus eripiatis. Vos autem cum ⟨sic⟩ se agentem videritis, facitote ut et illius et mei memineritis. Rutil. Lup. de fig. II 4.

---

2 detrahet Ald: detrahit libr. 3 recreabit (vel) reparabit Ruhnk cogitatio R. Steph 18 in add. Rhenan 22 humanitus Ruhnk: humanitis Vind, humanitatis Med. A B 24 videtur Ruhnk: videbatur libr. 26 sic add. Ruhnk

293 107. Sed vos aequum est voluntatem dispicere. Nam consilio valuit, fortuna lapsus est: homo fuit, fatetur. Concedendum non omnia posse ⟨hominem⟩: hoc enim deorum est proprium. Rutil. Lup. de fig. II 8.

294 108. Quapropter prodigam in multos largitionem abstinentiae testimonium ne credideris: multo enim confidentius hoc genus hominum furatur. Nam quo magis eget ad sumtum ambitionis, audacius facit rapinam, ut huic ipsi ambitioni copia suppeditare possit. Rutil. Lup. de fig. II 9.

295 109. Nec iam rationem invenimus, qua flecti posse speremus. Ita nos omnibus modis tentatos acerba ac nimia tua facultas affligit. Rutil. Lup. de fig. II 10.

296 109b. *ἔφη Λυσίας κοινὸν ἑαυτὸν εἶναι φίλον τῆς πόλεως.* Aristid. or. platon. 2.

ΕΠΙΣΤΟΛΑΙ.

Suid. *Λυσίας· . . . ἔγραψε δὲ καὶ τέχνας ῥητορικὰς καὶ δημηγορίας ἐγκώμιά τε καὶ ἐπιταφίους καὶ ἐπιστολὰς ζ΄, μίαν μὲν πραγματικήν, τὰς δὲ λοιπὰς ἐρωτικάς, ὧν αἱ ε΄ πρὸς μειράκια.*

I. PLATONICA. (168.)

255 cf. Plat. Phaedr. p. 230e—234c.

---

1 vos Rhenan: nos libr. 2 voluit Rhenan 3 hominem post Sauppium add. Halm 5 prodigam margo Rhen. Gronow.: pergam libr. 6 ne Barth: non libr. 9 huic] hinc Barth 11 flecti sc. iudices Sauppe 13 nimia Halm: nimium libr., nimia illa Sauppe affligit R Steph: affliget libr. 14 verba in oratione adversus Archinum locum habere potuisse monet Sauppe

II. ΠΡΟΣ ΑΣΤΥΒΑΡΟΝ. (167.)

110. *Γενναίως γὰρ αἱ γυναῖκες πώμαλα ἔφασαν ὠρχῆσθαι αὐτάς, δέον οὐδὲ πιούσας ἀπηλλάχθαι τοῦ συμποσίου.* Suid. v. *πώμαλα.* 254

III. ΠΡΟΣ ΜΕΤΑΝΕΙΡΑΝ. (166.)

111. *Καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις, τὰς δὲ μασχάλας δασείας.* Schol. Plat. p. 347 Bk. 255

112. *Γυναικῶν δὲ πολλῶν καὶ ἀνδρῶν ὁμοῦ κατακειμένων.* Suid. v. *ὁμοῦ.* 256

cf. Poll. VII 130 (*φρυγανοφόροι*), Athen. XIII p. 592[b].

IV. ΠΡΟΣ ΠΟΛΥΚΡΑΤΗΝ ΚΑΤ' ΕΜΠΕΔΟΥ, *εἰ γνήσιος.* (165.)

113. *Ἢ τὸν ὀφθαλμὸν τὸν ἕτερον γλαυκότερον εἶναι ἢ πεφορινῶσθαι* (v. l. *πεφοριῶσθαι*). Harp. v. *πεφοριῶσθαι.* 259

V. EX INCERTIS EPISTOLIS.

114. *Λέγων ὡς οὐ φιλῶ σε, φαυλότητά μου μεγίστην καταγιγνώσκεις· εἰ γὰρ ἦθος τοιοῦτον καὶ τρόπον καὶ ψυχὴν καὶ εὔνοιαν οὕτως ἀπροφάσιστον, ἔτι δὲ συνουσίας οἰκειότητα καὶ λόγων κοινωνίαν μὴ καθ' ὑπερβολὴν ἀσπάζομαι, τίς γένοιτ' ἂν ἐμοῦ ἀθλιώτερος, ὃς ἀναισθήτως ἔχω πρὸς τὸ φρονεῖν;* Suidas v. *φαῦλον.* 260

115. *Ὤιμην δὲ ἔγωγε τοσαύτῃ φιλίᾳ συνηρμόσθαι τὴν ἐμὴν καὶ τὴν σὴν εὔνοιαν, ὥστε μηδ' ἂν τὴν Ἐμπεδο-* 261

---

2 *ὠρχῆσθαι* A V, erat *ὀρχεῖσθαι*, *ὀρχήσασθαι* Bernhardy qui *πώμαλα* pone *οὐδὲ* transponi iubet 6 *μὲν κεφαλὴν* Richards 14 *πεφωριῶσθαι* Sauppe cum Et. M p. 666 et Bekk. Anecd. 293, 20 cf. *φωριαμός* cista, arca 18 *ἀπροφάσιστον*, Sauppe: *ἀπροφασίστως* libr. 22 *δὲ* om. Patm *τοσαύτῃ*] *τοιαύτῃ* Suid. Diog. lex. Vind 23 *τὴν . . . εὔνοιαν* om. Suid. Diogen. lex Vind, *σοι* Diogen. libri bg. Gaisf.

κλέους ἔχθραν ἐμποδὼν γενέσθαι ἡμῖν. Λέξεις Πατμ. Bull. corr. hell. I 153 *ἐν ἐρωτικῷ ε′*, Suid. v. *Ἐμπεδοκλέους ἔχθρα*, Diogenian. prov. IV 77, lex. Vind. 89. (M. Apostol. VIII 21, Arsenius p. 223) cf. Harp. *ἀπαγορεύειν*.

116. Vocabula singula a Lysia usurpata dicuntur haec: *ἀδεσπότους* Poll. III 74, *ἀναδικία* Poll. VIII 23, *ἀνεψια-*
297/335] *δοῖ* et *ἀνεψιότης* Bekk. Anecd. 401, 22, *ἀντεδικάσαντο* Poll. VIII 23, *ἀνυποπτότερος* Poll. II 57, *ἀξιοῖ* Bekk. Anecd. 412, 28, *ἀξιῶν* ib. 412, 26, *ἀποδικάζων* Poll. VIII 24, *ἀπόκρισις* Harp., *ἀπολιμπάνουσιν* Bekk. Anecd. 430, 11, *ἀποπέμψεως* Poll. VIII 31, *ἀποπεφασμένον* Bekk. Anecd. 433, 1, *ἀποφοιτᾶν* Eusthat. Il. *σ′* p. 1167, 23, *βεβαιώσεως* Harp., *δειπνοφόρος* Poll. VI 102, *διαδόσεις* Harp., *διακωδωνισθέντες* Et. M. 267, 27, *ἐντέχνως* Phryn. ep. p. 344, *τῆς ἐφορείας* Poll. II 55, *ἡλικία τῆς πόλεως* Suid., *ἦλθε τὰ ὀστᾶ* lex. Vind. 98, *θίασος* ibid. 100, *ἱματίδια* Poll. VII 42, *κακοτεχνίου* Poll. VIII 37, *καταγηόχασι* Phryn. ecl. p. 121, *κατεδιῃτησάμην* Poll. VIII 64, sed cf. Fuhr ad XXV 16 app., *κεκοινωνημένοι* Phot. 152, 27, *λιπομαρτύριον* Phot. 225, 26, *μεῖζον* (sc. *δικαστήριον*), Poll. VIII 121, *μυκτηρίζειν* Poll. II 78, *νεανιευόμενοι* Poll. II 20, *ἐπὶ νῷν* Miller, Mélang. p. 122 (Reitzenstein, Gesch. d. gr. Etym. 292) *ξυλοφορίαν* Poll. VII 131, *ἐπ' οἰκήματος* Schol. Plat. p. 324 Bk., *οὐ Λυσίας Πλάτωνα σοφιστὴν καλεῖ;* Aristid. or. XLVI p. 407 Ddf., *ποία* Phot. 435, 21, *πολυφιλώτερος* Poll. III 63, *πομπεία* Greg. Cor. ad. Hermog. VII 1118 W, *προπράτας* et *συμπράτας* Poll. VII 12, *στήριγμα* Poll. X 157, *σύνδουλοι* Poll. III 82, *τιμή* Hesych. s. *τιμωρία*, *φρατρίζειν* Bekk. Anecd. 115, 29, *χρηματιστής* Suid. *χρημάτων* Suid.

---

1 *ἐμποδ. ἡμ. γεν.* Suid. lex Vind, *ἰσχῦσαι διαστῆσαι* Diogen., *ἐμπ. γεν. ἡμ. ἢ ἰσχ. διαστ.* Blass.

INDEX NOMINUM ET RERUM.

ADDENDA ET CORRIGENDA

p. IX. Blank Oscar, Die Einsetzung der Dreißig zu Athen im Jahre 404. Freiburg. Diss. Würzburg 1911.

p. X. Jander Konr. oratorum et rhetorum graecorum nova fragmenta collecta adnotationibusque instructa. Diss. Regimont. Bonn 1913.

p. XI. Vianello N., Lysias, le orazioni tradotte e commentate. Torino 1914.

p. XXXV ad or. VI. G. Begodt, de or. *κατ᾽ Ἀνδοκίδου* quae VI. inter Lysiacas fertur (Monast. 1914) Meletum auctorem dicit.

p. 100 v. 2. Haec verba mea sunt; in X legitur: *οἰκῆος καὶ βλάβης τὴν δούλην εἶναι ὀφείλειν.*

p. 338 v. 20 apud Photium oratio laudatur *περὶ Διογένους κλήρου πρὸς Γλαύκωνα.* Inde Jander eandem existimat atque or. XXXV. Atque apud Harpocr. et apud Suidam priore loco est *ἐν τῷ πρὸς Γλαύκωνα*, apud Suidam altero *ἐν τῷ πρώτῳ περὶ τοῦ Δικαιογένους κλήρου.*

p. 339 v. 5. *θουγενίδ*ε liber, corr. Reitzenstein, *Θουγενίδῃ δέκα ἔτη* Wilam. Berl. Sitzungsber. 1907, 13.

p. 340 v. 6 Prisc. priore loco habet *ἐν τῷ ὑπὲρ Διογένους*, altero et Harp. priore loco *ἐν τῷ περὶ τοῦ Διογένους ⟨κλήρου⟩*, Harp. altero *ἐν τῷ περὶ τοῦ Διογένους κλήρου.*

p. 361 v. 18 CXIX^b ΤΡΑΠΕΖΙΤΙΚΟΣ. *ἀνομολογήσασθαι· διομολογήσασθαι ἀργύριον ἤ τι τοιοῦτον.* Phot. lex. in ed. Reitzenstein p. 143, 22.

p. 370 v. 7 *ἄνομον κατηγορίαν* et *ἀνόμημα.* Phot. lex. in ed. Reitzenstein p. 143, 23.

